BnF Gallica

# Grec 418

Source gallica.bnf.fr / Bibliothèque nationale de France. Département des manuscrits. Grec 418

(BnF Gallica

JUSTINIANUS imp. Auteur du texte. Grec 418. 1401-1500.

**1/** Les contenus accessibles sur le site Gallica sont pour la plupart des reproductions numériques d'oeuvres tombées dans le domaine public provenant des collections de la BnF. Leur réutilisation s'inscrit dans le cadre de la loi n°78-753 du 17 juillet 1978 :
- La réutilisation non commerciale de ces contenus ou dans le cadre d'une publication académique ou scientifique est libre et gratuite dans le respect de la législation en vigueur et notamment du maintien de la mention de source des contenus telle que précisée ci-après : « Source gallica.bnf.fr / Bibliothèque nationale de France » ou « Source gallica.bnf.fr / BnF ».
- La réutilisation commerciale de ces contenus est payante et fait l'objet d'une licence. Est entendue par réutilisation commerciale la revente de contenus sous forme de produits élaborés ou de fourniture de service ou toute autre réutilisation des contenus générant directement des revenus : publication vendue (à l'exception des ouvrages académiques ou scientifiques), une exposition, une production audiovisuelle, un service ou un produit payant, un support à vocation promotionnelle etc.

CLIQUER ICI POUR ACCÉDER AUX TARIFS ET À LA LICENCE

**2/** Les contenus de Gallica sont la propriété de la BnF au sens de l'article L.2112-1 du code général de la propriété des personnes publiques.

**3/** Quelques contenus sont soumis à un régime de réutilisation particulier. Il s'agit :

- des reproductions de documents protégés par un droit d'auteur appartenant à un tiers. Ces documents ne peuvent être réutilisés, sauf dans le cadre de la copie privée, sans l'autorisation préalable du titulaire des droits.
- des reproductions de documents conservés dans les bibliothèques ou autres institutions partenaires. Ceux-ci sont signalés par la mention Source gallica.BnF.fr / Bibliothèque municipale de ... (ou autre partenaire). L'utilisateur est invité à s'informer auprès de ces bibliothèques de leurs conditions de réutilisation.

**4/** Gallica constitue une base de données, dont la BnF est le producteur, protégée au sens des articles L341-1 et suivants du code de la propriété intellectuelle.

**5/** Les présentes conditions d'utilisation des contenus de Gallica sont régies par la loi française. En cas de réutilisation prévue dans un autre pays, il appartient à chaque utilisateur de vérifier la conformité de son projet avec le droit de ce pays.

**6/** L'utilisateur s'engage à respecter les présentes conditions d'utilisation ainsi que la législation en vigueur, notamment en matière de propriété intellectuelle. En cas de non respect de ces dispositions, il est notamment passible d'une amende prévue par la loi du 17 juillet 1978.

**7/** Pour obtenir un document de Gallica en haute définition, contacter
**utilisation.commerciale@bnf.fr**.

BIBLIOTHÈQUE NATIONALE




SERVICE PHOTOGRAPHIQUE

Source gallica.bnf.fr / Bibliothèque nationale de France. Département des manuscrits. Grec 418

PHOT. BIBL. NAT. PARIS
REPRODUCTION INTERDITE SANS AUTORISATION.

LES ŒUVRES PROTÉGÉES PAR LA LÉGISLATION SUR LA PROPRIÉTE LITTÉRAIRE ET ARTISTIQUE (LOI DU 11 MARS 1957) NE PEUVENT ÊTRE REPRODUITES SANS AUTORISATION DE L'AUTEUR OU DE SES AYANTS DROIT.

DANS L'INTÉRÊT DE LA RECHERCHE LA BIBLIOTHÈQUE NATIONALE TIENT UN FICHIER DES TRAVAUX RELATIFS AUX MANUSCRITS QU'ELLE CONSERVE.

ELLE PRIE LES UTILISATEURS DU PRÉSENT MICROFILM DE LUI SIGNALER LES ÉTUDES QU'ILS ENTREPRENDRAIENT ET PUBLIERAIENT A L'AIDE DE CE DOCUMENT.

BIBLIOTHÈQUE NATIONALE
SERVICE PHOTOGRAPHIQUE
PARIS

DÉPARTEMENT
DES MANUSCRITS

Grec. 418
- entier -

R. 42.268
(3700 °) 12 OCT. 1979
: 10.5

C.L

418.

**418.** Acta concilii Constantinopolitani V. (1); — Justiniani imp. liber adversus Origenem (224); — Commentarius synodicus, tempore Alexii, CP. patriarchæ, de diversis capitibus (255 v°).

XV s. Pap. 263 fol. (Hurault.-Reg. 2513.) M.

Quinta Sinodus uniuersalis in Constantinopoli

II.

2
2513.

Cod. 2. in charta. 14 sec.

Acta sanctae synodi Constantinopolitanae quintae. (est CP. sub (Vigilio))
fol. 1. et expositio fidei Gregorii Neocaesariensis. Basilius de fide.
Definitio Concilii Chalcedonensis. Symbola Nicaenum et CP.num
Expositio fidei Episcoporum Chalcedonensium. Fides in Zonara p.
557. 558.
fol. 5. Anthimii Epistola ad Severum. In Zonara p. 531.
f. 7. Fausti Epistola ad Anthimum. Ibidem p. 532.
f. 9. Epistola Pamphili ad Anthimum. Ibid. p. 534.
f. 11. Epistola Meltiadis ad Anthimum. Ib. p. 536.
f. 12. Epistola Justini ad Anthimum. Ib. p. 538.
f. 14. Epistola Felicis Romani Episcopi ad Anthimum. Ib. p. 545.
f. 16. Epistola Quintiani ad Anthimum. Ib. p. 553.
f. 19. Epistola Acacii ad Anthimum. Ib. p. 529.
f. 22. Epistola Felicis Papae ad Anthimum. Ib. p. 540.
f. 27. Exemplar Epistolae Felicis Papae ad Zenonem Imperatorem. Ib. p. 548.
f. 30. Tituli Actorum contra Severum, Zooram, Petrum, et Anthimum.
et in Conciliis.
f. 31. Tituli libri secundi. cum nota de ordine Actorum. Etiam in
Conciliis. Sequuntur Acta. Est autem in libris editis Actio 5.a
tum in Conciliis, tum post Zonaram à p. 627. ad p. 754. &. fol. autem
152. habetur Actio 1.a et in collectione Zonarae p. 559.
f. 186. Actio 2.a et in Zonara p. 593. Etiam in Conciliis.
f. 193. Actio tertia similiter. et fol. 202. Actio quarta.
f. 220. Sententia Petri Hierosolymorum aduersus Anthimum. In
Conciliis. Et Zonara p. 755.
fol.

Ex Bibliotheca Jo. Huralti Boistallerij.

13

a

Fol. 224. Justiniani Imperatoris lib. ad Mennam Patriarcham Constantinopolitanum adversus Origenem. Habes in Conciliis post quintam generalem Synodum.

f. 255. Commentarius Synodicus Xiphilini [illegible] Patriarchae CP.

d. Alexii de [illegible] capitulis. In Zonara p. 786. et Juris Graeco-Romani p. 250.

Nota in hoc ms. quam male Graeci Latina pingant.

Vide Ad Cod. ~~1277~~ 2042.

Quinta Sinod[us] universalis in Constantinopoli

II.

+ Τὰ πρακτικὰ τῆς ἁγίας οἰκουμενικῆς πέμπτης συνόδου· ἀξιοπρεπῆ:

2

2513.

+ Πρακτικὰ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας πέμπτης συνόδου:-

+ Ἔκθεσις πίστεως κατὰ ἀποκάλυψιν Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας:-

Εἷς θεὸς πατὴρ λόγου ζῶντος· σοφίας ὑφεστώσης καὶ
δυνάμεως καὶ χαρακτῆρος ἀϊδίου· τέλειος
τελείου γεννήτωρ· πατὴρ υἱοῦ μονογενοῦς· εἷς
κύριος· μόνος ἐκ μόνου· θεὸς ἐκ θεοῦ· χαρακτὴρ καὶ
εἰκὼν θεότητος· λόγος ἐνεργός· σοφία, τῆς
τῶν ὅλων συστάσεως περιεκτική· καὶ δύναμις,
τῆς ὅλης κτίσεως, ποιητική· υἱὸς ἀληθινός,
ἀληθινοῦ πατρός· ἀόρατος ἀοράτου· καὶ
ἄφθαρτος ἀφθάρτου· καὶ ἀθάνατος ἀθανά[τ]ου· τῷ
καὶ ἀΐδιος, ἀϊδίου· ἓν πνεῦμα ἅγιον· ἐκ θεοῦ
τὴν ὕπαρξιν ἔχον· καὶ δι' υἱοῦ πεφηνός, δηλαδὴ
τοῖς ἀνθρώποις· εἰκὼν τοῦ υἱοῦ, τελείου, τελεία·
ζωή, ζώντων αἰτία· ἁγιότης, ἁγιασμοῦ
χορηγός· ἐν ᾧ φανεροῦται θεός, ὁ πατήρ, ὁ ἐπὶ
πάντων καὶ ἐν πᾶσι· καὶ θεὸς ὁ υἱός, ὁ διὰ πάντων·
τριάς, τελεία· δόξῃ καὶ ἀϊδιότητι καὶ βασι-
λείᾳ, μὴ μεριζομένη· μηδὲ ἀπαλλοτριου-
μένη· οὔτε οὖν κτιστόν τι ἢ δοῦλον ἐν τῇ τριάδι·

Ex Bibliotheca Jo. Huralti Boistallerii.

οὔτε ἐπείσακτον· ὡς πρότερον μὲν οὐχ ὑπάρχον,
ὕστερον δὲ ἐπεισελθόν· οὔτε ποτὲ ἐνέλιπε ποτὲ
υἱὸς πατρί, οὔτε υἱῷ πνεῦμα· ἀλλὰ ἄτρεπτος καὶ
ἀναλλοίωτος, ἡ αὐτὴ τριὰς ἀεί:-

βασιλείου ἐπισκόπου καισαρείας καππαδο-
κίας, ἐκ τοῦ περὶ πίστεως λόγου:-

Η ἄκτιστος φύσις καὶ ἀκατάληπτος οὐσία· ἡ αὐτε-
ξούσιος δύναμις· ἡ φύσει καὶ ἀγαθότης· τὸ
δεσποτικὸν ἀξίωμα· πατὴρ καὶ υἱὸς καὶ πνεῦμα ἅγιον:-

Η ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος· ἡ
κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων
καὶ φιλοχρίστων ἡμῶν βασιλέων· οὐαλεντι-
νιανοῦ καὶ μαρκιανοῦ αὐγούστων· συναχθεῖσα
ἐν τῇ χαλκηδονέων μητροπόλει τῆς βιθυνῶν
ἐπαρχίας· ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας καὶ καλλι-
νίκου μάρτυρος εὐφημίας, ὥρισε τὰ ὑποτεταγ-
μένα:-

Ο κύριος ἡμῶν καὶ σωτὴρ ὁ χριστὸς τῆς πίστεως τὴν γνῶσιν
τοῖς μαθηταῖς βεβαιῶν, ἔφη· εἰρήνην τὴν
ἐμήν, δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμήν, ἀφίημι
ὑμῖν· ὥστε μηδένα πρὸς τὸν πλησίον διαφωνεῖν,
ἐν τοῖς δόγμασι τῆς εὐσεβείας· ἀλλ' ἐπίσης τὸ τῆς
ἀληθείας ἐπιδείκνυσθαι κήρυγμα· ἐπειδὴ δὲ



οὐ παύεται διὰ τῶν ἑαυτοῦ ζιζανίων ὁ πονηρὸς τοῖς
τῆς ἀληθείας ἐπιφυόμενος σπέρμασι· καί τι
καινὸν κατὰ τῆς ἀληθείας ἐφευρίσκων ἀεί,
διὰ τοῦτο συνήθως ὁ δεσπότης ἡμῶν χριστὸς προνοού-
μενος τοῦ ἀνθρωπίνου γένους, τὸν εὐσεβέστατον
καὶ πιστότατον, πρὸς ζῆλον ἀνέστησε βασιλέα·
καὶ τοὺς ἁπανταχῆ τῆς ἱερωσύνης πρὸς ἑαυτὸν
ἀρχηγοὺς συνεκάλεσεν· ὥστε τῆς χάριτος τοῦ
πάντων ἡμῶν δεσπότου χριστοῦ συνεργούσης, πᾶσαν
μὲν τοῦ ψεύδους τῶν τοῦ χριστοῦ προβάτων, ἀποσείσασθαι
λύμην· τοῖς δὲ τῆς ἀληθείας αὐτὴν καταπιαίνειν
βλαστήμασιν· ὃ δὴ καὶ πεποιήκαμεν· κοινῇ
ψήφῳ τὰ τῆς πλάνης ἀπελάσαντες δόγματα·
τὴν δὲ ἀπλανῆ τῶν πατέρων, ἀνανεωσάμενοι πίστιν·
τὸ τῶν τιη σύμβολον, τοῖς πᾶσι κηρύξαντες·
καὶ ὡς οἰκείους τοὺς τοῦτο τῆς εὐσεβείας τὸ σύν-
θημα δεξαμένους πατέρας, ἐπιγραψάμενοι· οἵπερ
εἰσίν, οἱ μετὰ ταῦτα ἐν τῇ μεγάλῃ κωνσταντίνου
πόλει συνελθόντες, ρν· καὶ αὐτοὶ τὴν αὐτὴν
ἐπισφραγισάμενοι πίστιν· ὁρίζομεν τοίνυν
τὴν τάξιν· καὶ τοὺς περὶ τῆς πίστεως τῶν κανόνων
ἅπαντας τύπους φυλάττοντες καὶ ἡμεῖς· τῆς
κατὰ ἔφεσον ἁγίας συνόδου· ἧς ἡγεμόνες οἱ

ἁγιώτατος πάπας μακαρίας μνήμης, Κελεστῖνος ὁ τῆς Ῥωμαίων·
καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων· καὶ Ἰωάννης ὁ τῆς
Ἀντιοχέων, ἐτύγχανον. προλάμπειν μὲν τῆς
ὀρθῆς καὶ ἀμώμου τῆς πίστεως. τὴν ἔκθεσιν τῶν
τιη΄ ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ·
ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης Κωνσταντίνου τοῦ
γενομένου βασιλέως, συναχθέντων· κρατεῖν δὲ
καὶ τὰ παρὰ τῶν ρν΄ ἁγίων πατέρων ἐν Κωνσταντίνου
πόλει ὁρισθέντα· πρὸς ἀναίρεσιν μὲν τῶν τότε
φυεισῶν αἱρέσεων· βεβαίωσιν δὲ τῆς καθολικῆς
καὶ ἀποστολικῆς ἡμῶν πίστεως:-

τὸ σύμβολον τῶν ἐν Νικαίᾳ τιη΄ ἁγίων πατέρων :-

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα· ποιητὴν
οὐρανοῦ καὶ γῆς· ὁρατῶν τε πάντων καὶ ἀοράτων·
καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν· τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ·
τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων·
φῶς ἐκ φωτός· θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ· γεν-
νηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί· δι' οὗ
τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ
διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν
οὐρανῶν· καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου, καὶ
Μαρίας τῆς παρθένου· καὶ ἐνανθρωπήσαντα·
σταυρωθέντα τε ὑπὲρ ἡμῶν, ἐπὶ Ποντίου Πιλάτου·



καὶ παθόντα· καὶ ταφέντα· καὶ ἀναστάντα τῇ τρίτῃ
ἡμέρᾳ, κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς
τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός·
καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας
καὶ νεκρούς· οὗ τῆς βασιλείας, οὐκ ἔσται τέλος·
καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον· τοὺς δὲ λέγοντας ἦν
ποτε ὅτε οὐκ ἦν· καὶ πρὶν γεννηθῆναι οὐκ ἦν·
καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο· ἢ ἐξ ἑτέρας ὑπο-
στάσεως· ἢ οὐσίας φάσκοντας εἶναι· ἢ τρεπτὸν
ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεμα-
τίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία:-

ὡσαύτως καὶ τῶν ἁγίων ρν΄ πατέρων τῶν ἐν Κωνσταν-
τίνου πόλει συναχθέντων:-

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα· ποιητὴν
οὐρανοῦ καὶ γῆς· ὁρατῶν τε πάντων καὶ ἀοράτων·
καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ·
τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων·
φῶς ἐκ φωτός· θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ·
γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί·
δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους
καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ
τῶν οὐρανῶν· καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου, καὶ
Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα·

σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου· καὶ
παθόντα· καὶ ταφέντα· καὶ ἀναστάντα τῇ τρίτῃ
ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς τοὺς
οὐρανούς· καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός· καὶ
πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ
νεκρούς· οὗ τῆς βασιλείας, οὐκ ἔσται τέλος· καὶ εἰς
τὸ πνεῦμα τὸ ἅγιον· τὸ κύριον καὶ ζωοποιόν· τὸ ἐκ
τοῦ πατρὸς ἐκπορευόμενον· τὸ σὺν πατρὶ καὶ υἱῷ συμ-
προσκυνούμενον καὶ συνδοξαζόμενον· τὸ λαλῆσαν
διὰ τῶν προφητῶν, εἰς μίαν ἁγίαν καθολικὴν
καὶ ἀποστολικὴν ἐκκλησίαν· ὁμολογοῦμεν ἓν βά-
πτισμα, εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶμεν ἀνά-
στασιν νεκρῶν· καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος,
ἀμήν :-

Ἔκθεσις τῶν ἐν Χαλκηδόνι συνελθόντων ἐπισκόπων :-

Ἤρκει μὲν οὖν, εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε
καὶ βεβαίωσιν, τὸ σοφὸν καὶ σωτήριον τοῦτο, τῆς θεί-
ας χάριτος σύμβολον· περί τε γὰρ τοῦ πατρός· καὶ τοῦ
υἱοῦ· καὶ τοῦ ἁγίου πνεύματος, ἐκδιδάσκει τὸ τέλειον·
καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχο-
μένοις, παρίστησιν· ἀλλ᾽ ἐπειδήπερ οἱ τῆς ἀληθεί-
ας ἀθετεῖν ἐπιχειροῦντες τὸ κήρυγμα· διὰ τῶν
οἰκείων αἱρέσεων τὰς κενοφωνίας ἀπέτεκον·



οἱ μέν, τὸ τῆς τοῦ κυρίου δι᾽ ἡμᾶς οἰκονομίας μυστήριον,
παραφθείρειν τολμήσαντες· καὶ τήν, θεοτόκος ἐπὶ
τῆς παρθένου φωνήν, ἀπαρνούμενοι· οἱ δέ, σύγ-
χυσιν καὶ κρᾶσιν εἰσάγοντες· καὶ μίαν εἶναι
φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος, ἀνοήτως ἀνα-
πλάττοντες· καὶ παθητὴν τοῦ μονογενοῦς τὴν
θείαν φύσιν, τῇ συγχύσει τερατευόμενοι, διὰ
τοῦτο πᾶσαν αὐτοῖς ἀποκλεῖσαι κατὰ τῆς ἀληθεί-
ας μηχανὴν βουλομένη· ἡ παροῦσα νῦν αὕτη ἁγία
καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος· τὸ τοῦ
κηρύγματος ἄνωθεν ἀσάλευτον ἐκδιδάσκουσα,
ὥρισε προηγουμένως τῶν τιη´ ἁγίων πατέρων τὴν
πίστιν, μένειν ἀπαρεγχείρητον· καὶ διὰ μὲν τοὺς
τῷ πνεύματι τῷ ἁγίῳ μαχομένους, τὴν χρόνοις ὕστερον
παρὰ τῶν ἐπὶ τῆς βασιλευούσης πόλεως ρν´· περὶ
τῆς τοῦ πνεύματος οὐσίας παραδοθεῖσαν διδασκαλίαν,
κυροῖ· ἣν ἐκεῖνοι πᾶσιν ἐγνώρισαν· οὐχ ὥς τι
λεῖπον τοῖς προλαβοῦσιν ἐπεισάγοντες· ἀλλὰ
τὴν περὶ τοῦ ἁγίου πνεύματος αὐτῶν ἔννοιαν· κατὰ τῶν
τὴν αὐτοῦ δεσποτείαν ἀθετεῖν πειρωμένων, γραφικαῖς
μαρτυρίαις τρανώσαντες· διὰ δὲ τοὺς τὸ τῆς
οἰκονομίας παραφθείρειν ἐπιχειροῦντας μυστή-
ριον· καὶ ψιλὸν ἄνθρωπον εἶναι τὸν ἐκ τῆς ἁγίας

παρθένου τεχθέντα Μαρίας, ἀναιδῶς ληρῳδοῦντας,
τοῦ μακαρίου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων ἐκ-
κλησίας γενομένου ποιμένος· συνοδικὰς ἐπιστολὰς
πρός τε Νεστόριον καὶ τοὺς τῆς ἀνατολῆς ἁρμοδίας
οὔσας, ἐδέξατο· εἰς ἔλεγχον μὲν τῆς Νεστορίου
φρενοβλαβείας· ἑρμηνείαν δὲ, τῶν εὐσεβεῖ
ζήλῳ τοῦ σωτηρίου συμβόλου, ποθούντων τὴν ἔννοι-
αν· αἷς καὶ τὴν ἐπιστολὴν τοῦ τῆς μεγίστης καὶ πρεσβυ-
τέρας Ῥώμης προέδρου· τοῦ ἁγίου καὶ μακαρίου
λέοντος· τὴν γραφεῖσαν πρὸς τὸν ἐν ἁγίοις ἐπίσκοπον
Φλαβιανόν· πρὸς ἀναίρεσιν μὲν τῆς Εὐτυχοῦς
κακονοίας· ἅτε δὴ τοῦ μεγάλου Πέτρου, ὁμολο-
γίᾳ συμβαίνουσαν· καὶ κοινήν τινα στήλην ὑπάρ-
χουσαν κατὰ τῶν κακοδοξούντων, εἰκότως συνήρ-
μοσε πρὸς τὴν τῶν ὀρθῶν δογμάτων βεβαίωσιν·
τοῖς τε γὰρ εἰς υἱῶν δυάδα τὸ τῆς οἰκονομίας δια-
σπᾶν ἐπιχειροῦσι μυστήριον παρατάττεται, καὶ
τοὺς παθητὴν τοῦ μονογενοῦς λέγειν τολμῶντας
τὴν θεότητα, τοῦ τῶν ἱερῶν ἀπωθεῖται συλλόγου·
καὶ τοῖς ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ κρᾶσιν ἢ
σύγχυσιν ἐπινοοῦσιν, ἀνθίσταται· καὶ τοὺς, οὐρά-
νιον, ἢ ἑτέρας τινὸς ὑπάρχειν οὐσίας· τὴν ἐξ
ἡμῶν ληφθεῖσαν αὐτῷ τοῦ δούλου μορφὴν



παραπαίοντας, ἐξελαύνει· καὶ τοὺς, δύο μὲν πρὸ
τῆς ἑνώσεως φύσεις τοῦ Κυρίου μυθεύοντας· μίαν δὲ μετὰ
τὴν ἕνωσιν ἀναπλάττοντας, ἀναθεματίζει· ἑπό-
μενοι τοίνυν τοῖς ἁγίοις πατράσιν, ἕνα καὶ τὸν
αὐτὸν ὁμολογεῖν υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, συμφώνως
ἅπαντες ἐκδιδάσκομεν· τέλειον τὸν αὐτὸν ἐν
θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι·
θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς· τὸν αὐτὸν, ἐκ
ψυχῆς λογικῆς καὶ σώματος· ὁμοούσιον τῷ πατρὶ
κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν,
κατὰ τὴν ἀνθρωπότητα· κατὰ πάντα ὅμοιον ἡμῖν,
χωρὶς ἁμαρτίας· πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεν-
νηθέντα, κατὰ τὴν θεότητα· ἐπ' ἐσχάτων δὲ τῶν
ἡμερῶν, τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν
σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου τεχθέντα, κατὰ
τὴν ἀνθρωπότητα· ἕνα καὶ τὸν αὐτὸν Χριστὸν υἱὸν Κύριον·
μονογενῆ ἐν δύο φύσεσιν· ἀσυγχύτως· ἀτρέπτως·
ἀδιαιρέτως· ἀχωρίστως, γνωριζόμενον· οὐδαμοῦ
τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης, διὰ τὴν
ἕνωσιν· σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος, ἑκα-
τέρας φύσεως· καὶ εἰς ἓν πρόσωπον καὶ μίαν
ὑπόστασιν συντρεχούσης· οὐκ εἰς δύο πρόσωπα
μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν

αὐτὸν μονογενῆ υἱόν, θεὸν λόγον, Ἰησοῦν Χριστόν· καθάπερ ἄνωθεν
οἱ προφῆται περὶ αὐτοῦ· καὶ αὐτὸς ἡμᾶς Ἰησοῦς Χριστὸς ἐξε
παίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῖν παραδέδωκε σύμ
βολον. Τούτων τοίνυν μετὰ πάσης πανταχόθεν
ἀκριβείας καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων,
ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἑτέραν
πίστιν μηδενὶ ἐξεῖναι προφέρειν· ἤγουν συγγράφειν
ἢ συντιθέναι· ἢ φρονεῖν· ἢ διδάσκειν ἑτέρως· τοὺς
δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν· ἤγουν προ
κομίζειν· ἢ διδάσκειν· ἢ παραδιδόναι ἕτερον
σύμβολον τοῖς θέλουσιν ἐπιστρέφειν ἐξ ἑλληνισμοῦ·
ἢ ἰουδαϊσμοῦ· ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν,
τούτους· εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλο
τρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς· καὶ
τοὺς κληρικούς, τοῦ κλήρου· εἰ δὲ μονάζοντες
ἢ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι:-

*Ἀντέωνος ἐπισκόπου Ἀρσενόης, ἐπιστολὴ πρὸς
Πέτρον ἐπίσκοπον Ἀντιοχείας· ὅτι οὐ δεῖ
τὸ θεὸς ἐν τῷ τρισαγίῳ συνάπτειν· διὰ τῆς
προσθήκης τῆς, ὁ σταυρωθεὶς δι' ἡμᾶς· ἢ ἄλλην
αἱρετικὴν προσθήκην:*

Πάνυ εἰμὶ ἐστυγνακώς, ἀδελφὲ τιμιώτατε, ὅτι
ἐπηύξηται διὰ σοῦ μέγα σκάνδαλον, ἀντὶ τοῦ



ἐκτεμεῖν σε τὰ σκάνδαλα· καὶ γὰρ ἐπισχεῖν θέλω
τὰ ἐπὶ τούτῳ δάκρυα, καὶ κεκώλυμαι ὑπὸ τῆς
σῆς ἐν κακίᾳ ἐξευρημένης αἱρέσεως· ὅτι παρα
τέτρωται παρὰ σοί, τὰ εὐαγγέλια· πράξεις τε καὶ
ἀπόστολος· ἐπεὶ πῶς παρ' αὐτοῖς ἔδοξας ἐπισοφί
ζεσθαι, τοῦ μὴ Χριστὸν σταυρωθέντα καθαρῶς ὁμολογεῖν·
ἀλλὰ τῷ τρισαγίῳ τὸν σταυρὸν συνάπτειν· ὡς τὰ
πρῶτά σου γράμματα τὰ πρὸς Ἀκάκιον τὸν
Κωνσταντινουπόλεως ποιμένα δεικνύουσιν· ταύτῃ δὴ
δὲ εἰς ἀσέβειαν ἐμπέπτωκας, διαφόρως δια
στρέφεις τὴν ἐξενεχθεῖσαν ὑπὸ σοῦ ἀδίκως νομήν·
ὅπως ἐμπαράμονον καὶ ἑδραίαν αὐτήν, παρὰ
πᾶσι κυρώσῃς· οὔτε γὰρ τὸ θεῖον λέγομεν παθητὸν
ὡς σὺ λέγεις, οὔτε γυμνὸν λόγον φαμὲν σταυρωθέντα,
ἀλλὰ Χριστὸν Ἰησοῦν· ἐνδεῖ τῷ τρισαγίῳ ποῦ σώματος δή
λωσις, ἵνα χώραν ἡ τοῦ σταυροῦ λάβοι προσηγορία·
λέγεις γάρ· ἅγιος ὁ θεός· καὶ τίς οὐκ οἶδεν ὅτι πρῶτος
ὁ πατήρ, κατὰ τὴν τάξιν τῆς συνηθείας πᾶσι δοξο
λογίας, εἰ καὶ μὴ καθ' ὑπεροχὴν τῆς θεϊκῆς ἀξί
ας· ἔπειτα φάσκεις· ἅγιος ἰσχυρός· καὶ τίς οὐκ οἶδε
κατὰ τὸν προφήτην Ἠσαΐαν· ὅτι τὸ τεχθὲν ἡμῖν
παιδίον Χριστὸς Ἰησοῦς· οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου
αὐτοῦ· καὶ καλεῖται καὶ ἔστι, μεγάλης βουλῆς

ἄγγελος· θεὸς ἰσχυρός· εἰ γὰρ καὶ ἐσταυρώθη, οὐκ ἐξ
ἀσθενείας· ἀλλὰ τὸ ἀσθενὲς ἡμῶν ἀναλαβὼν σῶμα,
τοῦτο πέπονθεν· ἰσχυρὸς δὲ θεὸς τῶν ἐχθρῶν, προ
θύμως πρὸς τὸν σταυρὸν, τὸ οἰκεῖον ἐξεδίδου σῶμα·
ὥς εἰπεῖν καὶ τὸν προφήτην· αὐτὸς τὰς ἀσθενείας
ἡμῶν ἀνέλαβε· θεὸς δὲ καὶ ἅγιος, παρὰ πάντων
σῶ ὡμολόγηται ὁ Χριστός· οὐ δὲ μόνον τὸ ἰσχυρὸν τῆς
552 τοῦ Χριστοῦ θεότητος εἰπών· παραδραμὼν δὲ καὶ τοῦτον,
ἥκες ἐπὶ τὸ πνεῦμα τὸ ἅγιον· καὶ ὡμολόγησας ὡς
ἐστὶν ἀληθῶς, ἀθάνατον· τίνα οὖν ἐπιφέρεις
ἐσταυρωμένον δι᾽ ἡμᾶς, μετὰ ταῦτα· τὸν Χριστὸν λέγεις·,
οὐκοῦν δῆλος γέγονας, τετράδα φρονῶν· ἕτερον
παρὰ τὸν ἰσχυρὸν θεὸν, τὸν Χριστὸν ὀνομάζων· ἀλλὰ
τὸ πνεῦμα τὸ ἅγιον σταυρωθῆναι φάσκεις·, καὶ τί
τούτου δυσσεβέστερον γένοιτ᾽ ἄν· ἀλλὰ φαντασί
αν λέγεις τὴν τοῦ πάθους οἰκονομίαν·, οὐκοῦν φαν
τασίᾳ κατὰ τοὺς ἀσεβεῖς μανιχαίους, καὶ ἡ
ἡμῶν σωτηρία· ὁρᾷς, πῶς πανταχόθεν περικρη
μνίζῃ καὶ ἀγνοεῖς·, ἢ καὶ εἰδὼς, ἑκὼν κακουρ
γεῖς·, ἵν᾽ οὖν ὑπομνησθῇς, ἐντραπῇς τε περὶ
τῆς ἀπαιδευσίας σου· καὶ εἶξον, ὡς παρεδέξω
παρὰ τοῦ προφήτου, δοξολογεῖν τὸ τρισάγιον·
ἀσωμάτως γὰρ ὀνομαζόμενον· μηδενὸς προ



κειμένου τῆς σαρκώσεως τοῦ μονογενοῦς, αἰνίγματος,
καθαρῶς ὀφείλει δοξολογεῖσθαι· μηδεμιᾶς σταυροῦ
προσθήκης ἐπαγομένης· ὡς γὰρ ἂν σοφίσηταί τις,
ἐκκρημνίζεται τῆς ὀρθοδοξίας· Χριστὸν δὲ παραλαβὼν
δι᾽ ἡμᾶς σταυρωθέντα τὸν υἱὸν τοῦ θεοῦ· κατὰ τὸν μακά
ριον παῦλον φάσκοντα· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν
Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον· μὴ ἀπαρνοῦ τούτου τὸ
ὄνομα καὶ τὸ πάθος· εἰ δὲ μὴ, προλαβὼν ἐκεῖνος
ἔφη· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελά
βετε, ἀνάθεμα ἔστω· ἐγὼ γάρ φησιν οὐκ ἔκρινα
τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Χριστὸν Ἰησοῦν· καὶ τοῦτον, ἐσταυ
ρωμένον· εἰ δὲ τοῦτον ἀπαρνεῖσθε σταυρωθέντα·
καὶ τῷ τρισαγίῳ πάθος προσάπτετε, πῶς οὐχ ὑποι
σετε τὸν ἀναθεματισμόν· παῦλος ἐστὶν ὁ ἀναθε
ματίζων· τὸ σκάνδαλον τῆς ἐκκλησίας· προβάλου Χριστὸν,
καὶ σταυρὸν μὴ ἀπαρνοῦ· μὴ ἕτερον ἀνθ᾽ ἑτέρου·
πλεῖστοι γάρ εἰσιν οἱ σταυρωθέντες· εἷς δὲ, ὁ δι᾽ ἡμᾶς·
φέρε οὖν ἐν τῷ σταυρῷ, τοῦτο τὸ ὄνομα· ἵνα μὴ
ἕτερον ὑποπτευθῇς, λέγειν σταυρωθέντα· ὅτι
οἶδας, ὅτι πολλὰ τὰ ἐνέδρα τοῦ δολίου· διὰ
τοῦτο καὶ οἱ πατέρες καὶ οἱ ῥήτορες, ἕνα κύριον Ἰησοῦν Χριστὸν, παρα
δεδώκασι σταυρωθέντα, καὶ οὐ τὸ τρισάγιον· οἱ δὲ
νομομαθεστέρους κρίναντες ἑαυτοὺς εἶναι τοῦτ

τῶν πρώην, πῶς οὐ δεικνύουσιν ἑαυτοὺς τούτων
ἀλλοτρίους :-

Φαύστου ἐπισκόπου Ἀπολλωνιάδος, πρὸς τὸν
αὐτὸν Πέτρον :-

Ἐπειδὴ γὰρ ἐπὶ πέτραν παραμύθεσθαι τοὺς πρώτους
ὑπὸ τῶν ἀποκαλυφθὲν χριστοῦ τὸ μυστήριον ἐσχάτων·
ἐκείνους δὲ συνήθως ἄγειν τῆς κακοδιδασκαλίας·
ὡς γεγονότας καινίσους δογματιστάς, ἤκουσα παρὰ
πολλῶν συνεπισκόπων ἀγαπητὲ ἐκίνημα κινεῖν σε
τῆς ὀρθοδοξίας· καὶ τοῦτο, πανταχοῦ περιηχεῖται·
διὸ ἀναγκαῖον ἡγησάμην, πυθέσθαι παρὰ σοῦ,
εἰ ταῦτα οὕτως ἔχει· δεῖξαι γάρ μοι δέονται, μὴ
οὕτω σε φρονεῖν ὀφείλειν· ὥστε τῷ τρισαγίῳ,
σταυρὸν συνάπτειν, καὶ πάθει καὶ θνήσει, τὸ ἀπαθὲς
ὑποβάλλειν· ἀλλὰ καθαρῶς ὥσπερ τὰ σεραφίμ,
καὶ εὐσεβῶς δοξολογεῖν· πῶς γὰρ χριστιανίσουσι
τὰ ἔθνη, τοῦ ὀνόματος τοῦ σταυροῦ, μὴ ἐπιφερομένου
τῷ χριστῷ· πῶς δὲ καὶ αὐτοὶ οἱ χριστιανοὶ δύνανται
πιστοὶ τυγχάνειν, μὴ ἀνατιθέντες τῷ σταυρῷ, τὸ
τοῦ χριστοῦ ὄνομα· ἀκούοντες γὰρ οἱ ἄπιστοι θεὸν ἀθά-
νατον δι' ἡμᾶς σταυρωθέντα, ἐροῦσι σκάνδαλον
εἶναι τὸ πιστεῦσαι χριστῷ· ἀποστρεφόμενοι καὶ λέ-
γοντες· οἱ θεοὶ ἡμῶν· οἱ παρὰ τοῖς χριστιανοῖς



κίβδηλοι ὄντες, ἀθάνατοι παρ' ἡμῶν ἀναγορεύονται·
καὶ πῶς ὁ αὐτῶν θεὸς ἀθάνατος ὤν, ἔθανε· δῆλον ὅτι,
ψευδὴς ἡ ῥῆσις αὕτη· εἰ γὰρ ἀπέθανεν, οὐκ ἔτι
ἀθάνατος· οὐδὲ ἰσχυρός· ἀλλὰ ἀσθενὴς τῆς
ἀθανασίας τραπείς· οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ
καὶ θεοσεβεῖς· καὶ ἡμῖν ὁμόπιστοι, λέξουσιν ἀλλ'
οὗτοι, θεοπασχῖται καὶ οὐχὶ χριστιανοί εἰσι· μανι-
χαῖοι, καὶ οὐκ ὀρθόδοξοι· τετραδῖται, καὶ οὐ
τριαδόδοξοι· ἀντιχριστιανισταί, καὶ οὐκ ὀρθότομοι·
νεστοριανοί, καὶ οὐ φιλόχριστοι· εἰ δὲ τις τὸν ἐπὶ
σταυροῦ κρεμασθέντα· ἀκούσει χριστὸν υἱὸν εἶναι· ὅς τὴν
θνητὴν ἡμῶν σάρκα χρισθεὶς φιλανθρωπία, χριστὸς εἰκότως
κέκληται· διὸ καὶ ἐσταύρωσαν αὐτόν· ὃν ἐλπίζομεν
ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ,
τότε πεσὼν ἐπὶ πρόσωπον, ἐρεῖ· κἀγὼ χριστια-
νός εἰμι· πιστεύω εἰς ὃν καὶ οὗτοι ἐπίστευσαν·
καὶ πιστευθήσεται καὶ τὰ πάθη· καὶ ἡ θνῆσις τοῦ
σώματος αὐτοῦ· καὶ γὰρ διὰ τοῦτο πλείσταις λοιδο-
ρίαις ἐβλήθη παρὰ τῶν ἀπίστων· ἡ ἐν χαλκηδόνι
τῶν χλ΄ πατέρων ὀρθόδοξος πίστις, ὅτι εἶπον δύο 533.
φύσεις εἶναι ἐν τῷ χριστῷ· μίαν παθητήν· θνητήν·
ὁρατήν τε καὶ ἔπαφον· ἥτις ἐστὶν ἡ σὰρξ ἡμῶν·
καὶ μίαν ἀπαθῆ· ἀθάνατον· ἀόρατον· ἀψηλά-

φητον· ἢ τίς ἐστὶν ἡ τοῦ θεοῦ ἄχραντος φύσις. τὰ ἑκα-
τέρας οὖν ἐν τῷ Χριστῷ, δεῖ ἡμᾶς ὁμολογεῖν· ὧν τῇ
ἑνώσει, μηδαμῶς διάστασιν· μηδὲ τέμνῃς τὸν θεὸν λόγον,
ἀπὸ τῆς σαρκός· καὶ οὐ φωραθήσῃ νεστοριανός·
μηδὲ τὸ διάφορον ἀπαρνήσῃ τῶν τοῦ Χριστοῦ φύσεων,
καὶ οὐχ ὑποπτευθήσῃ εὐτυχιανιστὴς εἶναι· καὶ μὴ
συγχέῃς θεὸν σαρκὸς πάθεσι, καὶ οὐ λεχθήσῃ ἀπολ-
λιναριαστὴς εἶναι· μηδὲ τὸν ἀπαθῆ καὶ ἀθά-
νατον, τετράφθαι λέξῃς θεόν, καὶ οὐ προσοχθεί-
σεις εἶναι μανιχαῖος· μηδὲ ἐν τῷ τρισαγίῳ μετὰ
θεὸν πατέρα καὶ ἰσχυρὸν αὐτοῦ υἱόν· καὶ ἀθάνατον
πνεῦμα, προσθῇς Χριστὲ ἐσταυρωμένον, καὶ οὐ λέξεις τοῦ
σαμοσατέως τὴν αἵρεσιν· καὶ οὐκ ἐλεγχθήσῃ
πετραδιαφρονῶν καὶ οὐ τριάδα· μηδὲ τὴν
τριάδα, εἰς Χριστὸν ἀναπλάσῃς· αὐτὸν λέγων πατέρα
καὶ υἱόν· καὶ ἅγιον πνεῦμα, καὶ οὐχ ὑποίσεις τὴν
σαβελλίου δίκην· μηδὲ κληθῆναι θέλων
καθηγητὴς καὶ οὐκ ἀκόλουθος τῆς Χριστοῦ διδασκα-
λίας, καινοτομήσῃς κενοδοξίας αἵρεσιν· καὶ
οὐ μωμήσῃ σὴν ψυχήν· ὅπη οἶδας τοὺς ἀποστόλους
μὴ καθηγησαμένους ἐν καινοτομίαις· ἀλλ' ἢ χρη-
ματίσαντας τὸν μόνον καθηγητὴν καὶ νομοθέτην
Χριστόν. βλέπε ἀγαπητέ, μὴ εἰς πέρας ἄξῃς τὸ διὰ





φημιζόμενον περὶ σοῦ· μὴ γέλως γένῃ ὡς θεοπα-
σχίτης· ἢ πετραδίτης. εἰ δὲ καὶ ἐφ' ἥττω τούτων
τῶν λόγων τῆς φρονήσεως ἐμπαροιστρήσῃς, τάχος
ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ἵνα
ὡς εὐχόμεθα, ὀρθοτομῇς τὸν λόγον τῆς ἀληθεί(ας)·
Χριστὸν καθομολογῶν, σαρκὶ δι' ἡμᾶς παθόντα. τὸν
υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος. καὶ ἅπαξ τούτως ὁμο-
λογεῖν, μὴ ὑποσκελισθῇς ὑπὸ τῶν αἱρέσεων·
πολλοὶ γὰρ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον· οἱ
μὴ ὁμολογοῦντες Χριστὸν Ἰησοῦν, ἐν σαρκὶ ἐληλυθέναι:-

Παμφίλου ἐπισκόπου Ἀβύδου, πρὸς τὸν αὐτὸν Πέτρον:-

Τὸ πολύθρυπτον τῶν ἐμῶν παίδων ἀγαπητέ,
διεγείρει με κελαδεῖν θρῆνον· εἰ γὰρ ἐμοὶ ὦ
οἰκωθήσκει τις ἐκεῖσε κλαυθμοὶ φοιτᾷ,
πῶς οὐκ ἀποδακρύσομαι καὶ ἀποδύρομαι,
τὸν ἀλιτηρίως ἐκ τῶν σῶν ἀγγείων καταρ-
γιασθέντα τῶν ἐμῶν υἱῶν θάνατον· οὐκ ἔδει σε
ὡς σὸν ἀδελφόν, ἐπισπουδάσαι σὺν ἐμοὶ ἄξαι
πρὸς τὸν θεόν· τὸν καρπὸν δέ, πέπρακταί σοι
θεοφιλέστατε. ἐγένου γὰρ αὐτῶν ὀλετὴρ καὶ
οὐ ζωή· πικρία, καὶ οὐ χρηστότης· ὄμφαξ, καὶ
οὐ πέπειρος βότρυς· ζιζάνιον, καὶ οὐ σῖτος·
καλάμη, καὶ οὐ χρυσός· ἄκανθα, καὶ οὐκ

πάθος· ἐκταραγμός, καὶ οὐ γαλήνη. τί γὰρ τῶν προ
εδρωνῆμῶν καὶ ἐπισκόπων οὐ προσχῶντα σύμ
βολα, εἴξας μὴ προσθέσθαι τῇ τριάδι τετράδα·
ἐν τῷ τὸ τρισάγιον σφαλεῖσιν ἐν προσθήκῃ σταυροῦ·
αὕτη γὰρ δρακοντικὴ καὶ ἰοβόλων αἱρετικῶν
φωνή· καὶ πύλη ᾅδου· καὶ αἰώνιος πυλωρὸς
θανάτου· χριστιανῶν βρόχος· ἀκάκων θήραμα·
ὀρθοδόξων μῶμος· πιστῶν προπτώσεις· σωφρόνων
σκαμβώσεις· ἀσκητῶν, σκάνδαλον· οἷς ὑποπαθαι
γλυκὺ δοκεῖ εἶναι σὺ τῇ ἐκφωνουμένῃ σου ἐκθέσει·
τῇ παρακοντιζούσῃ τὸ μὲν ἀποστολικὸν ὅρον, καὶ τὰ
εὐαγγέλια· καὶ τὸ τῶν πίστεων σύμβολον, τῶν τὴν
προσθήκην ἐν τῷ τρισαγίῳ, ἀγνοούντων· τὸ
μὲν τὸ δηλητήριον· φράσον μοι οὖν τίς τὴν θεό
τητα ἔφη, σταυρὸν ὑπομεμενηκέναι· τί τὸν θεηγόρον
γυμνοῖς ἀπὸ τῆς στολῆς· τί διχάζεις τὸν ἄτμητον,
τῇ σῇ σκαιότητι· τί παρατιτρώσκεις τὴν ἀλήθειαν·
τί νεστορίῳ καὶ ἀντιχεῖ τῇ τομῇ τοῦ Χριστοῦ, ὑπὸ σοῦ δος
γίνη· καὶ τῷ σαμοσατεῖ μεμαθήτευσαι· ῥῆξαι Χριστοῦ
τὴν θεϊκὴν οὐσίαν, ἀπὸ τῆς σαρκός· καὶ οὐ ἀλλεντίω
σὺ ἠρθάξω· ὡς ἐκεῖνος φάσκων, τὸν ἀθάνατον
σταυροῦσθαι· καὶ ὑπόδουλον θεῖ τοῖς πάθεσι, τὴν
θείαν φύσιν· τί ἐπίσχου· ἢ πλανήσω· οὐ



παυλιανιστήν σε φωνήσω, ἀλλ' ἐν τοῖς συγγράμμασιν
ἔφης μετὰ τὴν τριάδα, φωνεῖν Χριστὸν δι' ἡμᾶς σταυρωθέντα·
οὐ μανιχαϊόν σε λέξω, ἀλλὰ γέγονας αὐτέλεγκτος·
θεὸν καὶ οὐχὶ Χριστόν, φήσας ἐσταυρωμένον· οὐ νεστοριανόν
σε φράσω, ἀλλ' ἀπέδειξας μετὰ τὸν πατέρα, μὴ ὁμο
λογεῖν τὸν ὑμνούμενον ὑπὸ πιστῶν, θεὸν ἰσχυρόν
υἱόν, σαρκὶ ἐσταυρωμένον· οὐκ ἀπολιναριαστήν
σε λέξω, ἔφυρες γὰρ ὡς αὐτός, θεὸν συγχέας σαρκικοῖς
πάθεσι· λίαν οὖν λύπῃ συσχεθείς, τάδε σοι προσ
τίθημι, σὺ τῷ φής τοῦτο συμβιβάσαν πίμει ἀνακαίω·
αὐτὸν δέ, ὁ πατὴρ ῥωμαίων· τοῖς πάντας δέ, ὁ παντε
πίσκοπος· πλὴν ὑμᾶς ἐμὴν τὴν ἐκκλησίαν· τί σκορ
πίζεις Χριστοῦ τὴν ποίμνην· εἰ κακῶς λέγω, φράσον
μοι σύ· ζητῶ γὰρ σε τῇ διδασκαλίᾳ τῇ ὀρθοστάτῃ,
ὑπερέχειν με καὶ πλάσσεις· πῶς οὖν φράσομεν·
ὡς Παῦλος Χριστὸν ἐσταυρωμένον, ἢ ὡς σὺ τὸν ἀθά
νατον ἐσταυρωμένον· πότερον ἐροῦμεν· ὅτι δεῖ τὸν υἱὸν
τοῦ ἀνθρώπου, ὡς πολλαχῶς ἔφη ὁ κύριος, παθεῖν, ἢ ὡς σὺ
κεκαινοτόμηκας, τὴν θεότητα παθεῖν; ἢ τὰ
εὐαγγέλια· καὶ αἱ πράξεις· καὶ ὁ ἀπόστολος ὡς σὺ
ἔφης, οὐ λέγουσιν ὡς παρὰ δεῖ· ἀλλ' εἰσὶ παρὰ σοὶ
μεμπτέα· καὶ παρὰ τοῖς ἐξηκολουθηκόσι τῆς
τοιᾶσδε σου παραφροσύνης· τοῦτο τρισάγιον

φωνεῖν ἐσταυρωμένον· ἢ μετὰ τὴν τριάδα Χριστὸν ἐσταυρω-
μένον· ἀποδεδειγμένοι γὰρ εἰσὶ σὺν σοὶ τετράδα
προσφέροντες. εἰ δὲ ταῦτα οὕτως ἔχει, τί ἀνα-
γινώσκονται αἱ θεῖαι γραφαί· ἢ αὗται οὐ πιστεύον-
ται ἀλλὰ σύ· ὅπου γὰρ καὶ κατὰ Χριστὸν παραδιδόασι,
δι' ἡμᾶς ἐσταυρωμένον· καὶ οὐ τὸ τρισάγιον ὡς σὺ
φάσκεις· ἀλλὰ καὶ ἀποβλητέοι σ' εἶπον αἱ γραφαί,
τοὺς θεοπασχίτας· ἤδη δὲ καὶ πρὸ τούτων τῶν γραμ-
μάτων ὡς κυρίῳ μου καὶ πατρί· ὡς ὀρθότατα φρο-
νοῦντι, δεδήλωκα ἐπανορθώσασθαι· καὶ ἀναρ-
ρῆξαι τὸ δὲ τὸ παρὰ σοῦ καινισθὲν ἀσεβὲς δόγμα,
καὶ οὐκ ἤξας· διὰ τοῦτο τοίνυν ὡς πρὸς πρῶτον
αἱρετὴν τῶν ἀσεβῶν τούτων λόγων, δεδύνημαι
τοῖς κατὰ σοῦ ἐπιτιμίοις· ἴσως καὶ διὰ τούτων
ἐντραπείς, ἐπιστομιζόμενος παρ' ἣν ἀπονοεῖς τῇ ἀξίᾳ,
θᾶττον εἴξῃς ὀρθοδοξεῖν πατέρα καὶ υἱὸν· καὶ ἅγιον
πνεῦμα· ἐν τῷ μηδὲν τούτοις προσθεῖναι ἢ ὑφαιρεῖν·
καὶ ἔχεσθαι τῆς ὑπὲρ ἡμῶν ἀψῖδος τοῦ θρόνου·
εἰ δὲ μὴ δὲ οὕτως ἀνάσχῃ, ἴσως σοι κοινωνίας παραι-
τήσειν· ἔφη γὰρ ὁ ἀπόστολος· αἱρετικὸν ἄνθρωπον μετὰ
πρώτην καὶ δευτέραν νουθεσίαν, παραιτοῦ· εἰδὼς
ὅτι ἐξέστραπται ὁ τοιοῦτος· καὶ ἁμαρτάνει, ὢν
αὐτοκατάκριτος· πλὴν θεοῦ ἐσμὲν ἐνταῦθα καί, μὴ



γενέσθαι σε αὐτοκατάκριτον· ἀλλ' ὀρθοτομοῦντα
τὸν λόγον τῆς ἀληθείας:-

ἀσκληπιάδου ἐπισκόπου τραλλέων, πρὸς τὸν
αὐτὸν πέτρον:

Ἰδοὺ ἀγαπητὲ πεπλήρωται ὁ κόσμος ἐκ τῆς ἐκθέσεώς
σου, σκανδάλου· καὶ τὰ βασίλεια ἐμφρόντιστα
γέγονε· καὶ οἱ ποιμένες διεγείρονται ἐπαξίως
ἄξαι ἐπὶ σοὶ ταλανισμόν· ἰδοὺ οὖν παρακλήθητι
φωνὴν μίαν ὀρθοτομίας τοῦ ἐπιτρυτανδεῖν,
τἀληθὲς ἐν τῷ κοινῷ· τοῦ, τὸν υἱὸν τοῦ θεοῦ, τὸν
κόσμον καθομολογεῖν ἐσταυρωμένον· καὶ μὴ τοῦτον
διαρρίπτεσθαι διὰ σοῦ· καὶ τούτου τὸ ὄνομα ἐν τῷ
ἑτέρως ἐνδιαστροφῇ λέγειν ἐν τῷ τρισαγίῳ τοῦ
τὸν σταυρόν· μή, σὺ πρῶτος εἶ τῶν ἐν νικαίᾳ
πατέρων, ἵνα ἄρξῃ ὁ ὅρος σου ὑπὲρ αὐτούς, ἀλλὰ
φησίν· ἐγὼ διὰ νεστόριον προσέθηκα ἐν τῷ
τρισαγίῳ τὸν σταυρόν· διὰ τὸ αὐτὸν παρεξωθεῖσθαι
ἐν τούτῳ τὴν θεότητα, ἐν τῷ σταυροῦσθαι αὐτόν·
καὶ τί· μή, νεώτερον νεστορίου τὸ φρόνημα·,
ἦρξε γὰρ τοῦτο ἀπὸ τοῦ ματαιόφρονος φωτεινοῦ·
ὃν οἱ ἅγιοι πατέρες οἱ ἐν νικαίᾳ, ἐν ζωῇ μένοντα κατέ-
φθασαν· τὸ δὲ δόγμα αὐτοῦ, κατέκριναν· οὐ διὰ
τοῦ φράσαι αὐτοὺς τὸ τρισάγιον, ἐσταυρωμένον·

ἐπειδὴ τοῦτο ἡ μὲν γνῶσις αὐτοῖς λίαν διάφορον,
Φωτεινοῦ δὲ ἕρμαιον. ὅθεν τὸ μὲν τρισάγιον,
ἐν μυστηρίοις μόνοις ἀπέθεντο φωνεῖσθαι. καθὰ
τὰ σεραφὶμ φασί. μηδεμίαν ἐν τούτῳ προσθήκην
ἢ ὑφαίρεσιν, πράξαντες. πάλιν δὲ τοῦτο τὸ ἀσε-
βὲς ἀναφανὲν ἐπὶ τοῦ σαμοσατέως, πάλιν ἡδρώ-
θη. καὶ ἐπισυναχθέντες οἱ ἁγιώτατοι τὴν μνήμην
πατέρες ἐν κωνσταντίνου πόλει. εἰ καὶ αὐτὸν οὐ παρέ-
φθασαν, ἀλλὰ τὸ δόγμα αὐτοῦ, κατέκριναν. τὸ μὴ
φρονεῖν δύο υἱούς. διὸ ἕνα καθωμολόγησαν ἐν
τῷ ὅρῳ αὐτῶν, υἱόν. μὴ τὸ τρισάγιον. ἔφησαν δὲ
αὐτὸν ἐσταυρωμένον, ὅτι τῷ ὅρῳ τῶν πρὸ αὐτῶν
πατέρων, ἐξηκολούθησαν. καὶ ἐπεσθαι τοῖς δόγ-
μασιν αὐτῶν, ἔκριναν. τοῦ δὲ τρισάγιον, ἐν
τοῖς μυστηρίοις μόνοις ἐξακούεσθαι ἀπαθῶς,
137 ὡς τὰ σεραφίμ, καὶ μὴ ἐσταυρωμένον. πάλιν δὲ
νεστορίου ἀνακαλύψαντος. καὶ κατασπίζοντος
τὰ ἀσεβῆ πρὸ αὐτοῦ δόγματα. φαμὲν δὲ τὰ
φωτεινοῦ καὶ τὰ τοῦ σαμοσατέως. συναθροι-
σθέντες δι' αὐτὸν οἱ περὶ κελεστῖνον καὶ κύριλλον,
ἔπαυσαν τὰς τοιαύτας δυσσεβείας. οὐκ ἀποθέντες
ἐν τῷ τρισαγίῳ, σταυρόν. ἢ σὺ δοκεῖς πάντων τούτων
σοφώτερος εἶναι, ἢ ἔχεσθαι παρ' αὐτοῦ πνεύματος



ἁγίου οἷς ἦν γνῶσις. ἡ δὲ τοῖς νῦν ἀποτεθεῖσα
ἐν τῷ τρισαγίῳ τοῦ σταυροῦ προσθήκη, δυσσεβὴς
βλασφημία ἐστί. πλὴν καὶ μετὰ τούτους τοῖς
ἁγίοις πατράσι. διαφόρων καταλαβόντων τὴν
κωνσταντίνου πόλιν σεισμῶν. μικροὶ καὶ μεγ.
πλούσιος καὶ πένης. δοῦλος καὶ ἐλεύθερος, ἐκ
τῆς δὲ ἀπαραχωρήσαντες ἐν τῷ κάμπῳ, ἅμα
συνέδραμον. κρυμμοῖς καὶ χειμῶνι ἐκεῖσε
μᾶλλον ὀλέσθαι, καὶ μὴ συνεμπίπτεσθαι τῇ αὐτῇ
πόλει. οὓς φαδιῶς θεὸς ἀξιώσας. καὶ φιλαν-
θρωπευσάμενος, ἀπεκάλυψε τῷ μακαρίῳ
πρόκλῳ, τὸ τρισάγιον. εἰς παῦσιν ὀργῆς λιτα-
νεύοντας αὐτούς, φωνεῖν. καὶ τοῦτο, ἐμφανῶς.
οὐχ ἑνὶ ἢ δευτέρῳ γνωσθέν. ἀλλὰ παντὶ τῷ
κόσμῳ. μὴ, ὑπέθετο θεὸς ἐν αὐτῷ λέγεσθαι
σταυρὸν, ὅτι οὐδὲν ὁρᾷ αἷς ὕβριν αὐτοῦ. ἔφησαν γὰρ
φάσκειν. ἅγιος ὁ θεός. ἅγιος ἰσχυρός. ἅγιος
ἀθάνατος, ἐλέησον ἡμᾶς. πῶς οὖν σὺ τετόλ-
μηκας παραθέσθαι σταυρὸν, παρὰ τὸν θεὸν ἢ καὶ
παρὰ τοὺς πατέρας. τὸν πατέρα συνέχων τῷ υἱῷ.
καὶ τῷ ἁγίῳ πνεύματι, ἐν τῷ τρισαγίῳ φωνῶν
τὸν σταυρόν. ὡς παρὰ σοὶ μὴ εἶναι πατέρα τὸν πατέρα
μόνον, ἀλλὰ καὶ υἱόν. καὶ τὸν υἱὸν, μὴ εἶναι

υἱὸν μόνον, ἀλλὰ καὶ πατέρα· καὶ τὸ πνεῦμα τὸ ἅγιον μὴ
εἶναι μόνον πνεῦμα, ἀλλὰ καὶ υἱόν· διὰ τοῦτο εἴ τις
ἀνατίθησιν ἐν τῷ τρισαγίῳ σταυρὸν παρὰ τὸν υἱὸν
τοῦ θεοῦ, ἀνάθεμα ἔστω· εἴ τις συγχέει τὴν τριάδα
αὐτὸν λέγων εἶναι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα,
ἀνάθεμα ἔστω· εἴ τις διΐστησι τὴν μίαν οὐσίαν
τῆς τριάδος, ἀνάθεμα ἔστω· εἴ τις τὸν ἕνα υἱὸν
διχάζει εἰς δυάδα υἱῶν, ἀνάθεμα ἔστω· εἴ τις τὸν
θεὸν λόγον καὶ τὴν σάρκα μίαν φύσιν λέγει· ἀγνοῶν
τῶν φύσεων τὸ διάφορον, ἀνάθεμα ἔστω· καὶ γὰρ
πιστεύομεν ὅτι ἡ ζωή, ζωή ἐστι καὶ οὐ μετέπεσεν εἰς
θάνατον· οὐ δὲ γνώσῃ καὶ ἀποκόψῃ ἐφ' οἷς ἀνό-
μως εἴρηκας· ἔσω δὲ καὶ ἐπὶ τοῦ θεοῦ ἡ χάρις, μετὰ
τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας:-

ἐπιστολὴ Ἰουστίνου ἐπισκόπου Σικελλίας,
πρὸς τὸν αὐτὸν Πέτρον· ὅτι οὐ δεῖ προσθήκ(ην)
εἶναι ἐν τῷ τρισαγίῳ σταυροῦ· ἵνα μὴ δύο
εἰσάξῃς υἱούς:-

Δεῖ τὸν στρατιώτην ὁπλίζεσθαι κατὰ τῶν πολε-
μίων· καὶ τὸν ἀθλητήν, τοῖς ἀνθισταμένοις·
ἡ δὲ πάλη ἡμῶν, οὐ σαρκική· οὐδὲ ἐπιφανείας
σώματος ἀλείμμασιν· οὐδὲ σχολάζων τις τῆς
πάλης, τὸ στέφος ἕξει τῆς θεότητος· ἐρραθυμηκὼς



τοῖς ἐπιπλήττουσι μὴ προΐεσθαι τῆς ἀληθείας τὴν πάλην·
εἰ γὰρ καὶ ἀθλεῖ τις, οὐ στεφανοῦται ἐὰν μὴ νομίμως
ἀθλήσῃ· καὶ τὰ ὅπλα ἡμῶν, οὐ σαρκικά· ἀλλὰ δυ-
νατὰ τῷ θεῷ, πρὸς καθαίρεσιν ὀχυρωμάτων· λογισμοὺς
καθαιροῦντα καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς
γνώσεως τοῦ θεοῦ· διὸ ὡς ἀδελφὸν διανίστημί σε ἐν ὑπο-
μνήσει, ὅτι καλὸν τὸ ὑπακούειν τοῖς πατράσι· καὶ ἀπέχε-
σθαι οἰκείας καινοτομίας· πείθου φιλικῶς ἀγα-
πητὲ ταῖς ὑποθέσεσιν, ἐν τῷ μὴ παρατίθεσθαί σε ἐν τῷ
τρισαγίῳ, δύο υἱούς· καὶ πείθου τοῖς σεραφίμ, τὴν
τριάδα ὡσαύτως δοξολογεῖν· καὶ μὴ παρὰ ταῦτα
νοσεῖν κενοδοξίαν, τοῦ ποιεῖσθαι καινισμὸν ἐπὶ σοφίᾳ·
σταυρὸν τῷ ὕμνῳ προστιθείς· πρὸς πολλοῖς γινόμενος·
ποιῶν διορύττεις ὄμματα ἰδιωτῶν· ἐπισκαλίζων
ἀσεβῶν ὁρμάς· μαίνῃ καὶ Οὐαλεντῖνον καὶ Εὐτυχῆ
ὁπλίζων, τοῦ φάσκειν παθητὸν τὸ θεῖον· μᾶλλον
δὲ Παῦλον τὸν Σαμοσατέα καὶ Νεστόριον· διότι ἐν
τῷ τρισαγίῳ προστίθης τὴν τετράδα· ὅπως ἐὰν
περιγραφῆς, τὸ ἀσεβὲς νόημα ἀσεβείας οὐκ ἔχει·
ἀλλὰ πλάσσων αἱρέσεων δεικνύεις μορφάς· Ἄρειος γὰρ,
ἐλαττοῖ τὸν υἱόν· καὶ Εὐτυχὴς ὁμοίως· διὰ τό, τὸ
πάθος προστίθεσθαι τῇ θείᾳ φύσει τοῦ υἱοῦ· διὸ οὐ
δὲ ὁμοούσιον φράσαι, ὡς Εὐνόμιος, τὸν υἱόν.

εἰ γὰρ δὴ παρ᾽ αὐτοῖς ὁ πατὴρ ἀπαθής· ὁ υἱὸς δὲ τῇ θεότητι
παθητός, πῶς ὁμοούσιος· Μακεδόνιος δέ, τέμνει
ἐκ τοῦ πατρὸς τὸ ἅγιον πνεῦμα· καὶ Νεστόριος ὡσαύτως δι-
χάζει εἰς δυάδα υἱῶν, τὸν ἕνα υἱόν· καὶ ἡ σύνεται ὡς·
σὺ ἔφης φάσκειν ἐν τῷ τρισαγίῳ, τετράδα· σταυρὸν
μετὰ τὸ ὁμολογῆσαι τὴν τριάδα, προστιθεὶς ἀσεβῶς·
παῦσαι οὖν τῆς τοιαύτης σου ἀσεβοῦς φράσεως·
μὴ προσθεῖναι τῷ σκανδάλῳ σκάνδαλον· καὶ
μὴ ἔσῃ αἴτιος ἀπωλείας τῶν ἁπλουστέρων ἀνθρώπων·
μήπως ὁ πρόεδρος ἡμῶν Φῆλιξ, κατὰ τοὺς κανό-
νας ἀποφήνηται κατὰ σοῦ, καὶ οὐδέν σε ὠφελήσει
τό, λέγειν, ἐγὼ εὐχρήστως τοῦτο ἀπετιθέμην,
τοῦ, τὸν σταυρωθέντα ἐν τῷ τρισαγίῳ ὁμολογεῖν·
σταυρὸν αἰρόμενον ἐκ τῆς οἰκουμένης· μήπως τοῦτο
τάχος ἐπιπολάσῃ· ὅτι τὸ ἀσεβές, ῥᾴδιον δεκτικόν·
τὸ δὲ ἄμεινον, οὔ· δέξαι οὖν ὡς ἀδελφοῦ σου παραί-
νεσιν· καὶ σβέσον τὸ φρύαγμα τῶν αἱρετικῶν·
καὶ γενοῦ ποιμὴν τῶν προβάτων, μὴ λύκος· καὶ
τῶν μακαρίων Πρόκλῳ, ἀκόλουθος· καὶ τὴν αὐτοῦ
ἐν τῷ καμίνῳ ἀποκαλύψει· φόβων ὄντων χιτῶς
φάσκειν τὸ τρισάγιον εἰς παῦσιν ὀργῆς· καὶ μὴ
ἐγείρειν ἐπὶ θυμὸν ἰσχυρόν· εἰ δὲ μή, ὄψει σύ·
ἡ ἀδελφότης μου, ἀθῶος ἔσται· κἀγὼ μετ᾽ αὐτῶν·



καὶ οἱ σὺν ἐμοὶ γράψαντες σοὶ περὶ τούτων· φρούρει
σεαυτὸν ἀγαπητέ, ἀπὸ τῶν σκανδάλων· ἔμαθες
ἀπὸ τοῦ Ἠσαΐου, ἅγιος· ἅγιος· ἅγιος, λέγειν· μὴ
σταυρὸν ἔφη σοι λέγειν·, ἀλλά φησί, τότε ὁ υἱὸς
οὐκ ἐσταυρώθη· καὶ διὰ τοῦτο οὐ παρέδωκε τότε,
τό, σταυρωθείς· πόθεν οὖν τὰ σεραφὶμ ἐν τῷ τρισα-
γίῳ προσέθηκαν τὸν σταυρόν, ὅτι σὺ λέγεις·, καὶ φῆναι·
οὐκ οἶμαι· καὶ εἰ οὐκ οἶδας, πῶς ἀσεβεῖς· καὶ γὰρ
καὶ τότε, ἔφη τὰ πάθη τῆς σαρκὸς τοῦ λόγου, ὁ
προφήτης· καὶ ὑμνολογεῖ σαφῶς τὸ τρισάγιον·
πλήν, πῶς καὶ λέγεις δέχεσθαι τὴν ἐν Χαλκηδόνι
σύνοδον· καὶ ὡς αὕτη παραδίδωσι σὺ οὐ δοξο-
λογεῖς τὸ τρισάγιον· ἀλλ᾽ ἀπειθεῖς ἐκείνῃ· καὶ
οὐκ ἐφοβήθης λεγούσης αὐτῆς· ὁ μὴ φρονῶν
οὕτως, ἀνάθεμα ἔστω· ὑγιῶς δοξολόγει, καὶ
ὑγιὴς ἔσῃ· εἰ δὲ μή γε, μόνος ἀντλήσεις τὰ κακά:—

Φῆλιξ ἐπίσκοπος Ῥώμης, πρὸς τὸν αὐτὸν
Πέτρον· καθαιροῦσα αὐτόν:—

Ἐπειδὴ δύστηνον ἐξεμάνθης ἐν ἀσεβείᾳ λόγον·
καὶ οὐκ ἔκρινας εἶξαι τοῖς προτεταγμένοις
ἁγίοις πατράσι· τοῖς κατακοσμήσασι τὸν θρόνον
τοῦ τῆς μακαρίας μνήμης καὶ πολυάθλου,
Ἰγνατίου τοῦ μάρτυρος· οὗ καὶ ἀνάξιος ὤν,

οὐκ οἶδ᾽ ὅπως ἐμπεπήδηκας δόξαι· καὶ νόμοις
σου βεβήλοις· καὶ ἀσεβέσι δόγμασι καινοτομίαν
τῇ καθολικῇ ἐκκλησίᾳ, ἐνέκρινας· τοῦ μὴ χριστὸν
545. σταυρωθέντα δι᾽ ἡμᾶς δεῖν εἰπεῖν, ἀλλὰ πάθος τῷ
ἀπαθεῖ θεῷ, ἀνόμως ἐπισάξαι· καὶ τῷ ἀθανά(των)
πατρὶ, θάνατον ἐπιθεῖναι· καὶ οὐκ ἔφριξας
ἃ οὐ παρεδέξω ἐκ πάντων θείων εὐαγγελίων καὶ
ἀποστόλων· καὶ τῶν ἀνδραγαθησάντων εὐφήμων
πατέρων· κακίστως ἐπισοφισάμενος ταῦτα ἐπι-
στροβῆσαι· καὶ οἰκείαν φρονήσεως λύμην ἐμ-
παραθέσθαι τοῖς ἁπλουστέροις· καὶ σκάνδαλον
τοιαύτης αἱρέσεως· ὡς οὐδὲ ἴσας ταῖς προτέραις
αἱρέσεσιν ἀνθεῖν· ὑπορράγειν δὲ μᾶλλον πολλαχῶς
καὶ διχώρμησας τῇ ἀληθείᾳ· καὶ τοῖς προσεγράμ-
μασιν ἡμῶν πειθῆναι, νῦν ἠρξάμην ἀποφαί-
νεσθαι κατὰ σοῦ· μᾶλλον δὲ ὁ κορυφαιότατος
τῶν ποιμαντικῶν θρόνων· ὁ ἐν ἁπάσαις εὐφημίαις
κομιῶν· ὁ πέτρος τῶν ἀποστόλων ἀληθῶς, πέτρος
οὐ μόνον δὲ κατὰ σοῦ· οὐ τῷ ὀνόματι ἐπισοσεῖ,
ἀλλ᾽ οὔτι γνώμῃ· οὐδὲ τῇ πίστει· ὅτι ὑπορράγαι
ἐκ τούτου ἐκκεκλικὼς τοῦ ὀρθοῦ σκοποῦ καὶ
τῆς ἀμωμήτου πίστεως, ἀλλὰ μὴν καὶ κατὰ τῶν
μὴ ἐρυθριασάντων τούτων τῶν σεπτῶν εὐαγγελιστῶν



χοραυτῆρας· καὶ τῶν τούτοις ἑπομένων ἀποστόλων·
καὶ πλειόνων ἀνδρῶν διδασκάλων τοῦ λόγου·
ἀστάτῳ γνώμῃ ἐπερειδομένων τῇ ἐκ σοῦ παρανομου-
μένῃ ἐκθέσει· ὡς ἡδύνατα παραΐεσθαι ἐπὶ τὸ
τῆς κακοδοξίας ὄντως ἐπὶ κρότατον, καὶ οὐκ ἀπο-
στραφέντων τὴν τοιαύτην δυσσέβειαν· λέξομεν
οὖν σοι, ὡς καὶ κατ᾽ ἐκείνων· ἐπειδὴ ἠγάπησας
κακίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην· ἠγάπησας
πάντα ῥήματα καταποντισμοῦ· γλῶσσαν δολίαν,
διὰ τοῦτο ὁ θεὸς καθελοῖ σε εἰς τέλος· οὐ μόνον
ἀπὸ τῆς ἀντιοχέων ἐκκλησίας, ἀλλὰ καὶ ἀπὸ
πάσης πόλεως· καὶ γε πεπαπιωμένως ἔσω σου
ἡ καθαίρεσις αὕτη, ὑπ᾽ ἐμοῦ· καὶ τῶν δι᾽ ἐπόντων
μετ᾽ ἐμοῦ, τὸν ἀποστολικὸν θρόνον· καὶ ἀνακαινι-
τοῦ τῆς κωνσταντινουπόλεως ἐκκλησίας, ποι-
μένος· καὶ τῶν αὐτοῦ τιμίων ὑποκειμένων ἐπι-
σκόπων· ὡς καὶ τῶν αὐτῶν μὴ ἀνασχόμενον
ὑπομνημάτων· ὅτε μὲν γὰρ ἔφης τριάδα δι᾽
ἡμᾶς σταυρωθῆναι καὶ οὐ χριστὸν· ὅτε δὲ τὸ ἀθάνατον
πνεῦμα, μανιχαΐζων· ὅτε δὲ ἐκ τούτων διαφύγων
διακατελεγχόμενος ὑπὸ τῶν ἐμῶν ὑποθηκῶν
καὶ λόγων, χριστὸν μετὰ τὸ ἀθάνατον πνεῦμα ἔλεξας
ὑπομεμενηκέναι τὸ πάθος· ὡς ὁ σαμοσατεὺς καὶ

νεστόριος· τὸν ἕνα υἱὸν διχάζοντες εἰς δυάδα υἱῶν· ὅτε
δὲ καὶ ἐπὶ τούτῳ εἴξας μὴ διασύρεσθαι, ἥκεις ἐπὶ τὸ καινόν·
τὸ τὸν χερουβικὸν ὕμνον εὐπαρέδρως τρόμῳ ἀνενδοιά-
στως ὡσαύτως τὴν τριάδα μὴ δοξολογεῖν· ἀλλὰ τὸν
πάντα ὕμνον, εἰς τὸν υἱὸν λέγειν· ἐθέλων ἐνστήσασθαι
ὡς κατὰ τῶν ἀκάκων ἐξήνεγκας νομιστὰ πραῖναν·
καὶ πάντοιαις ἐντεῦθεν ἀρχόναις αἱρέσεων, μεγίστως
περικρημνιζόμενος· ἐκ ναῶν τῆς ἀληθείας, τοὺς τὸν
Χριστὸν μὴ κηρύττειν δι' ἡμᾶς σταυρωθέντα· τὸν μονογενῆ
τοῦ θεοῦ υἱόν· τὸν ἐν μέσῳ πατρὸς καὶ ἁγίου πνεύματος, ἀσεβῶς
δοξολογούμενον· τί γὰρ τούτου ἀπαγορευτικώτερον·
πατρὸς παρ' ὑμῶν καὶ ἁγίου πνεύματος δοξουμένου· καὶ
συκοφαντίαν τοῖς γραφεῦσιν ὑμῶν παρεισφέροντες·
ὅτι οὐ τὴν τριάδα φάσκουσι δοξολογεῖν· ἅγιος·
ἅγιος· ἅγιος· ἀλλὰ μονοπροσώπως τὸν υἱόν· καὶ
ποία φρεναπατώδης αἱρέσεων οὕτως ἀπηναισχύντησεν
ὡς ὑμεῖς· πλὴν καὶ ἐν τούτῳ διατρέχοντες, ἔτι
καινοτέρως ἐπέβητε ταῖς στραγγαλιώδεσι τῶν ἀπὸ
θεοῦ ἀπεσπασμένων δυσφημιῶν· τὸν υἱόν, πατέρα καὶ
ἅγιον πνεῦμα λέγοντες· σαβελλιάζοντες καὶ συνα-
λείφειν κρίνοντες, τὴν τριάδα ὁμολόγως ἀπηρνή-
σασθε· εἰς ἣν ἐβαπτίσθημεν καὶ πιστεύομεν· καὶ
ὁμολογοῦμεν· τίς οὖν οὐκ ἀποδύρεται τὸ ὁ-



οὕτω φάσκοντας περὶ τοῦ τρισαγίου τοῦ ἀχράντου·
ὃ ἐμοὶ λίαν πρέπει ἀπείπασθαι· καὶ κλαυθμὸν
δοῦναι ἐπαξίως τῶν ἐπὶ τούτῳ διασυλωμένων
ἁπλουστέρων ψυχῶν· τῶν δ' ἀσεβείας ἀσεβεστο-
δραματουργησάντων· οὓς καὶ ἀλλοτρίους ἡγού-
μεθα, τῆς ὀρθοδόξου πίστεως καὶ τῆς καθολικῆς
ἐκκλησίας· καὶ τῆς κοινωνίας τοῦ ἡμῶν ἡγου-
μένου ἐνδόξου προέδρου, πέτρου· τοῦ τὰς κλεῖς
τῆς βασιλείας, παρὰ τοῦ σωτῆρος ἡμῶν εἰληφότος·
οἱ δὲ τοῦ ἀποστόλου θέλοντες εἶναι κοινωνοί,
ἄγονται καὶ τῇ διδαχῇ αὐτοῦ· τοῦ τὸν Χριστὸν φάσκειν
καὶ πιστεύειν, δι' ἡμᾶς σταυρωθέντα· καὶ μὴ τοῦτον
ἀπαρνήσασθαι, ὡς καὶ ὁ ἄρτι ὡς καθῃρημένος
πέτρος· διὰ τὸ ἀλλοκότως καὶ δαιμονιωδῶς ἐν τῷ τρισα-
γίῳ προσκεκαινοτομηκέναι τό, ὁ σταυρωθεὶς δι' ἡμᾶς·
εἰδότες ὅτι οὐ τριάδα παρὰ τῶν ἀποστόλων σταυρω-
θεῖσαν παρεδέξασθε· οὐ πατέρα· οὐ πνεῦμα ἅγιον· εἰ μὴ
σαρκὶ τὸν υἱὸν τοῦ θεοῦ· τὸν μονογενῆ μονώτατον· //
φάγετε τοίνυν ἀπὸ τῆς δαιμονιώδους τούτου κοινωνίας
καὶ ἔσομαι ὑμῶν κοινωνός· καθότι καὶ ὑμεῖς
ἐμοί· τοῦ δολεροῦ φάσματος, πόρρω ὑμῶν τῆς
ὀρθοδοξίας, ἐκπεπτωκότος· φυλάξατε Χριστοῦ
μαθηταί· ἐμοῦ δὲ υἱοί, τὰς παραδόσεις ἃς παρελά-

βεβαία ἀπὸ τῶν θείων γραφῶν:-

ἐπιστολὴ κῶ παμοῦ· ἐπισκόπου δρακουλιανῶν,
πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας:-

Πολυμερῶς καὶ πολυτρόπως ἐξενάσας ἀγαπητὲ
τῆς ἀληθείας· τὰ ἐναντία πραττόντων τοῦ δεσποτικοῦ
μυστηρίου· μὴ ἑπόμενος τοῖς εὐαγγελίοις· ἤτοι
τοῖς ἀποστόλοις· ἤτοι τοῖς ἁγίοις πατράσι· καὶ γὰρ
βαρέως φέρει κατ' αὐτῶν καινοτομίαν τῆς καθο
λικῆς ἐκκλησίας, ἡ ἔκθεσις ἴσσου· καὶ μέντοιγε,
οὐκ ἀπείπω ταύτης· πολλῶν ἐπισκόπων ὑπο
μεμνηκότων σε· μάλιστα τοῦ ἁγιωτάτου ἀρχι
επισκόπου φιλῆ ηκος· τοῦ ταύτης ἀποστραφῆναί
σε, καὶ ἀληθῆ καὶ ὀρθοτομοῦν εἶναι τοῦ σωτηρίου κηρύγ
ματος· ἀλλ' οὐδ' ὅλως γε ἀντιποιούμενος αἱρέσεων,
τὸ τῆς θείας διδασκαλίας τάλαντον, ἀπεκρύψω
εἰς τὴν γῆν· καὶ οὐ μᾶλλον τοῦτο προβάλλεσθαι
ἐπὶ τράπεζαν εἴξας, οἱ ὁμὲν ταῖς τῶν ἁγίων καρδίαις
τὴν ὑπ' ἣν διδασκαλίαν· ἀλλὰ τοῦ ἐναντίον ζιζά
νια τέσσαρας· καὶ τίς ἐπὶ ἀνέξεταί σου διαστρε
φόντος τὸ τοῦ Χριστοῦ εὐαγγέλιον· οὐ τὸν ἐν δύο φύ
σεσιν ἐν ἑνὶ υἱόν· τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τοῦτον κηρύσσων
ἐσταυρωμένον· ἀλλὰ τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ἀθάνατον·





οἷον τὴν μίαν τῆς τριάδος οὐσίαν φάσκων ἐσταυρω
μένην· καὶ οὐ μόνον, ἀλλά γε καὶ μίαν φύσιν τοῦ
θεοῦ λόγου καὶ τῆς σαρκός, φῄς· καὶ εἰ μία φύσις
τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός· μία δὲ φύσις τοῦ θεοῦ
πατρὸς καὶ τοῦ λόγου, ~~πῶς οὐ μία~~ καὶ ἡ αὐτὴ φύσις,
τοῦ πατρὸς καὶ τοῦ σώματος, καὶ τοῦ λόγου· εἰ δὲ οὐ
μία φύσις θεοῦ πατρὸς· καὶ σαρκὸς ἀνθρωπείας καὶ τοῦ
λόγου, φράσον πῶς μία φύσις τοῦ λόγου ~~καὶ τῆς~~
σαρκός· πῶς γὰρ κτιστὴ καὶ ἄκτιστος, μία φύσις·
εἰ δὲ τοῦτο ἀδύνατον, πῶς ἡ κτιστὴ σὰρξ καὶ ὁ
ἄκτιστος λόγος, μία φύσις καὶ οὐ δύο ἐνηλλαγ
μέναι· εἰ δὲ φύσεως μιᾶς ἐστιν ὁ Χριστὸς καὶ οὐ δύο,
τί λέγεις τὸν Χριστὸν κτιστόν, ὡς γὰρ θεός· ἢ ἄκτιστον,
ὡς ὁ Μανιχαῖος· ποῦ δὲ καὶ ἡ χρονικὴ Χριστοῦ γεννή
σεως φύσις, καὶ ἡ τῆς θεότητος αὐτοῦ προαιώνιος
γέννησις· ποῦ τό, σήμερον γεγέννηκά σε, καὶ
τό, Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς
αἰῶνας· πῶς δὲ καὶ λέγεις ~~πρὸ τῆς~~ ἑνώσεως
τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός, δύο· ἢ προϋπῆρ
χεν ἡ κατ' οὐσίαν ἐκ παρθένου ἑνώσεως· καὶ γὰρ
εἰ προϋπῆρχεν ἡ τοῦ Χριστοῦ σὰρξ πρὸ Μαρίας κατὰ
τὸν Οὐαλεντίνου ἀσεβῆ λόγον, πῶς δύο προ
ϋπῆρχον φύσεις, πρὸ Μαρίας· πῶς δὲ καί·

αὕτη ἡ ἔκφρασις· οὐχὶ εὐτυχοίη τοῦ μᾶλλον ἀτυχοίη,
τὸ ἐκ δύο λέγειν φύσεων, μίαν γεγενῆσθαι φύσιν; εἰ
δὲ ταὐτὰ ἐκείνῳ φρονεῖς, πῶς τοῦτον ἀποβάλλῃ,
ὅτ᾽ αὐτοῦ παραδεχόμενος κάκιστα καινίσματα·
εἰ γὰρ ἐπ᾽ ἀληθείας τοῦτο πέπρακτο, τοῖς κατ᾽ αὐτὸν
ἀπόιω πρᾶς τοῖς ἐν χαλκηδόνι, εἶχες ἂν δεκτούς·
πλὴν φράσον μοι· πῶς ἡνωμένως ὁ πατήρ· καὶ ὁ
υἱὸς καὶ τὸ πνεῦμα, λέγεται τριάς, μόνος ὢν θεός. εἰ
οὖν παραδέχῃ λέγειν ἐν ἑνὶ υἱῷ, δύο φύσεις· καὶ εἰ
ἡ τριὰς εἷς θεός, πῶς ὁ θεὸς καὶ τὸ ἡμῶν σῶμα αὐτῷ
ἑνωθέν, οὐκ ὀφείλει λέγεσθαι εἷς υἱὸς ἐν δύο φύ-
σεσιν· εἰ δὲ μία φύσις ὁ θεὸς λόγος καὶ ἡ σάρξ, δηλονότι
τραπεὶς ὁ λόγος, οὐκέτι λόγος· ἀλλὰ σάρξ· καὶ
εἰ ἡ σὰρξ τραπεῖσα γέγονε λόγος, οὐκέτι σάρξ· εἰ
δὲ ἐν τούτοις οὐ γέγονε τροπή, πῶς οὐκ εἰσὶν ἐν
χριστῷ δύο φύσεις· ἡ γὰρ σάρξ, σάρξ ἐστιν, εἰ καὶ
ἔστι θεοῦ σάρξ· καὶ ὁ λόγος, λόγος ἐστίν, εἰ καὶ ἀνέ-
λαβε τὴν ἡμῶν πρόσληψιν. εἰ δὲ ἐτράπη, πῶς
οὐχ ὁμοούσιος ἡ σὰρξ καὶ συναΐδιος τῷ πατρί, καθὸ
καὶ ὁ λόγος· εἰ δὲ ἑτεροούσιός ἐστιν ἡ σὰρξ τῷ πατρί,
καθότι αὕτη μὲν πρόσφατος· ὁ δὲ πατὴρ ἄχρονος,
πῶς οὐχὶ πρόσφατος καὶ ὁ λόγος· καθὸ μίαν εἶναι
φύσιν τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου, λέγεις· καὶ



τῷ πατρὶ ἑτεροούσιον αὐτὸν λέγεις. εἰ δὲ οὐχὶ αὕτη
φύσις τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός, πῶς οὐκ εἰσὶ
δύο, ἡ σὰρξ καὶ ὁ λόγος. εἰ δὲ πᾶσα ἡ θεότης σὰρξ
γεγένηται, πῶς ἔμεινεν ὁ λόγος ὃ ἦν· πῶς δὲ καὶ ἀ-
τρέπτως ἐσαρκώθη· καὶ εἰ οὐκ ἔστι σχεῖν δύο φύσεσι,
πῶς σαρκωθεὶς ὁ θεὸς λόγος, ἔμεινεν ὃ ἦν· καὶ εἰ ἔστιν
ὁ θεὸς λόγος παθητός· ἀπαθὴς δὲ ὁ πατήρ, πῶς εἷς καὶ
μόνος ἐστὶν ὁ θεός· πῶς δὲ καὶ τούτων, μία ἐστὶν ἡ
φύσις· εἰ δὲ καὶ ἀπαθὴς ἡ τριάς, πῶς ὁ θεὸς λόγος
ἔπαθεν ὑπὲρ ἡμῶν. εἰ δὲ οὐκ ἔπαθε, πῶς ἡ ἑτέρα
φύσις τῆς σαρκός, οὐκ ἔπαθε· καὶ εἰ πᾶν τὸ πάσχον
κτιστόν, πῶς ὁ θεὸς λόγος οὐ κτιστός, πάσχων σαρκί· εἰ
δὲ πάσχει σαρκὶ ὁ θεός, πῶς οὐ πάσχει θεότητι· εἰ δὲ
οὐ πάσχει θεότητι, τίνι πάσχει· σαρκί, εἰ δὲ σαρκὶ
πάσχει, πῶς οὐ πάσχει καὶ ἑαυτῷ ὁ θεός· εἰ δὲ ταὐτὸν
τὸ εἰπεῖν θεοῦ παθόντος σαρκί· τῷ εἰπεῖν χριστοῦ παθόντος
σαρκί, πῶς οὐκ ἔσται ταὐτὸν τὸ εἰπεῖν πνεῦμα θεῖον
πάσχει σαρκί· ἐπειδὴ πνεῦμα ὁ θεός. εἰ δὲ οὐχ ὅμοιον
τὸ θεοῦ παθόντος σαρκί· τῷ εἰπεῖν χριστοῦ παθόντος σαρκί,
πῶς δυνατὸν πλέον οἰκειοῦσθαι τὸν θεὸν λόγον τῆς
σαρκός, οὐ οἰκειοῦται τὰ τοῦ θεοῦ λόγου ὁ πατήρ· πῶς
δὲ καὶ εἰ οἰκειώσει ὁ θεὸς λόγος πάσχει σαρκί, οὐκ ἔσται
οἰκειώσει καὶ ὁ πατὴρ τῷ θεῷ λόγῳ πάσχων· καὶ εἰ

ἀπέθανεν ὁ θεὸς λόγος σαρκί, πῶς ἐστὶν ὁμοούσιος τῷ πρὶ,
τὴν ἀθανασίαν· ὁ γὰρ θανὼν ὑπὲρ ἡμῶν, οὐκ ἔστιν ἀθα
νάτος· ἀπέθανε γὰρ κατὰ τὰς γραφάς. καὶ εἰ εἷς τῆς
τριάδος ἀπέθανε, ποτὲ δυὰς ἡ τριάς. καὶ εἰ δυὰς
ἡ τριὰς οὐ γέγονε ποτέ, πῶς εἷς τῆς τριάδος ἀπέθανεν.
εἰ γὰρ ἑτέρα φύσις τοῦ θεοῦ λόγου, οἷον ἡ τῶν ἀνθρώπων
φύσις, οὐκ ἔθανεν. εἰ δὲ ἡ τρισαγία φωνὴ τριὰς
οὐχ ὑφίσταται, δῆλον ὅτι μιᾶς ὑποστάσεως εἶναι λέγεις
τὴν τριάδα. καὶ πῶς οὐ δεικνῦσαι εἶναι σαβελλιανός.
εἰ δὲ ἐν τρισὶν ὑποστάσεσι μία φύσις ὑφίσταται τῆς
τρισαγίας φωνῆς, πῶς οὐχὶ τὴν τριάδα σταυρωθῆναι
λέγεις. καὶ ἄθεον ἑαυτὸν ὡς οἱ μαρκιωνισταὶ εἶναι
οὐ λέγεις. παῦσαι οὖν· ὅς τις λέγει μίαν φύσιν θεοῦ λόγου δ
καὶ σαρκός· καὶ οὐ δύο ἡνωμένας καὶ ἀδιαιρέτους,
καθαιρείσθω. καὶ εἴ τις φύρει ~~τὰς δύο~~ τὰς δύο τοῦ
χριστοῦ φύσεις· λέγων θεὸν παθόντα σαρκί. καὶ οὐ παθόντα α
χριστὸν σαρκὶ κατὰ τὸν ἀπόστολον, καθαιρείσθω. καὶ
εἴ τις τὸν ἀπαθῆ καὶ ἀθάνατον θεὸν λόγον λέγει
τετράφθαι εἰς πάθος καὶ εἰς θνῆσιν· καὶ οὐκ ἀπο
διδῶ τῇ αὐτοῦ σαρκί, καθαιρείσθω. καὶ εἴ τις
μετὰ τὴν τρισαγίαν φωνὴν χριστὸν λέγει σταυρωθέντα·
καὶ οὐχὶ μᾶλλον τὸν ἕνα υἱόν· τὸν ἐν μέσῳ τῆς
τρισαγίας φωνῆς ἀνυμνούμενον, καθαιρείσθω.



καὶ εἴ τις ἄνθρωπον λέγει τὸν δι' ἡμᾶς σταυρωθέντα. ἤτοι
θεόν· χωρίζων τὰς φύσεις καὶ οὐ συνάπτων ἐν τῷ
σταυροῦσθαι αὐτόν, καθαιρείσθω. καὶ εἴ τις ψιλὸν
ἄνθρωπον λέγει ὡς παῦλος ὁ σαμοσατεύς. ἢ ὡς πορφω
τεινός, ἀναθεματιζέσθω. καὶ εἴ τις θεάνθρω
πον λέγει. καὶ οὐχὶ θεὸν καὶ ἄνθρωπον μᾶλλον λέγει,
ἀναθεματιζέσθω. καὶ εἴ τις ἑτεροούσιον λέγει
τῆς ἡμετέρας σαρκὸς τὴν σάρκα τοῦ χριστοῦ. καὶ οὐχὶ
δὴ μᾶλλον ἡμῖν ὁμοούσιον χωρὶς ἁμαρτίας, καθαι
ρείσθω. καὶ εἴ τις λέγει ἄνουν καὶ ἄψυχον τὸν κύριον
ἡμῶν ἰησοῦν χριστόν. καὶ ἀντὶ ψυχῆς ἔχειν τὴν θεότητα.
καὶ ὡς ἐκ τούτου πάσχειν σαρκὶ τὸν θεὸν λόγον λέγει.
καὶ οὐχὶ δὴ μᾶλλον νοῦν ἔχειν. καὶ ψυχὴν λογικὴν
ἀνειληφέναι τὸν θεὸν λόγον. καὶ ἀπαθῆ λέγει αὐτὸν
τῇ θεότητι. παθητὸν δὲ τῇ ἀνθρωπότητι, καθαι
ρείσθω. ταύτας τὰς δώδεκα καθαιρέσεις, ἀπέ
στειλά σοι. ὅπως φοβηθεὶς τούτων τὰς κρίσεις,
διεστηκὼς ἔσῃ τῆς παρὰ δεινοτάτης σου καινοτομίας.
εἰδὼς ὅτι χρὴ ἐξακολουθεῖν, τῇ ἀποκαλύψει
τοῦ ὁσιωτάτου τῆς κωνσταντίνου πόλεως τῶν
ἐκκλησίας ἐπισκόπου, πρόκλου. πῶς ἐν τῷ
καιρῷ καταδραμὼν σοῦ παρ' ἐπὶ τῷ λαῷ. κυμα
τιζομένης ὑπὸ σεισμῶν τῆς αὐτῆς πόλεως. καὶ

θρήνου ὑπὸ πάντων ἀναπεμπομένου, ἄφνω παιδίον
εἰς τὸν ἀέρα ἀρθῆναι ὑπό τινος δυνάμεως. καὶ τούτῳ
ἐνθέσθαι τοὺς λιτανεύειν τὸ τρισάγιον καὶ λέγειν· ἅγιος
ὁ θεός· ἅγιος ἰσχυρός· ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.
καὶ ταῦτα τοῦ ἀπαγγεῖλαι τῷ ἐπισκόπῳ προσετά-
χθη. καὶ οὕτως μετὰ τρίωρον, ἔστη ἐν τῷ τριβουνα-
λίῳ παρὰ τοὺς πόδας τοῦ αὐτοῦ ἐπισκόπου. καὶ
ταῦτα διηγήσατο. καὶ οὕτω λιτανευσάντων, ἔστησαν
οἱ σεισμοί. οὕτως οὖν καὶ σὺ λιτάνευε. καὶ παύσεται
ἡ κατὰ σοῦ μελετωμένη ἐξενεχθῆναι ὀργή. εἰ δὲ μή,
ἥξει ἐπὶ σὲ καθαίρεσις ὑπὸ τοῦ πάπα ἡμῶν Φιλήκου.
φυλάξει δὲ ὁ θεὸς τὸν κόσμον, ἀπὸ τῶν σκανδάλ-
ων· ᾧ ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων,
ἀμήν:-

Ἐπιστολὴ Ἀκακίου ἀρχιεπισκόπου Κωνσταντινου-
πόλεως, πρὸς Πέτρον ἀρχιεπίσκοπον Ἀντιο-
χείας. ὅτι οὐ δεῖ ἐν τῷ τρισαγίῳ ἐντίθεσθαι
τό, ὁ σταυρωθεὶς δι' ἡμᾶς:-

Ἐξέστη ὁ οὐρανὸς καὶ ἔφριξεν ἡ γῆ. ἐσαλεύθη δὲ καὶ τὰ
θεμέλια τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστο-
λικῆς ἐκκλησίας. θρῆνος δὲ καὶ κλαυθμὸς
κατείληφε τοὺς ἱερεῖς τοῦ Χριστοῦ. ἐφ' οἷς ἔγνωτε καὶ ἡμεῖς
κατὰ θεὸν ἐπίνασιν ἐνταῦθα ἀθροισθεῖσα ἁγία



σύνοδος, ἀκηκόαμεν πεπρᾶχθαι ὑπὸ σοῦ ἀδελφέ.
ποία γραφή σε ἐδίδαξε, τὸ ἅγιον πνεῦμα λέγειν ἐσταυ-
ρῶσθαι. ἢ δύο υἱοὺς δογματίζειν. ἢ νοθεύειν τὴν
τρισάγιον ὑμνολογίαν. ἢ τετράδα ἀντὶ τριάδος
δοξάζειν. ἢ ἀγγέλων ἁγιώτερον καὶ νουνεχέστερον
ἑαυτὸν ἀποφαίνειν. ἐν γὰρ τῷ λέγειν ἅγιος ἰσχυρός.
καὶ πάλιν κατωτέρω ἐπάγειν ὁ σταυρωθεὶς δι' ἡμᾶς,
δύο υἱοὺς σημαίνει. ἕνα ἰσχυρόν, καὶ ἕνα τὸν
σταυρωθέντα. ὅταν δὲ πάλιν εἴπῃς. ἅγιος ἀθάνατος
ὁ σταυρωθεὶς δι' ἡμᾶς, εὑρίσκῃ τῷ ἁγίῳ πνεύματι τὸν σταυρὸν
ἐπιφέρων. περὶ γὰρ αὐτοῦ εἴρηται τό, ἅγιος ἀθά-
νατος. καὶ τὰ τοιαῦτά σου φρονήματα, πάσης
αἱρετικῆς κακονοίας, ἴδια. μᾶλλον δὲ μανι-
χαϊκῆς μανίας ἰνδάλματα. καὶ γὰρ ἐκεῖνος
καθάπερ καὶ σύ, παντελῶς ἀπαρνησάμενος
τὸν μονογενῆ τοῦ θεοῦ υἱόν. καὶ τὴν παρθενικὴν
ὠδῖνα, ἔφησε τὸ ἅγιον πνεῦμα τότε ἐν εἴδει περιστερᾶς
κατελθὸν ἐκ τῶν οὐρανῶν ἐν τῷ Ἰορδάνῃ ποταμῷ,
σεσωματῶσθαι ἐκ τῶν ὑδάτων. καὶ τοῖς ἥλοις
σύναμα σταφῆναι. καὶ τῷ σταυρῷ προσηλῶσθαι.
καὶ τὸν θάνατον ὑπομεμενηκέναι τὸν ὑπὲρ
ἡμῶν. πῶς δὲ καὶ ἐπιβαίνειν νῦν οὐκ ἐρυθριᾷς,
τῷ ἱερατικῷ θρόνῳ. ὃν ἐμόλυνας διὰ τῶν σῶν

βλασφημιῶν· ἔξω τοῦ ἱερατικοῦ τάγματος· καὶ
ἀλλότριος γεγονὼς τοῦ ποιμνίου τοῦ Χριστοῦ· οὐ μόνον
γὰρ τὸν χερουβικὸν ὕμνον ἐνόθευσας· δι᾽ οὗ καὶ
ἡ ἡμετέρα πόλις ἐστερεώθη· σαλευομένη ποτὲ
ὑπὸ ἀνενδότων σεισμῶν· παιδὸς νηπίου περὶ
τὸν αἰθέρα ἁρπαγέντος ἐπόψεσι πάσης τῆς πόλεως,
ἕως τρίτου οὐρανοῦ κατὰ τὸν θεσπέσιον Παῦλον·
κἀκεῖ ἀκηκοότος τὴν ἄρρητον ταύτην ὑμνολο-
γίαν· καθ᾽ ἣν ὥραν ἐν τῷ κάμπῳ τὰ πλήθη μετὰ
δακρύων ἀνεβόων, τὸ κύριε ἐλέησον, πρὸς τὸν
θεὸν ἅμα τοῦ ἐν ἁγίοις Πρόκλου τοῦ γενομένου πατρὸς
ἡμῶν· καὶ ἀρχιεπισκόπου ταύτης τῆς βασιλίδος
καὶ φιλοχρίστου πόλεως· ἀλλὰ γὰρ πολὺ πρότερον
πειρᾶσαι τὰ ἐναντία φρονεῖν· οὐ μόνον τῶν
ἁγίων συνόδων· τῆς τε ἐν Νικαίᾳ καὶ ἐν ταύτῃ τῇ
βασιλίδι πόλει· καὶ τῆς ἐν Χαλκηδόνι, ἀλλὰ
καὶ τῶν θείων γραφῶν· μὴ βουλόμενος κατὰ
τὴν αὐτῶν παράδοσιν λέγειν, Χριστὸν τὸν μονογενῆ
τοῦ θεοῦ υἱὸν τὸ πάθος ὑπομεμενηκέναι σαρκί,
κατὰ τὴν παράδοσιν τοῦ κορυφαίου τῶν ἀπο-
στόλων· γράφων γὰρ αὐτός, ἀναφράζει· Χριστὸς ἅπαξ
περὶ ἁμαρτιῶν ἀπέθανε· δίκαιος, ὑπὲρ ἀδίκων·
θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι· ἐν ᾧ



καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθείς, ἐκήρυξε·
φυλακήν, τὸν ᾅδην καλῶν· κρύψας γὰρ τὸ ἄσκι-
ον τῆς αὐτοῦ θεότητος ἔνδον τῆς ψυχῆς τοῦ ἁγίου
αὐτοῦ σώματος, οὕτως τῷ ᾅδῃ συνεκρίθη· καὶ
τὴν αὐτοῦ παμφάγον γαστέρα, ἀνέτεμε· καὶ τοὺς
ἀπ᾽ αἰῶνος θανόντας, ἐζωοποίησε· κατὰ τὸν
Ἰὼβ τὸν λέγοντα· ἄξεις δράκοντα ἐν ἀγκίστρῳ.
οὐδὲ ἀπὸ τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψας,
ἐπὶ τοὺς μύθους ἐξετράπης· κατὰ τὸν Ἄρειον.
καὶ Ἀπολινάριον· λέγων τὸν ἕνα τῆς τριάδος,
παθεῖν· ὅς ἐστιν, ἡ ἄρρητος σοφία τοῦ θεοῦ καὶ πατρὸς
τό, τε αὐτοῦ ἀπαύγασμα, καὶ χαρακτὴρ τῆς
ὑποστάσεως αὐτοῦ· λόγος συνάναρχος καὶ συναΐ-
διος· ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος· καὶ ὁ λόγος, ἦν
πρὸς τὸν θεόν· καὶ θεὸς ἦν ὁ λόγος· πάντα δι᾽ αὐτοῦ
ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν·
οὕτως δὲ φρονεῖν ἐνόθευσας, ἐπειδὴ ἀπαρνήσω
τὴν σάρκωσιν τοῦ λόγου ἐν ἀνθρώποισιν· ἣν καὶ
ὑπὲρ ἡμῶν αὐτὸς ὁ θεὸς καὶ λόγος, λύτρον δέδωκε
τῷ θανάτῳ· ὃν καὶ ἀναστήσας ἐκ νεκρῶν, ἀνή-
γαγεν εἰς οὐρανούς· περὶ ἧς καὶ τῷ Ἀβραὰμ ἔλεγεν
ὁ θεός· ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα
τὰ ἔθνη· ὃ καὶ βεβαιῶν ὁ ἀπόστολος, ἔλεγε·

τῷ Ἀβραάμ, ἐλέχθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρ-
ματι αὐτοῦ. οὐ λέγει καὶ τοῖς σπέρμασιν αὐτοῦ ὡς ἐπὶ
πολλῶν. ἀλλ' ὡς ἐφ' ἑνός. καὶ τῷ σπέρματί σου. ὅς
ἐστι Χριστός. ἐσπούδασται δέ σοι τὸ οὕτως φρονεῖν, καθότι
οὐδὲ τὴν τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπῶν ὕ
μίαν προσδέχῃ. εἴ γε τὴν τοῦ υἱοῦ τοῦ θεοῦ. καὶ ἄρα
πάντως περὶ σοῦ ἂν εἴη τὸ γεγραμμένον. εἴ τις οὐχ
ὁμολογεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι,
ἤτω ἀνάθεμα. καὶ τὸ ὑπὸ Ἰωάννου λεγόμενον.
πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστόν, ἐκ τοῦ θεοῦ γεγέννηται. καὶ
πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριστόν, ἐκ τοῦ θεοῦ οὐ γεγέννηται.
οἱ ἐκ τοῦ θεοῦ σῶτε γεννηθέντες, Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ τὸ
πάθος γεγενῆσθαι λέγουσι. κατὰ τὰς προαγγελθείσας
περὶ αὐτοῦ προφητείας. καὶ τὰ τῶν ἀποστόλων
διδάγματα. Χριστὸν γὰρ λέγων τὸν τοῦ θεοῦ τοῦ παντο-
κράτορος υἱὸν τὸν σταυρὸν ὑπομεμενηκέναι, τὰ ἑκά-
τερα λέγεις ἐν τῷ ἑνί. τήν τε αὐτοῦ θεότητα. καθὼς
θεός ἐστιν ἀπαθὴς καὶ ὁμοούσιος τοῦ θεοῦ καὶ πατρός. καὶ
ἄνθρωπος ὁ αὐτὸς θνητὸς καὶ ὁμοούσιος τῇ παρθένῳ
μητρί. τὸ γὰρ λέγειν τὸν ἕνα τῆς τριάδος παθεῖν, δει-
κνῦσιν αὐτὸν τὸν λόγον, παθητόν. ἐὰν οὖν ὁ λόγος
παθητός, ὁμοίως καὶ ὁ πατήρ. εἰ δὲ ὁ πατὴρ καὶ ὁ λόγος
παθητός, παθητὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἐπειδὴ μία



οὐσία. καὶ μία ἡ τούτων θεότης. ἐὰν δὲ εἴπῃς. φεύ-
γων τὸ τῆς υἱοπατρίας ἔγκλημα. παθητὸν μὲν τὸν
λόγον. ἀπαθῆ δὲ τὸν πατέρα καὶ τὸ πνεῦμα, ἔλυσας τὸ
ὁμοούσιον. ἐπηύξησας δὲ καὶ τὴν πολυθεΐαν. ἵνα
οὖν μὴ ἄτριπτον καὶ ἄβατον τρίβον διοδεύων.
κρημνισθῇς εἰς τὴν τῶν αἱρέσεων φάλαγγα. γενή-
δὲ καὶ ὑπαίτιος τῆς πολλῶν ἀπωλείας καὶ τῆς τοῦ θεοῦ
ἱερατείας ἀλλότριος, τὴν βασιλικὴν ὁδὸν σεαυτὸν
καὶ τὴν ποίμνην ὁδήγησον. καθὼς καὶ οἱ ἐν Χαλκη-
δόνι ἅγιοι πρεσβαδίσαντες, κατέλαβον τὸν ὅρον.
ἐπεὶ ἔσο γινώσκων. ὅτι ἡ ἀξίνη, πρὸς τὴν ῥίζαν
τῶν ἀκάρπων δένδρων, κεῖται. καὶ ὑπὸ ταύτης
ὡς ἀγριέλαιος, ἐκκοπήσῃ. τουτέστι τῇ τοῦ ἁγίου
πνεύματος δυνάμει. ἵνα ἡ εἰρήνη καὶ ἡ ὁμόνοια, ἀρρα-
γὴς διαμείνῃ τοῖς ἱερεῦσι τοῦ Χριστοῦ:-

## ἐπιστολὴ Φίληκος πάπα Ῥώμης, πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας. παραινοῦσα, ὅπου δὴ προσθεῖναι ἐν τῷ τρισαγίῳ, ὁ σταυρωθεὶς δι' ἡμᾶς:

Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ. καὶ τοῖς ὀφθαλμοῖς
μου πηγὴν δακρύων. ποῖον δὲ καὶ ἄξιον
ὀδυρμὸν προσοίσω τῇ ἐμαυτοῦ ψυχῇ. συναλγῶν
τῇ τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Χριστοῦ ἁγίᾳ καθολικῇ
καὶ ἀποστολικῇ ἐκκλησίᾳ. κλαίουσα ἔκλαυσεν

αὐτῇ, ἐπὶ υἱοῖς καὶ θυγατράσιν αὐτῆς· καὶ οὐχ ὑπάρ-
χει ὁ παρακαλῶν αὐτήν. ἀπὸ πάντων τῶν ἀγα-
πώντων αὐτήν. ἅπαντες οἱ καταδιώκοντες αὐτὴν
τύραννοί τε καὶ αἱρεσιάρχαι, κατέλαβον
αὐτήν, διὰ σοῦ ἀδελφὲ τιμιώτατε. καὶ οἱ ἐκθλί-
βοντες αὐτήν, ἐγένοντο εἰς κεφαλὴν αὐτῆς· πᾶσα
ἡ εὐπρέπεια αὐτῆς ὅσον τὸ ἐπὶ σοί, ἐγένετο εἰς
οὐδέν. ἰδόντες οἱ ἐχθροὶ αὐτῆς, ἐχάρησαν ἐπὶ τῇ
ἀπωλείᾳ τῶν τέκνων αὐτῆς· οὓς γὰρ ἐξέθρεψεν·
οὓς ἐτιθηνήσατο· οὓς εἰς μέτρον ἡλικίας ἀνή-
γαγε· γαλακτοτροφήσασα προφητικοῖς καὶ ἀπο-
στολικοῖς δόγμασι, τούτους ἐν μιᾷ καιροῦ ῥοπῇ,
διὰ δηλητηρίου ἐφόνευσας· καθ᾽ ὃν γὰρ τρόπον
οἱ τὴν ἁλιείαν τεχνὴν μετερχόμενοι· βρώματι τὸ
ἄγκιστρον καλύπτουσι· καὶ ἀπροόπτως τοὺς
ἰχθύας ἀγρεύουσιν, οὕτω καὶ σύ· τῇ τῶν ἀγγέλων
ὑμνολογίᾳ, προσθήκην ἐπήγαγες· καὶ τῇ τρισα-
γίᾳ λιτῇ· ὡς ἐκ προσώπου εὐσεβείας, ἀσέβειαν
δεινὴν ἐπενόησας· ἐκ πολλῶν γὰρ ἐπαρχιῶν τῶν
κατὰ τὴν ἀνατολήν, γράμματα ἐδεξάμεθα· τὰ
σημαίνοντα ἡμῖν· ὡς ὅτι ἡ σὴ θεοφίλεια, τὸ
πάλαι σιωπηθὲν οὐαλεντίνου δόγμα, ἀνέλαβε·
καὶ ἀθετεῖται παρ᾽ ὑμῶν ἡ σωτήριος ἐνανθρώπησις·



καὶ ὅτι εἰς τὸ μανιχαίων δόγμα· ἀρείου τε καὶ ἀπολινα-
ρίου· καὶ παύλου τοῦ σαμοσατέως, παρηνέχθητε· τὸ
γὰρ μὴ λέγειν τὸν μονογενῆ υἱὸν καὶ κύριον ἡμῶν ἰησοῦν χριστόν· ἅμα
τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι· αὐτόν
τε τὸ πάθος τοῦ σταυροῦ ὑπομεμενηκέναι· ἀλλὰ μίαν
φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην· ἄψυχόν τε καὶ
ἄνουν τὸ τοῦ κυρίου σῶμα, τὴν ἀπολιναρίου αἵρεσιν
κρατύνει· ἐκεῖνος γὰρ μὴ ἐγνωκὼς ὅτι κατ᾽ αὐτὴν
τὴν ἔναρξιν τῆς κοσμοποιΐας· πρῶτον ἡ ψυχὴ τοῦ
πρωτοπλάστου καὶ προπάτορος ἡμῶν ἐθανατώθη· 532
καὶ εἶθ᾽ οὕτως, τὸ σῶμα· ἐλέχθη γὰρ πρὸς αὐτὸν
ὑπὸ τοῦ θεοῦ· ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου τοῦ
γινώσκειν καλὸν καὶ πονηρόν, θανάτῳ ἀποθανεῖται·
κατὰ γοῦν τὴν ἀπόφασιν τὴν ὑπὸ θεοῦ κατ᾽ αὐτοῦ
ἐπενεχθεῖσαν, ἐν ᾗ ἡμέρᾳ ἔφαγεν ἀπὸ τοῦ ξύλου,
ἐν αὐτῇ ἐθανατώθη ψυχικῶς· ὁ γὰρ τοῦ σώματος
αὐτοῦ θάνατος γέγονε, μετὰ ἐννακόσια καὶ τριά-
κοντα ἔτη· ὁ τοίνυν θεός, οὐχ ἡμιτελὲς τὸ δῶρον αὐτοῦ
ποιήσειεν· ἀλλ᾽ ὅλον ὁμοῦ τὸν ἀδάμ, ἐκ μήτρας
ἀνέλαβε παρθενικῆς· ἵνα καὶ ἀπολωλότα ὅλον
διασώσῃ· διὸ καὶ ἔλεγεν ὁ κύριος· ἐγὼ τὴν ψυχήν μου
τίθημι ὑπὲρ τῶν προβάτων· κρατύνειν δὲ βουλό-

καὶ Οὐαλεντινιανοῦ καὶ Μαρκίωνος, Μανιχαίων τε καὶ Βασιλειδιανῶν, ἐπὶ μὴν καὶ Ἑλλήνων, τὰ θρησκεύματα. εἰ γὰρ θεὸς ὁ ἀποθανὼν ἀδιαιρέτως καὶ οὐσιωδῶς· ὡσαύτως δὲ καὶ τὸ ἅγιον πνεῦμα θεός· καὶ αὐτὸ ἀδιαιρέτως καὶ οὐσιωδῶς, εὑρεθήσεται ὡς κατὰ τὸν σὸν καὶ τὸν ἐκείνων λόγον, τρεῖς θεοί· καὶ διὰ τούτου κρατυνθήσεται τῆς πολυθεΐας ἡ πλάνη· καὶ ὅσον ἐπὶ σοί, διεσκέδασται τό, ἄκουε Ἰσραήλ· κύριος ὁ θεός σου, κύριος εἷς ἐστι· καὶ ὅπερ ἔλεγεν Ἱερεμίας· οὗτος ὁ θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ὁμοίως δὲ καὶ ὁ κύριος· ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν· καὶ τῆς θείας γραφῆς ἕνα θεὸν τὴν ἁγίαν καὶ ἀδιαίρετον τριάδα κηρυττούσης, σὺ καὶ οἱ πρὸ σοῦ αἱρεσιάρχαι, τρεῖς θεοὺς ἐδογματίσατε· ἄλλον μὲν λέγοντες θεὸν τὸν πατέρα, παρὰ τὸν υἱόν· καὶ ἕτερον θεὸν τὸν υἱόν, παρὰ τὸν πατέρα· καὶ πάλιν ἄλλον θεὸν τὸ πνεῦμα τὸ ἅγιον, παρὰ τὸν πατέρα καὶ τὸν υἱόν· καὶ τὸν μέν, θνητὸν καὶ νεογενῆ· τὸν δέ, ἄναρχον καὶ ἀθάνατον· ἐπὶ τούτοις δὲ τοῖς βλαβεροῖς σου ῥήμασι· βουλόμενος τὰ ἐναντία φρονεῖν τῶν τε ἐν Νικαίᾳ ἀθροισθέντων καὶ ἐν τῇ Κωνσταντίνου πόλει· καὶ ἐν Χαλκηδόνι ἁγίων πατέρων· τῶν καὶ τὸ ὁμοούσιον κρατυνόντων· καὶ μίαν τὴν



θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκκραγόντων· καὶ τὴν Ἀρείου φρενοβλάβειαν καταισχυνόντων· καὶ σὺ ἐπ' ἐκκλησίας ἐτόλμησας εἰπεῖν· ὅτι ὁ εἷς τῆς ἀκτίστου καὶ ἀδιαιρέτου τριάδος, τὸ πάθος ὑπέμεινε· καὶ διὰ τούτου ἐδοκίμασας λύειν καὶ τὸ ὁμοούσιον· καὶ Ἀρειομανῶς ὑποβάλλειν τὸ θεῖον. εἰ γὰρ εἷς τῆς ἁγίας τριάδος τῆς ἀκτίστου· καὶ συναΐ- 542
δίος ὁ σταυρωθεὶς θεός· τουτέστιν ὁ υἱός· δύο δὲ τῆς τριάδος ὁ πατὴρ καὶ τὸ ἅγιον πνεῦμα· λέγονται δὲ θεοὶ καὶ οὐχὶ κατὰ τὸν ἀληθῆ λόγον, θεοί· καθὼς παραδεδώκασιν ἡμῖν οἱ αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου· εὑρεθήσεται δὴ καὶ οὕτως, λυόμενον μὲν τὸ ὁμοούσιον· θνητὸν γὰρ καὶ ἀθάνατον, ὁμοούσια ἔτι εἶναι οὐ δύνανται· κρατυνθήσεται δὲ καὶ οὕτως, ὁ τῆς πολυθεΐας λόγος, ἐν τῷ τρεῖς θεοὺς Χριστιανισμῷ καταγγέλλειν· ὁπότε οὖν γέγραπται ὅτι ὁ λόγος σὰρξ γέγονε· καὶ θεὸς ἦν ὁ λόγος· οὐχ ἕτερος θεὸς ὁ λόγος παρὰ τὸν πατέρα, εὑρεθήσεται λόγος, οὐχ ἁπλῶς· ἀλλὰ λόγος ἐνυπόστατος· καὶ θεὸς ὁ υἱός, εὑρεθήσεται· ἵνα ἐκ τῆς ἡμῶν εὐτελείας, γνῶμεν τὸ ταυτὸν τῆς οὐσίας, τοῦ πατρὸς· καὶ τοῦ λόγου, καὶ τοῦ ἁγίου πνεύματος· καὶ γὰρ ἡμεῖς, οὐχ ἕτεροι παρὰ τὸν ἡμέτερον λόγον εὑρεθησόμεθα.

ἐπεὶ οὖν καθόλου ὁ λόγος ὁμογενὴς τοῦ θεοῦ υἱός· οὐκ ἠδύ-
νατο εἰς ἰδίαν οὐσίαν παθεῖν· ἵνα μὴ εἰς τὴν τοῦ
παντοκράτορος θεοῦ καὶ πατρὸς τὸ πάθος λογισθῇ· μία
γὰρ θεότης πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· περιέχει δὲ τὸ
γενόμενον ἴδιον τοῦ λόγου ἔμψυχον σῶμα· ὅπερ αὐτὸς
ὁ τοῦ θεοῦ ἐνυπόστατος λόγος· ἐξ αὐτῆς τῆς μήτρας τῆς
ἁγίας καὶ ἀπειρογάμου παρθένου ἑνώσας ἑαυτῷ,
προῆλθεν ἐκ γυναικός· περὶ ἧς προμηνυόμενοι οἱ
θεηγόροι ἄνδρες, ἔλεγον· ὁ θεὸς τῶν δυνάμεων
ἐπίστρεψον δή· καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε·
καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην· καὶ κατάρτισαι
αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου· καὶ ἐπὶ υἱὸν ἀνθρώπου,
ὃν ἐκραταίωσας σεαυτῷ· ἄμπελον καὶ υἱὸν ἀνθρώπου,
ὃν ὁ λόγος ἐκραταίωσε· συντρίψαι τὰ τοῦ ᾅδου
κλεῖθρα καὶ ζωοποιῆσαι τοὺς ἀπὸ τῶν αἰώνων
θανόντας, τὴν σωτήριον τοῦ λόγου ἐνανθρώπησιν,
καλῶν· διὸ καὶ ὁ κύριος ἔλεγε τοῖς ἑαυτοῦ μαθηταῖς·
ἐγώ εἰμι ἡ ἄμπελος· ὑμεῖς τὰ κλήματα· καὶ ὁ
πατήρ μου ὁ γεωργός ἐστι· καὶ μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου
παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν·
ὁ γὰρ τοῦ πατρὸς ἐνυπόστατος καὶ θεὸς λόγος· δι' ἀκοῆς
εἰσπηδήσας τῆς ἁγίας παρθένου, μυστικῶς τὴν
κυοφορίαν εἰργάσατο· καθὸ τοίνυν ὁμογενὴς





υἱός ἐστι τοῦ πατρὸς ὁμοούσιος καὶ εἷς τῆς ἀδιαιρέτου
τριάδος· ἄκτιστός τε καὶ ἀθέατος, μεμένηκεν
ἀπαθὴς καὶ ἀθάνατος· τὸ οὖν ἄκτιστον καὶ ἀθά-
νατον, τῇ κτίσει μὴ συντάττε· καὶ τὸν τῆς πολυθεΐας
λόγον, μὴ κρατύνε διὰ τὸ λέγειν τεθνάναι τὸν
ἕνα τῆς τριάδος· καθὸ δὲ πάλιν ἐκ γυναικὸς ἐγεν-
νήθη· καὶ ἔστιν ἡμῖν ὁμοούσιος καὶ ὁμογενὴς καὶ
ὁμόφυλος ἄνευ ἁμαρτίας, τὸ πάθος ὑπέμεινεν·
ὅτι δὲ οὐ μόνον ὁμοούσιος ἡμῖν ὁ υἱὸς τὸ κατὰ σάρκα·
ἀλλὰ καὶ συγγενής, διδάσκει αὐτὸς ὁ κύριος· ἐν τῷ
λέγειν ποτὲ μὲν ἐν εὐαγγελίοις, τοῖς εἰς αὐτὸν πιστεύ-
σασιν· ἐγώ ἡ ἄμπελος· ὑμεῖς τὰ κλήματα· ποτὲ
δὲ καὶ ἐν ψαλμοῖς· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς
ἀδελφοῖς μου· πόθεν δέ σοι καὶ ἡ τοσαύτη κακίας
ἔννοια ἐπεισῆλθεν, ὥστε σεαυτόν, καὶ τῶν ἁγίων
ἀγγέλων συνετώτερον καὶ σοφώτερον λογίσασθαι·
ἐν τούτοις κλαίω· ἐν τούτοις ὀδύρομαι, τοὺς ἐχθροὺς
τοῦ σταυροῦ τοῦ χριστοῦ· ὧν τὸ τέλος, ἀπώλεια· καὶ ὧν
ὁ θεός, ἡ κοιλία· καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν·
οὐκ ἂν ἐνενόησας, ὅτι τὸ σκανδαλίσαι καὶ μόνον
ἕνα τῶν πιστευόντων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἀφό-
ρητον ἔχει τὴν ἀγανάκτησιν· ἀλλ' οὕτως ἀπαρα-
φυλάκτως καθάπερ ὁ σοφιστὴς ἀδάμ, καὶ αὐτοὶ τὸν

ἑορτῆς ἅπαντες τῷ πλήθει τῶν πιστῶν ταῖς ἀκοαῖς ἐπέ-
χεας. καὶ τὸν παραδοθέντα ἡμῖν ὑπ' ἀγγέλων τρισά-
γιον αἶνον, ἐνόθευσας. ἐνθέμενος ἐν αὐτῷ, ὁ σταυρωθεὶς
δι' ἡμᾶς. ὅπερ οὐκ ἐνενόησας, ἀσεβέστερον σεαυτὸν·
ὁριζόμενος Παύλου τοῦ Σαμοσατέως καὶ Φωτεινοῦ
καὶ Ἀρτέμα. τῶν δύο υἱοὺς τοῦ θεοῦ ὁρισαμένων·
ἕνα προαιώνιον, καὶ ἕνα νεογενῆ. ὅτι καὶ σὺ πλεο-
νασμὸν τῇ τριάδι ἐνέθου. δύο υἱοὺς τοῦ θεοῦ εἰπών·
ἕνα ἰσχυρόν, καὶ ἕνα τὸν σταυρωθέντα. ἐπὶ τούτοις δὲ
καὶ εἰς ἔννοιαν οἴει ἄγειν, τὸ πιστότατον Χριστοῦ ποίμνιον·
ὡς ὅτι κατὰ τὸν τοῦ μανέντος λόγον, τὸ ἅγιον πνεῦμα
ἐσταυρώθη. μετὰ γὰρ τὸ εἰπεῖν· ἅγιος ἀθάνατος· ὅπερ
ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐπάγει ὁ σταυρωθεὶς δι' ἡμᾶς,
ἐλέησον ἡμᾶς. καὶ τετράδα οὐ τριάδα, εὑρίσκῃ
τὸν λαὸν ἐκδιδάσκων. καὶ εἰ μὲν ἐξ ἀνθρωπίνης
παραδόσεως ὑπῆρχεν ὁ αἶνος, καὶ οὕτως, μετὰ
παραφυλακῆς ἂν τὸν σταυρὸν ἐν τῷ τρισαγίῳ προσ-
έθηκας. ἔνθα ἡ τοῦ υἱοῦ προσηγορία ἤτις, ἰσχυρὸς
ἐν τῷ τρισαγίῳ εἴρηται. ὁπότε δὲ ὑπ' ἀγγέλων ὁ
τρισάγιος αἶνος οὗτος ἡμῖν ἐξεδόθη. οἵτινες πρὸ
μὲν τοῦ σταυροῦ ἔλεγον· ἅγιος· ἅγιος· ἅγιος· ὡς
ἠξιώθη Ἠσαΐας θεάσασθαι· μετὰ δὲ τὸν σταυρὸν,
ὑμνολογοῦσιν· ἅγιος ὁ θεός· ἅγιος ἰσχυρός· ἅγιος



ἀθάνατος. ὥσπερ κομιδῇ νήπιος παῖς· σειομένης
τῆς Κωνσταντίνου πόλεως. καὶ τοῦ λαοῦ ἐν τῷ κάμ-
πῳ κειτεθέντος ἡρπάγη εἰς τὸν οὐρανόν, ὡς ἐπὶ ὥραν
μίαν. τοῦ ὅλου πλήθους θεωροῦντος. καὶ Πρόκλου
τοῦ τῆς πόλεως ἐπισκόπου. κἀκεῖ μεμαθηκὼς τὸν
αἶνον. καὶ πάλιν κατενεχθεὶς, ἀπήγγειλεν ἅπερ
ἐδιδάχθη ἐν τῷ αἰθέρι. εἰπὼν ἐξ ὅσου ὡς ὑπὸ
πλήθους πολλοῦ φέρεσθαι εἰς τὰ ὦτα αὐτοῦ, ταύτην
τὴν ὑμνῳδίαν. καὶ ὅτι ἐρρέθη αὐτῷ εἰπεῖν τῷ λαῷ,
τὴν τοιαύτην ὑμνολογίαν. ἧς ἐναρξάμενοι οἱ λαοί,
τὴν πόλιν κατέλαβον. καὶ τὸν θεὸν διὰ τῆς τοιαύτης
ὑμνῳδίας ἐξευμενισάμενοι, ἐλυτρώθησαν τῆς
ἐπικειμένης ὀργῆς. οὐδὲ ἀφειδῶς κατετόλμησας
ὡς τὰς λοιπὰς θείας γραφάς, καὶ τὴν τῶν ἀγγέλων
ὑμνῳδίαν διαστρέψαι. πῶς οὖν οὐ θρηνήσει ἐν
τούτοις. πῶς οὐ στενάξει. ὁποῖον δὲ ἄλγος, κατὰ τὸ
ἄλγος, τῆς τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Χριστοῦ ἐκκλησίας, εὑ-
ρεθήσεται. θεωρεῖ σε τὸν ταχθέντα φῶς εἶναι
τῶν ἐν τῷ σκότει. καὶ παιδευτὴν ἀφρόνων,
μᾶλλον ἀφροσύνης διδάσκαλον. καὶ τὸ φῶς, εἰς
σκότος μεταποιοῦντα. θεωρεῖ σε τοὺς λαοὺς τοὺς
ἅπαξ φωτισθέντας. καὶ καλὸν γευσαμένους
θεοῦ ῥημάτων. θεοῦ ἐνταλμάτων. θεοῦ προφητικῶν

προρρήσεων· θεοῦ ἀποστολικῶν καὶ εὐαγγελικῶν
διδαγμάτων, μᾶλλον ὑπὸ σοῦ διαστρεφομένοις.
καὶ διδασκομένοις· μὴ μόνον ἀνασταυροῦν τὸν υἱὸν
τοῦ θεοῦ καὶ παραδειγματίζειν, ἀλλὰ καὶ ἐναντία
φρονεῖν, τῶν θείων γραφῶν· ἀπαρνήσασθαι δὲ
καὶ τὰς συνθήκας· ἃς συνέθεντο αὐτοῖς προσιόντες
τῷ ἁγίῳ βαπτίσματι· συνθέμενοι γὰρ ἐπὶ πασῶν
τῶν χερουβικῶν δυνάμεων· καὶ τῶν προφητικῶν
καὶ ἀποστολικῶν ταγμάτων· ἐν τῷ τοῦ ἁγίου βαπτίσματος
καιρῷ· πιστεύειν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα,
μὴ εἰς τρεῖς θεοὺς πιστεύειν αὐτοὺς ἐξεπαίδευσας.
πάλιν συνθεμένων πιστεύειν εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν
υἱὸν τοῦ θεοῦ· τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα,
ἐκ πνεύματος ἁγίου· καὶ Μαρίας τῆς παρθένου, σὺ ἐκ-
διδάσκεις αὐτούς, μὴ λέγειν τὸν κύριον, Ἰησοῦν Χριστὸν τὸν υἱὸν
τοῦ θεοῦ, τὸν σταυρὸν ὑπομεμενηκέναι· ὃς ἐστὶ θεὸς κατὰ τὴν
ἐκ θεοῦ πατρός, προαιώνιον καὶ ἀπαθῆ γέννησιν· καὶ
ἄνθρωπος ὁ αὐτός, κατὰ τὴν ἐπ' ἐσχάτων ἐκ γυναικὸς
γέννησιν· καθ' ἣν καὶ τὸ πάθος ὑπέμεινεν, ἀλλ'
ὅτι ὁ εἷς τῆς τριάδος ἀπέθανεν· ὅς ἐστιν αὐτὸς ὁ
θεὸς λόγος. ὡμολόγησαν πάλιν τὸ ἅγιον πνεῦμα ζωο-
ποιὸν καὶ ἀθάνατον· εἰπόντες πιστεύειν εἰς τὸ πνεῦμα
τὸ ἅγιον· τὸ κύριον καὶ ζωοποιόν, καὶ σὺ θνητὸν



ὑποτίθεσαι εἶναι τὸ πνεῦμα τὸ ἅγιον· διὰ τοῦ λέγειν,
ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς· ἀπόφυγε
παρακαλῶ τὴν τοιαύτην πλάνην· ἔπεσας, μὴ
ἐπιμείνῃς τῷ πτώματι· ἥμαρτες, μηκέτι ἁμάρ-
τανε· ἀναμένει σε ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία, περι-
πτύξασθαί σε μετανοοῦντα ἐπὶ τοῖς ματαίοις σου
προβλήμασι· καὶ σὺν αὐτῇ θεολογοῦντα τὸν Χριστόν·
καὶ μὴ ἀπαρνούμενον, τὴν αὐτοῦ ἔμψυχον ἐναν-
θρώπησιν· καθ' ἣν καὶ τὸ πάθος ὑπομεῖναι λέγεται·
καὶ βοᾷ σοι δι' ἡμῶν· δεῦτε πρός με πάντες οἱ
κοπιῶντες, κἀγὼ ἀναπαύσω ὑμᾶς. οὐ βού-
λεται ὁ θεός, ἀδελφὲ τιμιώτατε, τὸν θάνατον τοῦ
ἁμαρτωλοῦ· ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· μνη-
μόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν κατὰ τὸ
εὐαγγέλιον. μνημόνευε τοῦ μακαρίου Ματθαίου,
γράφοντος· βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ· υἱοῦ Δαυίδ·
υἱοῦ Ἀβραάμ· μνημόνευε Παύλου ἐπιστέλλοντος·
ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ· ὃ προεπηγγεί-
λατο αὐτοῖς ὁ θεὸς ἐν γραφαῖς ἁγίαις, περὶ τοῦ
υἱοῦ αὐτοῦ· τοῦ γενομένου ἐκ σπέρματος Δαυίδ
κατὰ σάρκα· τοῦ ὁρισθέντος υἱοῦ· μνημόνευε
καὶ Ἰωάννου βοῶντος· ἐν ἀρχῇ ἦν ὁ λόγος· καὶ ὁ λόγος
ἦν πρὸς τὸν θεόν ὡς καὶ ἔστι· καὶ θεὸς ἦν ὁ λόγος· καὶ

καὶ ὅτι σὰρξ γενόμενος ἐνανθρωπῆσαι· καὶ ὅτι θεὸν,
οὐδεὶς ἑώρακε πώποτε· ταῦτά σοι γεγράφηκα
ἅμα τῇ συνούσῃ μοι ἁγίᾳ συνόδῳ· παρακαλού-
μενος εἰς ἀόρατον τοῦ θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων,
ἵνα ταῦτα διδάσκῃς καὶ ταῦτα φρονῇς μεθ' ἡμῶν·
ἵνα ἀμώμητος ἡ πίστις ἡμῶν διαμείνῃ, εἰς δόξαν θεοῦ:

Τοῦ αὐτοῦ ἐπιστολὴ ἀποσταλεῖσα Ζήνωνι βασιλεῖ παρὰ
Φίληκος ἐπισκόπου Ῥώμης· ἐν ᾗ σημαίνει ...
τοῦ Ἀντιοχείας ἐπισκόπου τὴν καθαίρεσιν·
διότι ἐν τῷ τρισαγίῳ ἐνετίθετο ὁ σταυρωθεὶς δι' ἡμᾶς·

Τῷ ἐνδοξοτάτῳ καὶ γαληνοτάτῳ υἱῷ Ζήνωνι αὐγούστῳ,
Φῆλιξ ἐπίσκοπος ἐν κυρίῳ, χαίρειν· πρέπει τῇ σῇ
φιλανθρωπίᾳ ταῦτα ἅπερ πρέπει τῇ τῶν πραγμάτων
τάξει, ἀπαγγεῖλαι· ἅπερ καὶ ἀνήκειν ἀπαγγεῖλαι,
εἰς ἀσφάλειαν τοῦ τῆς σῆς γαληνότητος κράτους·
καὶ καθάπερ ὡς ἐπιτυγχάνων, παρακαλῶ
τὴν ἐμὴν ἱκετηρίαν δέξασθαι, ταῖς φιλαγάθοις
ὑμῶν ἀκοαῖς· ὡς χριστιανικώτατος τῶν βασιλέων·
μηδαμῶς τι ἐν τῇ σῇ εὐσεβείᾳ διανοηθείης ἕτερον ἢ
μετὰ καθαρᾶς τῆς διανοίας ὑμᾶς ἀγαπᾶν, πλὴν
ἐκείνου τοῦ βουλομένου σε μετὰ θεοῦ τὴν εἰρήνην
ἔχειν· ἐπειδὴ παρ' ἐκπίστης ὡρμημένος τῆς
διανοίας, οὐκ ἀμφισβητεῖς τοῦ προσκαίρου

28

θρόνου τὴν ἐξουσίαν· καὶ τῆς αἰωνίου ζωῆς τὴν ἀντί-
δοσιν, ἐν τῇ σεαυτοῦ ἐρωτήσει ἠρτῆσθαι· διά τε τῆς ἡμῶν
βραχύτητος, δέξασθαι καταξίωσον τὴν σεπτὴν
καὶ θεόφραστον ὁμολογίαν τοῦ μακαριωτάτου
Πέτρου, τοῦ πρωτοστάτου τῶν ἀποστόλων· ὃς καὶ
τὰς τῆς βασιλείας κλεῖς ὑπὸ τοῦ σωτῆρος πιστευθείς,
προτρέπεται τὴν φιλοχρίστων ὑμῶν βασιλείαν,
τὴν ἐν οὐρανοῖς μετὰ ἀγγέλων διαγωγήν· ὃς καὶ τὴν
ἀπαράλλακτον καὶ ἀμώμητον πίστιν· εἰς τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστὸν καὶ μονογενῆ τοῦ θεοῦ υἱὸν πρῶτος ἐκ-
θέμενος, ἐμακαρίσθη ὑπ' αὐτοῦ τοῦ σωτῆρος· εἰπόντος
γὰρ αὐτοῦ πρὸς τὸν κύριον· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ
ζῶντος, ἀκήκοε παρ' αὐτοῦ· μακάριος εἶ Σίμων
Βαριωνᾶ· ὅτι σὰρξ καὶ αἷμα, οὐκ ἀπεκάλυψέ σοι·
ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· καὶ ἐπὶ ταύτῃ τῇ
ὁμολογίᾳ, οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ
πύλαι ᾅδου, οὐ κατισχύσουσιν αὐτῆς· τοῦ σωτῆρος
φήσαντος· ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσι
τῆς αὐτοῦ ἐκκλησίας· τοὺς ἐχθροὺς ἀπαντῆς τὴν
αὐτοῦ ἐπωνυμίαν· ἥτις εἴρηται Χριστὸς καὶ θεοῦ τοῦ
παντοκράτορος υἱός, Πέτρος ὁ πρωτότοκος
υἱὸς τοῦ διαβόλου· ὃν ἀξιώσεις πηδῆσαι τὴν ἀντίθεον
χεῖρα ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ· καὶ μίαν αἰτῶν τῆς

(margin note:) ὅτι ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Πέτρου, ἡ αὐτοῦ ἐκκλησία ᾠκοδόμηται ὑπὸ Χριστοῦ:

ἀρχιερωσύνης θρόνον, ἵνα πῶς τοῦ μάρτυρος ὃς τῇ
δεξιᾷ Πέτρου, τὴν ἀρχιερωσύνην ἐδέξατο· καὶ διὰ στα-
θείου τοῦ ὁμολογητοῦ. καὶ προεδρούντων τῆς ἁγίων
πατέρων τῶν ἐν Νικαίᾳ ἀθροισθέντων, λέγειν ἐτόλ-
μησεν· ὅτι οὐ δεῖ τὸν Χριστὸν, καὶ υἱὸν τοῦ θεοῦ ὀνομάζειν.
κατὰ τὴν θείαν τοῦ σωτῆρος νομοθεσίαν· καὶ τὴν τῶν
θείων γραφῶν παράδοσιν καὶ ἔκθεσιν τῶν πατέρων.
ἀλλὰ τὸν ἕνα τῆς τριάδος τὸ πάθος ὑπὲρ ἡμῶν ὑπο-
μεῖναι, εἰς τὴν τῆς θεότητος οὐσίαν. κατὰ τὴν ἀρείου·
καὶ ἀπολιναρίου καὶ ἀνομοίου παράδοσιν· βουλό-
μενος διὰ τῆς τοιαύτης φωνῆς, ἀθετῆσαι μὲν τὴν
σωτήριον ἐνανθρώπησιν· καθ' ἣν ὁ Χριστὸς καὶ τὸ πάθος
ὑπέμεινε· λέγεται δὲ καὶ ἃς ἐξ ἡμῶν, ὡς τοῦ σπέρματος
ἀβραὰμ ἐπιλαβόμενος. ἐπαυξῆσαι δὲ καὶ τὴν
πολυθεΐαν. ὁ σαθρὸς οὗτος λόγος, τρεῖς θεοὺς παρει-
σάγει· ἕνα τεθνεῶτα, καὶ δύο ζῶντας. λύει δὲ καὶ
τὸ ὁμοούσιον. καὶ τὰς ἁγίας συνόδους, ἐξωθεῖται·
τήν τε ἐν Νικαίᾳ καὶ ἐν Κωνσταντίνου πόλει, καὶ ἐν
Χαλκηδόνι· ἀλλὰ καὶ τὴν ἁγίαν παρθένον Μαρίαν,
μὴ προσδεχόμενος ἀναιρεθήσεται· εἰ γὰρ μὴ ἐξ αὐτῆς
σαρκωθεὶς ὁ λόγος ἐνηνθρώπησε, τίς χρεία τῆς
παρθένου· διὰ τί δὲ καὶ ὁ Γαβριὴλ ἔλεγε πρὸς αὐτήν·
τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται υἱὸς θεοῦ.



καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς, τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ.
ἐπὶ πᾶσι δὲ τούτοις τοῖς ἀσεβέσι καὶ βλασφήμοις
αὐτοῦ τολμήμασι· καὶ τὴν τρισάγιον λιτὴν νοθεῦσαι
βουληθεὶς· διὰ τοῦ ἐνθέσθαι ἐν αὐτῇ ὁ σταυρωθεὶς δι' ἡμᾶς,
μυρία αἴτοπα εἰργάσατο· καὶ πολλὰ παρ' ἡμῶν καὶ
τῆς ἐν Χριστῷ ἀδελφότητος ἡμῶν τε καὶ τῶν ἐν τῇ ἀνα-
τολῇ· καὶ τοῦ θεοσεβεστάτου ἀρχιεπισκόπου
ἀκακίου τῆς παρ' ὑμῶν βασιλευομένης καὶ φιλο-
χρίστου πόλεως. παραινεθεὶς ἐπιστρέψαι, οὐκ ἠβου-
λήθη· καὶ διὰ τοῦτο νῦν ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία ταῖς
μεγάλαις καὶ συμφωνίαις· ὡς πρὸς τὸν ἔξοχον αὐτῆς υἱὸν,
προσφθεγγομένη οὐ παύεται. ὦ φιλόχριστε βασι-
λεῦ· τῆς εἰμῆς τιμιότητος τὸν δεσμὸν ἐν ᾧ περισφίγ-
γονται τὰ πλήθη τῶν πιστῶν, μὴ συγχωρήσῃς δια-
λυθῆναι· τὴν τοῦ δὲ ἀπὸ τοῦ Χριστοῦ καὶ μονογενοῦς υἱοῦ
τοῦ θεοῦ ἐπωνυμίαν, μὴ συγχωρήσῃς παραβαθῆναι· 530.
τὴν τρισάγιον ὑμνῳδίαν. ἢ τίς καὶ τὴν ὑμετέραν
πόλιν δι' ἣν ἔσωσε κινδυνεύουσαν. ὡς ἀπέχων
παράδοσιν, ἣν ὁ θεὸς δι' ἡμᾶς φυλάξον· Πέτρον
τὸν τῇ ὁρμῇ συγκινηθέντα καὶ ἐπακολουθήσαντα,
τῆς συναρπαγῆς ἐκ τῆς ἐκκλησίας ἀπέλασον· τίνος
ἕνεκεν, Πέτρος ἐρηγνύει τὸν χιτῶνά μου τὸν ἄνωθεν
ὑφαντόν· ὃ θεὸς καὶ περιενετείλατο τῷ κορυφαίῳ,

πιστοὶ καλεῖσθαι τὸν αὐτοῦ υἱόν· ὁ μονογενὴς υἱὸς ἐν τῇ
ὁμολογίᾳ τοῦ κορυφαίου τῶν ἀποστόλων, ἐθεμελίω-
σέ με. τὸ ἅγιον πνεῦμα ἐφ' ἑκάστης διαμαρτύρεταί μοι
λέγον· μὴ κρίνῃς εἰδέναι τι εἰ μὴ ἐν Χριστῷ, καὶ τοῦτον,
ἐσταυρωμένον· οἱ ἐχθροί· οἱ ἀπαθεῖς· οἱ ἐπίβουλοι· οἱ
ἔξω τοῦ ἀμπελῶνος· τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν σφαγιά-
σαντες· καὶ λιθοβολήσαντες· καὶ τῷ ξύλῳ τοῦ σταυροῦ προσ-
πήξαντες, οὐ διεῖλον τὸν αὐτοῦ χιτῶνα· καὶ Πέτρος
τις τοῦ σώματός μου τὸν χιτῶνα, διαρρήξας· αἱ τοῦ ᾅδου
πύλαι, οὐκ ἰσχύουσι κατ' ἐμοῦ· καὶ Πέτρος παραφρονῶν,
τὸ τῆς ἀρχῆς μου καταβαλεῖν· ἐσάλευσε· εὐσεβέστατε βασιλεῦ·
ὦ θεῖα θέντας εἰς τῆς βασιλείας, αὐθεὶς ἐπάνω ἐκ θεοῦ·
καὶ τοὺς πονηροὺς καὶ ἀπαθεῖς τῶν ἐν ἐμοὶ θείων ἀλλ-
δογμάτων, δέδωκα αὐτῷ τῆς ταφῆς σου δυνάμεως
τε ὁδὸν ἣν ἐνέωξα ἔμπροσθέν σου· τοὺς ἐχθρούς σου
καταβέβληκα, μετὰ τοὺς ἀθεμίτους αὐτῶν δογματισμούς·
τὸ δὲ χριστιανὸν κράτος ἐξ ἐπισαλεύμενον· παρὰ τοῦ θεοῦ
ὑπὸ σοῖς βασιλεύοντος θεοῦ· ἐξ οὗ καὶ τὸ βασιλεύειν
εἴληφας· ἀποβλεψόμενος τὸν προηγησάμενόν σου
εὐσεβέστατον βασιλέα, Μαρκιανόν· καὶ τὴν ἐκ δ-
πίστιν, ἀνεμένως ἀνάζου· τὴν αἱρετικὴν τοῦ Πέτρου
τυραννίδα, διὰ τάχους ἐκρίζωσον· τὸν Οὐαλεν-
τῖνον καὶ αὐτοῦ χορὸν μαθητῶν, ἀποδίωξον τῆς



ἀκροπόλεως καὶ ἐκκλησίας ἧς διοικήσεως ὡς
ἅμα τοῦ ἱερατικοῦ ἀξιώματος, κατενεχθῆναι
θυσίαν τε· θεωρῆσον ὧν γνησιώτατοι υἱοὶ καὶ
ἀπεῖπτε βασιλεῦ, ὁποία τῇ ἐν Χαλκηδόνι συνόδῳ,
ἀναμφισβήτητος ἐκδίκησις γέγονε· καὶ τοῖς οἷς
ἐπολέμει, αἰσχύνη· καὶ τῆς αἱρετικῆς διδασκαλί-
ας Πέτρου, τοῖς δήμοις ἀλύτως σου· ταῦτα πρεσβεύει
ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία ἡ καθολικὴ καὶ ἀποστο-
λική· ἵνα τὸν ὑπ' αὐτῆς καθαιρεθέντα διὰ τὰς
εἰρημένας αἰτίας, εἰς κοινωνίαν τοῦ λοιποῦ
μὴ προσδέξησθε· ἀλλὰ διὰ θείων ὑμῶν συλ-
λαβῶν τῆς αὐτοῦ πόλεως, μεθόριον γενέσθαι
παρασκευάσητε· ἀντ' αὐτοῦ δὲ καταστήσητε ἄνδρα,
ἔργοις τὴν ἱερωσύνην κοσμοῦντα· φύλακά τε
ἀκριβῆ, τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου· καὶ
τῶν ἐν αὐτῇ βεβαιωθέντων. ὁ παντοκράτωρ
θεός, διαφυλάξει τὸ ὑμέτερον κράτος ἐν εἰ-
ρήνῃ διαπαντός:-

Τὰ δὲ ἐγκείμενα ἐν τῇ παρούσῃ βίβλῳ τῇ κατὰ Σεβήρου·
Ζωόρα· Πέτρου· καὶ Ἀνθίμου πεπραγμένῃ, παρὰ
Μηνᾶ πατριάρχου Κωνσταντινουπόλεως· ἐν οἷς
φέρονται:-

Λίβελλος τῶν ἐν δευτέρᾳ Συρίᾳ ἐπισκόπων, πρὸς
Ἰουστινιανὸν βασιλέα:-
Λίβελλος τῶν μοναχῶν τῶν τε ἐνταῦθα μοναστηρίων,
καὶ τῶν ἐν Ἱεροσολύμοις· καὶ τῇ ἐρήμῳ· καὶ τῆς
δευτέρας Συρίας· καὶ τοῦ ὄρους Σινᾶ· καὶ τρισὶ Παλαι-
στίναις, πρὸς τὸν αὐτόν:-
Λίβελλος τῶν αὐτῶν καὶ πρὸς τὴν ἐνδημοῦσαν ἐνταῦθα
σύνοδον:
Ἐπιστολὴ Ὁρμίσδου πάπα Ῥώμης, πρὸς τοὺς ἐν δευτέρᾳ
Συρίᾳ κληρικοὺς καὶ ἀρχιμανδρίτας· καὶ λοιποὺς
ὀρθοδόξους ἐν οἱῳδήποτε κλίματι τῆς ἀνατολῆς:-
Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ, πρὸς Ἐπιφάνιον ἀρχιεπί-
σκοπον Κωνσταντινουπόλεως:
Δέησις κληρικῶν καὶ μοναχῶν Ἀντιοχείας, πρὸς
Ἰωάννην ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως· καὶ
τὴν ἐνδημοῦσαν ἐνταῦθα σύνοδον:
Ἀναφορὰ πρὸς Ἰωάννην ἀρχιεπίσκοπον, παρὰ τῆς



ἐνδημούσης συνόδου:
Λίβελλος παρὰ τῶν ἀρχιμανδριτῶν Κωνσταντινου- η
πόλεως, πρὸς τὴν ἐνδημοῦσαν σύνοδον· ᾧτινι
συνέζευκται, καὶ πότε· καὶ πῶς ἐκηρύχθησαν αἱ
τέσσαρες ἐν τῇ ἐκκλησίᾳ σύνοδοι:
Ἐπιστολὴ Ἰωάννου πατριάρχου, πρὸς Ἰωάννην τὸν Ἱεροσολύμων: θ
Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ πατριάρχου, πρὸς Ἐπιφάνιον ι
ἐπίσκοπον Τύρου:
Ἀντίγραφα Ἰωάννου Ἱεροσολύμων· καὶ τῶν ὑπ' αὐτὸν ια
ἐπισκόπων, πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως:-
Ἐπιστολὴ Ἐπιφανίου ἐπισκόπου Τύρου· καὶ τῶν ὑπ' ιβ
αὐτὸν ἐπισκόπων, πρὸς τὴν ἐνδημοῦσαν ἐν Κων-
σταντινουπόλει σύνοδον· καὶ ἐκβοήσεις τοῦ ἐν
Τύρῳ πιστοῦ πλήθους· καὶ ἀναθεματισμοὶ Σεβήρου,
καὶ τοῦ φρονήματος αὐτοῦ:-
Ἐπιστολὴ τῶν ἐν δευτέρᾳ Συρίᾳ ἐπισκόπων, πρὸς ιγ
Ἰωάννην πατριάρχην· καὶ τὴν ἐνδημοῦσαν σύνοδον:-
Πρᾶξις συσταθεῖσα παρὰ τῶν τῆς ἐπαρχίας ἀρχόντων, ιδ
κατὰ Πέτρου τοῦ Ἀπαμείας:-
Ἑτέρα πρᾶξις, παρὰ τῶν αὐτῶν:- ιε
Λίβελλοι ἐπιδοθέντες παρὰ τῶν μοναχῶν Ἀπαμείας, ιϛ
τοῖς ἐπισκόποις δευτέρας Συρίας, κατὰ Σεβήρου
καὶ Πέτρου, τοῦ Ἀπαμείας:-

ιζ Ψῆφος τῶν ἀπὸ τῆς Ἰταλίας ὄντων ἐνταῦθα, κατὰ Σευήρου, καὶ Πέτρου:

ιη Ψῆφος Ἐπιφανίου πατριάρχου Κωνσταντινουπόλεως. καὶ τῆς ἐνδημούσης ἐνταῦθα συνόδου, κατὰ Σευήρου καὶ Πέτρου:-

ιθ Ψῆφος Μηνᾶ πατριάρχου. κατὰ Σευήρου· Πέτρου· καὶ Ζωόρα:-

Τὰ δὲ ἐνεστὶν ἐν τῷ δευτέρῳ βιβλίῳ, τῶν κατὰ Ἀνθίμου πεπραγμένων:-

Θεία διάταξις Ἰουστινιανοῦ βασιλέως, κατὰ Ἀνθίμου· Σευήρου· Πέτρου· καὶ Ζωόρα, πρὸς Πέτρον ἀρχιεπίσκοπον Ἱεροσολύμων:-

Πεπραγμένα ἐν Ἱεροσολύμοις παρὰ Πέτρῳ ἀρχιεπισκόπῳ, κατὰ Ἀνθίμου· ἐν οἷς ἐμπεφάνισται καὶ τὰ ἐν Κωνσταντινουπόλει παρὰ Μηνᾶ πατριάρχῃ παρὰ τοῦ αὐτοῦ πραχθέντα ἐν τέσσαρσι πράξεσι, δι' ὧν τινῶν ἐνταγέντων, καὶ αὐτὸς Πέτρος ὁ Ἱεροσολύμων, τὴν κατ' αὐτοῦ ψῆφον ἐποιήσατο· καὶ ἐν τούτοις δέ, τινὰ κατὰ Σευήρου καὶ τῶν αὐτοῦ συγγραμμάτων, εὑρίσκεται:-

Ἱστέον ὅτι πρῶται ἐπράχθη παρὰ Μηνᾶ τῷ πατριάρχῃ, τὰ κατὰ Ἀνθίμου· ἅπερ καὶ ἐν τάξει μὲν γέγονε, τῶν παρὰ Πέτρῳ τῷ Ἱεροσολύμων, πεπραγμένων.



ἡ μὲν γὰρ τελευταία πρᾶξις τῶν κατὰ Ἀνθίμου παρὰ Μηνᾶ γεγονότων· ἔνθα καὶ ἡ ψῆφος ἀνέγνωσται, φέρει τὴν κα' τοῦ Μαΐου μηνός· ἰνδικτιῶνος ιδ'. εἶτα ὕστερον, τῇ δ' τοῦ Ἰουνίου μηνὸς τῆς αὐτῆς ἰνδικτιῶνος, ἐπράχθη τὰ κατὰ Σευήρου καὶ Πέτρου καὶ Ζωόρα, παρὰ τοῦ αὐτοῦ Μηνᾶ· καὶ διὰ τῶν προκομισθέντων, ἐδείχθη ὅτι καὶ πάλαι καὶ πρόπαλαι, ἀνεθεματίσθησαν. ὁ δὲ νόμος, πρὸ ὀκτὼ εἰδῶν Αὐγούστων· ἰνδικτιῶνος ιδ'. τὰ δὲ ἐν Ἱεροσολύμοις ἐπὶ ἐμφανείᾳ τῶν κατὰ Ἀνθίμου πραχθέντων, συνέστη πρὸ δεκατριῶν καλανδῶν Ὀκτωβρίων· ἰνδικτιῶνος πεντεκαιδεκάτης. οὐκοῦν, πρώτη ἐστὶν ἡ κατὰ Ἀνθίμου ψῆφος, ἐν Κωνσταντινουπόλει· δευτέρα δὲ ἡ ἐν Κωνσταντινουπόλει ψῆφος, κατὰ Σευήρου καὶ Πέτρου· καὶ Ζωόρα· τρίτη, ἡ διάταξις· τετάρτη δέ, ἡ ἐν Ἱεροσολύμοις πρᾶξις· καὶ πάντα ταῦτα τὰ προειρημένα, γέγονε καὶ συνέστη, ἐν μησὶ τέτρασιν:-

Μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ λαμπροτάτου· τῇ πρὸ μιᾶς νόννων Ἰουνίων. ἰνδικτιῶνος ιδ'. ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Ῥώμῃ, τῇ Κωνσταντινουπόλει· προκαθεζομένου τοῦ δεσπότου ἡμῶν· τοῦ ἁγιωτάτου καὶ

μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ
πατριάρχου, μηνᾶ· ἐν τῷ μεσαύλῳ τῷ δυτικῷ τοῦ
σεβασμίου οἴκου τῆς ἁγίας δεσποίνης ἡμῶν ἐνδόξου
θεοτόκου, καὶ ἀειπαρθένου μαρίας· τοῦ ὄντος πλησίον
τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· καὶ ἐκ μὲν
ζ 528 τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῷ καὶ συνα-
κροωμένων· κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλο-
χρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως ἰου-
στινιανοῦ, τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων
ἐπισκόπων· σαβίνου τοῦ κανουσίου· ἐπιφανίου,
ἐκλανῶν· ἀστερίου, τῆς σαλερπινῶν· λεοντίου,
νολανῶν· ῥουστικοῦ, τῆς φισουλανῶν· θεοφάνους,
διακόνου ῥώμης· πελαγίου, διακόνου ῥώμης·
ὄντων τῶν πάντων, ἐκ τῆς ἰταλῶν χώρας· πρώην
ξ μὲν ἀπεσταλμένων, ἐκ τῆς ἀποστολικῆς καθέδρας·
ὕστερον δὲ συνόντων παραγενομένῳ ἐνταῦθα, ἀγα-
πητῷ τῷ τῆς ἁγίας μνήμης γενομένῳ πάπα τῆς
πρεσβυτέρας ῥώμης· πέτρου τῆς μητροπόλεως·
ἰουστινιανουπόλεως τῆς δευτέρας καππαδοκῶν
ἐπαρχίας· ἰωάννου τῆς μητροπόλεως βοσπόρου·
θαλασσίου τῆς μητροπόλεως βηρυτοῦ· μεγάλου,
τῆς μητροπόλεως βερροίας· ἰωάννου γαβάλων·
χριστοφόρου, πορφυρεῶνος· ἐπαρχίας φοινίκης





παραλίου· δαυΐθου, τοῦ κρικενσίου· αἰθερίου, μαρι-
άμμης· ἀλεξάνδρου, βαρκούσων· δόμνου, μαξι-
μιανουπόλεως· τῆς δευτέρας παλαιστίνης· ἀνδρέου,
τοῦ πανίου· ἐπιτυγχάνου, γέρμης· ἐπαρχίας ἑλλησπόν-
του· θεοδώρου, γόρδου· εὐσεβίου, κανδρῶν· ἐπαρ-
χίας παρ᾽ ἀρμενίας· κυριακοῦ, θεοδοσιουπόλεως·
ἐπαρχίας φρυγίας πακατιανῆς· ἰωάννου, τραϊανου-
πόλεως· ἐπαρχίας φρυγίας σαλουταρίας· κυριακοῦ,
σοφιανῆς· ἐπαρχίας ἀρμενίας πρώτης καασα-
της βελαβιτηνῆς· ἐκ δὲ τοῦ εὐωνύμου μέρους,
ὑπατίου, τῆς μητροπόλεως ἐφέσου· κωνσταντίνου,
ἡρακλείας τῆς εὐρωπαίων μητροπόλεως· εὐσεβίου,
τῆς μητροπόλεως κυζίκου· θαλασσίου, τῆς μητρο-
πόλεως νικομηδείας· θεαγένους, τῆς μητροπόλεως
συνάδων· βάκχου, ἀντιοχείας· τῆς μητροπόλεως
πισιδίας· ἰλαριανοῦ, τῆς μητροπόλεως [illegible]·
βοσπορίου, τῆς μητροπόλεως νεοκαισαρείας· πόν-
του πολεμωνιακοῦ· παύλου, τῆς μητροπόλεως
τυάνων· ἀκακίου, τῆς μητροπόλεως πισινοῦν-
τος· ἐπικτήτου, κλαυδιουπόλεως· τῆς μητροπό-
λεως ὀνωριάδος· ἠδίστου, τῆς μητροπόλεως
κίου· ἀρχελάου, κορύκων· ἰωάννου ζωόρων·
ἀναστασίου, ἰωτάβης· δομετιανοῦ, ζικχίας.

πλατωνίου, παρνασοῦ. ἀβραμίου, κρατείας.
ἀλεξάνδρου, κολωνείας. παύλου, τοῦ στεκτορίου.
ἀνδρέου, πέλτων. θεοδώρου, μήρου. ἰωάννου,
καισαρείας βιθυνίας. εὐσταθίου, τιβεριουπόλεως.
καλλωνιτίου, ἑλενουπόλεως. συμπαρόντων αὐτῶν
καὶ συνακροωμένων, θεοφάνους καὶ πλατωνίου
τῶν θεοφιλεστάτων διακόνων, τῆς ἀποστολικῆς
καθέδρας. καὶ μηνᾶ καὶ πέτρου τῶν θεοφιλεστάτων
νοταρίων. καὶ τινῶν εὐλαβεστάτων ὑποδιακόνων.
629 ἐκδίκων καὶ λοιπῶν κληρικῶν, τοῦ αὐτοῦ ἀπο
στολικοῦ θρόνου. οἱ καὶ συνόντες ἐτύγχανον παρα
γενομένῳ ἐνταῦθα, ἀγαπητῷ τῷ τῆς ἁγίας μνή
μης γενομένῳ πάπα τῆς πρεσβυτέρας ῥώμης. καὶ
μάγνου πρεσβυτέρου, καὶ ἡρακλείου. διακόνων
καὶ ἀποκρισιαρίων, ἐφραιμίου τοῦ ὁσιωτάτου
πατριάρχου τῆς ἐν θεουπόλει ἁγιωτάτης ἐκκλη
σίας. σαβίνου διακόνου, τῆς ἁγίας χριστοῦ τοῦ θεοῦ
ἡμῶν, ἀναστάσεως. πληροῦντος τὰς ἀποκρίσεις
πέτρου τοῦ ὁσιωτάτου πατριάρχου, ἱεροσολύμων.
στεφάνου διακόνου καὶ ἀποκρισιαρίου σωτη
ρίχου, τοῦ ὁσιωτάτου ἐπισκόπου καισαρείας
τῆς μητροπόλεως καππαδοκίας πρώτης. γαϊανοῦ
πρεσβυτέρου καὶ ἀποκρισιαρίου, ἐλπιδίου



τοῦ ὁσιωτάτου ἐπισκόπου ἀγκύρας. τῆς μητροπόλεως
γαλατίας πρώτης. διονυσίου καὶ καλλινίκου.
διακόνων καὶ ἀποκρισιαρίων, φωτίου τοῦ ὁσιω
τάτου ἐπισκόπου τῆς μητροπόλεως κορίνθου. παρόν
τος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης
πόλεως, ἀφθόνιος ὁ εὐλαβέστατος διάκονος
καὶ πριμικήριος νοταρίων, εἶπεν. οἱ κατὰ
τήνδε τὴν βασιλίδα πόλιν εὐλαβέστατοι μοναχοί.
καὶ τινὲς ἐκ τῆς θεουπολιτῶν καὶ ἱεροσολυ
μιτῶν ὁρμώμενοι, δεήσεις προσδεδώκασι τῷ
εὐσεβεστάτῳ καὶ γαληνοτάτῳ ἡμῶν βασιλεῖ.
καὶ λιβέλλους τῇ ὑμετέρᾳ μακαριότητι. κατα
κέλευσιν τοίνυν εὐσεβῆ τοῦ θεοφυλάκτου ἡμῶν
βασιλέως. συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου,
ἑστήκασι πρὸ τοῦ εὐαγοῦς ὑμῶν σεκρέτου. ἅμα
θεοδώρῳ τῷ περιβλέπτῳ ῥαιφερενδαρίῳ. οἷα
παρὰ τοῦ γαληνοτάτου δεσπότου ἡμῶν πρὸς ὑμᾶς
ἐσταλμένῳ, ἀποκομιζόμενοι τὰς ἐπιδοθείσας
παρ' αὐτῶν δεήσεις. καὶ ἀξιοῦσιν, εἰσόδου τυχεῖν.
καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον. ὁ ἁγιώ
τατος ἀρχιεπίσκοπος, εἶπεν. εἰσίτωσαν. θεό
δωρός τε ὁ περίβλεπτος ῥαιφερενδάριος τοῦ
εὐσεβεστάτου ἡμῶν βασιλέως, καὶ οἱ εὐλαβεῖς

μοναχοί. καὶ εἰσῆλθον Θεόδωρός τε ὁ περίβλεπτος
ῥαιφερενδάριος τοῦ θεοφυλάκτου ἡμῶν δεσπότου,
τριβοῦνος καὶ νοτάριος. καὶ Μαριανὸς ὁ θεοφιλέστατος
πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς
ὁσίας μνήμης, καὶ ἔξαρχος. καὶ οἱ λοιποὶ αὐτῶν θεοσε-
βέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται καὶ
μοναχοί. οἱ καὶ ὑπογράψαντες τῷ ἐπιδοθέντι
παρ᾽ αὐτῶν λιβέλλῳ, τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιω-
τάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ ἀρχιεπι-
σκόπῳ καὶ πατριάρχῃ, Μηνᾷ. ὁ ἁγιώτατος ἀρχι-
επίσκοπος, εἶπε. λεγέτω κατὰ πρώτην τάξιν,
Θεόδωρος ὁ περίβλεπτος τὴν αἰτίαν, ἐφ᾽ ἣν παρα-
630. γέγονε πρὸς ἡμᾶς. Θεόδωρος ὁ περίβλεπτος τρι-
βοῦνος νοτάριος καὶ ῥαιφερενδάριος τοῦ εὐσεβε-
στάτου ἡμῶν δεσπότου, εἶπε. οἱ θεοφιλέστατοι ἐπί-
σκοποι τῆς δευτέρας Συρίων ἐπαρχίας. ἀναφορᾷ
ἐχρήσαντο περί τινων ἐκκλησιαστικῶν κεφαλαίων,
πρὸς τὸν εὐσεβέστατον καὶ θειότατον ἡμῶν δεσπότην.
οὐ μὴν ἀλλὰ καὶ οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται
τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος
πόλεως. καί τινες τῶν ἐκ τῆς ἀνατολικῆς διοική-
σεως. καὶ ὑπὸ τὰ Ἱεροσόλυμα εὐλαβέστατοι
μοναχοί, δεήσεις ἐπιδεδώκασι τῷ καλλινίκῳ



ἡμῶν δεσπότῃ. θεσπίσαι τε κατηξίωσε τὸ αὐτῶν
κράτος, ταύτας δι᾽ ἐμοῦ ἀποδοθῆναι τῇ ὑμετέρᾳ
μακαριότητι. καὶ τοῖς ἐκ τῆς πρεσβυτέρας Ῥώμης
ὁσιωτάτοις ἀνδράσι. καὶ τῇ λοιπῇ ἐνδημούσῃ
ἁγίᾳ συνόδῳ. ἀναγαγεῖν δὲ παρ᾽ ὑμᾶς, καὶ αὐτοὺς
τοὺς τὰς δεήσεις ἐπιδεδωκότας, εὐλαβεστάτους
ἄνδρας. ἐφ᾽ ᾧ ταύταις ἐντυχόντας ὑμᾶς,
πέρας αὐταῖς ἐπιθεῖναι. ὁ ἁγιώτατος ἀρχιεπί-
σκοπος, εἶπεν. ἀναγινωσκέσθω τὰ παρὰ Θεοδώρου
τοῦ περιβλέπτου προϊσχόμενα. καὶ λαβὼν
Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος.
τὰς δύο δεήσεις. τήν τε ἐκ προσώπου τῶν ἐπισκόπων.
καὶ τὴν ἐκ προσώπου τῶν μοναχῶν, ἀνέγνω:-

Λίβελλος ἐπισκόπων, τῷ βασιλεῖ Ἰουστινιανῷ:-

Τῷ εὐσεβεστάτῳ καὶ γαληνοτάτῳ ὅλης τῆς οἰκου-
μένης μετὰ θεὸν δεσπότῃ Φλαβίῳ Ἰουστινιανῷ τῷ
φιλοχρίστῳ. καὶ αἰωνίῳ αὐγούστῳ καὶ αὐτοκρά-
τορι, παρὰ Παύλου ἐπισκόπου Ἀπαμείας. καὶ
τῶν λοιπῶν ἐπισκόπων τῆς δευτέρας Συρίων
ἐπαρχίας. ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι
μεθ᾽ ἡμῶν. ἐγενήθημεν εὐφραινόμενοι καθὼς
γέγραπται. εὐσεβέστατε καὶ φιλόχριστε βασιλεῦ.
δικαίως γὰρ τὰ δίκαια διώκοντες. καὶ τὰ ἀληθῆ

καὶ ὀρθόδοξα δόγματα τῶν ἁγίων ἡμῶν πατέρων ὁσημέραι
ἀναζητοῦντες καὶ κρατύνοντες, κηρύττετε φανερῶς
πᾶσι τοῖς ὀρθοδόξοις λαοῖς, Χριστοῦ τοῦ θεοῦ ἡμῶν, βασι-
λέα τῶν ἁπάντων· καὶ κεφαλὴν τῆς ἐκκλησίας αὐ-
τοῦ, τῆς ἁγίας· ἣν τῷ ἰδίῳ αἵματι περιεποιήσατο·
λυτρωσάμενος ἡμᾶς ἐκ θανάτου οὗ ἐπήγαγεν ἡμῖν,
ὁ ἀλάστωρ διάβολος, διὰ τῶν ὑποθηκῶν αὐτοῦ τῶν
πονηρῶν· καὶ ἀληθῶς ἔγνωμεν, ὅτι ἐμεγάλυνε
κύριος τὴν ἱερὰν ὑμῶν καὶ δικαίαν βασιλείαν· καὶ
πάντας τοὺς ἐναντιουμένους, ὑποχειρίους τοῦ
κράτους ὑμῶν πεποίηκεν· ὅτι τὴν ἄμωμον καὶ
ἁγίαν πίστιν ἐκδικοῦντες· τὸν μὲν σῖτον τὸν καθαρόν,
τουτέστι τὰ ὀρθὰ δόγματα, ὡς θυμίαμα προσφέρετε
τῇ αὐτοῦ ἀγαθότητι· τὸ δὲ ἄχυρον, πυρὶ ἀσβέστῳ
κατακαίετε· φημὶ δὴ τοὺς αἱρετικούς. τοὺς μὴ
δεχομένους τὰς ἁγίας τέσσαρας συνόδους, ὡς ἕνα ὅρον
πίστεως ἀληθοῦς· τήν τε τῶν τιη'· καὶ τὴν τῶν ρν'·
καὶ τὴν ἐν Ἐφέσῳ πρώτην· καὶ τὴν ἐν Χαλκηδόνι
ἁγίαν οἰκουμενικὴν σύνοδον· μεθ᾽ ὧν καὶ τὴν
τιμίαν καὶ σεβασμίαν ἐπιστολὴν τοῦ ἐν ἁγίοις πάπα
ση λέοντος, ἀσπαζόμεθα· τὴν ὄντως στήλην ὀρθοδο-
ξίας ὑπάρχουσαν· οἵτινες ἅγιοι ἡμῶν πατέρες· πᾶ-
σαν αἱρετικὴν πλάνην καὶ κακοδοξίαν καθελόντες,



πόρρω τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, πεποιήκασι·
διδάξαντες ἡμᾶς, γεγεννῆσθαι μὲν ἀχρόνως ἐκ τοῦ
πατρός, τὸν υἱὸν τοῦ θεοῦ· καὶ εἶναι αὐτοῦ ὁμοούσιον
κατὰ τὴν θεότητα· καὶ τὸ πνεῦμα τὸ ἅγιον, πατρὶ καὶ
αὐτῷ τῷ υἱῷ, συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι·
καὶ μίαν εἶναι πατρός· καὶ υἱοῦ· καὶ ἁγίου πνεύματος τὴν
οὐσίαν καὶ τὴν θεότητα· καὶ ἐν τρισὶν ὑποστάσεσιν·
ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν, τὸν αὐτὸν προαιώνιον
υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν, σαρκωθῆναί τε καὶ ἐναν-
θρωπῆσαι· καὶ γεννηθῆναι ἐκ πνεύματος ἁγίου· καὶ
Μαρίας τῆς κατὰ ἀλήθειαν θεοτόκου καὶ ἀειπαρθένου·
καὶ γενέσθαι ἡμῖν ὁμοούσιον· καὶ εἶναι τὸν αὐτόν,
τέλειον ἐν θεότητι· καὶ τέλειον τὸν αὐτόν, ἐν
ἀνθρωπότητι· τὰς τῶν δύο φύσεων ἰδιότητας,
μὴ ἀποβαλλόμενον· ἀλλ᾽ ἐν ἑκατέρᾳ φύσει
γνωριζόμενον τὸν αὐτόν, ἐν ἑνὶ προσώπῳ
καὶ μιᾷ ὑποστάσει· ἀσυγχύτως· ἀτρέπτως·
ἀδιαιρέτως· ὡς ἐντεῦθεν τὰ Νεστορίου καὶ Εὐτυ-
χοῦς βδελυρά τε καὶ θεομισῆ δόγματα, κατὰ
κράτος ἐκβάλλεσθαι· καὶ ἐκ ῥιζῶν ἀνασπᾶσθαι
τὰ ζιζάνια, ἃ ταῖς ὀρθοδόξοις ἐκκλησίαις ἐνέ-
σπειραν· ὅθεν τοῦ μὲν φρενοβλαβοῦς καὶ ἀνθρω-
πολάτρου Νεστορίου τὴν διαίρεσιν ἀποφαινόντων,

ὁμολογοῦμεν ὅπερ ἐκεῖνος ἠρνήσατο. τὴν ἁγίαν
ἄχραντον καὶ ἀειπάρθενον μαρίαν τοῦ κυρίου καὶ θεοῦ
ἡμῶν ἰησοῦ χριστοῦ, θεοτόκον. αὐτυχοῦς δὲ τοῦ λήρου καὶ
παράφρονος τὸ βδελυρὸν καὶ ἀνόητον δόγμα ἀνα-
θεματίζοντες παντελῶς καὶ ἐξοστρακίζοντες.
τὴν δὲ διαφορὰν τῶν φύσεων ἐπιγινώσκομεν
καὶ ὁμολογοῦμεν, δύο φύσεις μετὰ τὴν ἕνωσιν
ἐν μιᾷ ὑποστάσει, ἐν τῷ ἑνὶ χριστῷ τῷ θεῷ ἡμῶν. καὶ
532 ὥσπερ οἱ ἀνόητοι εὐτυχιανισταὶ μετὰ τοῦ διδα-
σκάλου αὐτῶν εὐτυχοῦς. καὶ διοσκόρου τοῦ δεξα-
μένου αὐτόν, οὐκ ὀρθῶς πρὸ τῆς ἑνώσεως,
δύο λέγομεν φύσεις, μίαν δὲ μετὰ τὴν ἕνωσιν.
τοῦτο γάρ ἐστιν ἀρνήσασθαι παντελῶς τὴν τοῦ θεοῦ
ἡμῶν καὶ σωτῆρος οἰκονομίαν, καὶ ἄτρεπτον ἐναν-
θρώπησιν, ἣν κατεδέξατο διὰ τὴν ἡμετέραν σω-
τηρίαν. οἱ γὰρ τὰ εἰρημένα βλασφημήσαντες,
ἀνόητοι καὶ ἀλλότριοι τῆς ὁμολογίας, ἧς ὁ κορυ-
φαῖος τῶν ἀποστόλων πέτρος, ὡμολόγησεν
εἰπών, σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἡμᾶς
δὲ οἱ τῆς ὑμετέρας ὑπερευχόμενοι εὐσεβοῦς
βασιλείας. τῆς καθαρᾶς πηγῆς τῶν ναμάτων
τῆς ὀρθοδοξίας μετέχοντες. καὶ μεταδιδόντες
τοῖς ὀρθοδόξοις λαοῖς. καὶ ταύτῃ τῇ πίστει τὴν



ὑμετέραν γαληνότητα στεφανουμένην ὁρῶντες.
καὶ νικῶσαν πάντα ἐχθρὸν καὶ ὑπεναντίον τῆς
εὐσεβοῦς ὑμῶν βασιλείας, παρακαλοῦμεν
ἀποστραφῆναι τὸν ἐν σκαμβῇ καρδίᾳ. καὶ μὴ
ἐξ ὅλης καὶ καθαρᾶς διανοίας δεξάμενον, τὰ ὀρθὰ
καὶ ἀνεπίληπτα δόγματα τῶν εἰρημένων ἁγίων
πατέρων. ἀλλ᾽ ἐν ὑποκρίσει μὲν σχηματισάμενον
δέξασθαι τὰς ἁγίας τέσσαρας συνόδους. καὶ τὴν
ἀοίδιμον ἐπιστολὴν τοῦ ἐν ἁγίοις πάπα λέοντος
διὰ τὸ ἀξιόπιστον τῶν προσώπων. ἔργοις δὲ ἀρνη-
σάμενον καὶ μὴ ὁμολογήσαντα τὴν ἀγαθὴν καὶ
ὀρθόδοξον πίστιν αὐτῶν. καὶ ἰδικῶς ταῖς φωναῖς
ἐκείνας. δι᾽ ὧν εὐτυχῆ τὸν παράφρονα, τῆς ἐκ-
κλησίας ἐξέτεμον. καὶ ἀπελάσαι τοῦτον τῆς
ὑμετέρας εὐσεβοῦς πολιτείας. φαμὲν δέ, ἄν-
θιμον. σεβῆρον δὲ καὶ πέτρον τοὺς ἀναθεματι-
σθέντας, καὶ νῦν ἀποστρεφόμεθα καὶ ἀναθεματί-
ζομεν. καὶ ἀλλοτρίους ἔχομεν τῆς τῶν ὀρθοδόξων
κοινωνίας. αἱρετικοὺς ὄντας, καὶ χαίροντας
ἀεί, τῇ διαιρέσει τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν.
μεθ᾽ ὧν καὶ τὸν προειρημένον διόσκορον. οὐκ
ὀρθῶς ὡς εἴρηται δεξάμενον εὐτυχέα τὸν δυσώ-
νυμον, ἀποστρεφόμεθα καὶ ἀναθεματίζομεν.

οὕτω γὰρ ἔχοντες καὶ οὕτω φρονοῦντες· καὶ τῷ τῆς ὁσίας
μνήμης πάπα καὶ ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας
ῥώμης, ἀγαπητῷ· τῷ ἐπ' εὐεργεσίᾳ πασῶν τῶν ἐκ
κλησιῶν· καὶ τῆς ὑμετέρας εὐσεβοῦς πολιτείας, ἐπι
στάντι· καὶ ἀξιωθέντι τῶν εὐσεβῶν ὑμῶν ἰχνῶν,
διὰ μετρίας ἐπὶ τῆς πόλεως, περὶ τούτων αὐτῶν ἐγνωρίσαμεν·
καὶ ὡς ἡγούμεθα, οὐκ ἔφθασε ταύτην ἀπολαβεῖν,
προσκληθεὶς ὑπὸ χριστοῦ τοῦ θεοῦ ἡμῶν· ὃν ὁ κύριος μετέστησεν,
ἵνα τὸ πλήρωμα τῆς κατορθώσεως, τῇ ὑμετέρᾳ
533 φυλάξῃ γαληνότητι· ὑμᾶς δὲ ὁ κύριος τῆς δόξης, φυ
λάξει τοὺς εὐσεβεῖς καὶ ζηλωτάς, καὶ φύλακας τῆς
ὀρθοδόξου πίστεως· ἣν παραδεδώκασιν ἡμῖν οἱ
προλεχθέντες ἅγιοι πατέρες ἡμῶν, πάσῃ τῇ οἰκουμένῃ·
καὶ ταῖς ἁγιωτάταις αὐτοῦ ἐκκλησίαις ἐν εἰρήνῃ,
καὶ εὐφροσύνῃ καὶ νίκῃ τῇ κατὰ τῶν ἐναντίων·
προνοουμένους καὶ κυβερνῶντας τὴν ἐγχειρισθεῖσαν
ὑμῖν παρὰ τῆς αὐτοῦ ἀγαθότητος, βασιλείαν:–

∴ ὑπογραφαί:–

Παῦλος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας ἀπαμείας·
ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλά
κτου βασιλείας, ἐδεήθην:–

Σηριανὸς ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας ἀρεθού
σης· ὑπερευχόμενος τῆς εὐσεβοῦς καὶ θεοφυλάκτου



βασιλείας, ἐδεήθην:–

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας βαλα
νεωτῶν· ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ
θεοφυλάκτου βασιλείας, ἐδεήθην:–

Στέφανος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας λαδριανῆς·
ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλά
κτου βασιλείας, ἐδεήθην:–

Νόννος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας ῥεφανίας·
ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου
βασιλείας, ἐδεήθην:–

Κυριακὸς ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας σελευ
κοβήλου· ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν
καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην:–

Σέργιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας ἐπιφα
νείας· ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν
καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην:–

Βασιλεῖ θεοφιλεστάτῳ ∴ λίβελλος τῶν μοναστηρίων:
καὶ πανευσεβεστάτῳ ἰουστινιανῷ αὐτοκράτορι
αὐγούστῳ, δέησις καὶ ἱκεσία παρὰ μαριανοῦ·
ἐλέῳ θεοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς
δαλματίου τοῦ μανδριώτου καὶ ἐξάρχου τῶν
ἁγίων μοναστηρίων, τῆς δὲ τῆς πόλεως· καὶ ἀρχι
μανδριτῶν τῶν αὐτῶν μοναστηρίων ἁγίων·

καὶ τῶν ἐν αὐτῇ ἐνδημούντων ἀπὸ τῆς ὑπὸ τὰ Ἱεροσο-
λύμα ἐρήμου, ἀρχιμανδριτῶν καὶ μοναχῶν· καὶ
τῆς δευτέρας Συρίας· καὶ τοῦ ἁγίου ὄρους Σινᾶ· καὶ
τρίτων Παλαιστινῶν· τὴν ἐν χειρὶ θεοῦ καρδίαν τῆς
ὑμετέρας εὐσεβείας· οὐδαμῶς θέλει κλινομένην
ὁρῶντες· καὶ διὰ τοῦ τῶν συνεχόντων πραγμάτων
τὴν καλλίστην ὑμῶν πολιτείαν· προτιμῶσαν τὴν
τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνην· καὶ τῶν πιστῶν
λαῶν τὴν ἡσυχίαν, εἰκότως θαρροῦμεν παρενο-
χλεῖν τῷ θεοφυλάκτῳ ὑμῶν κράτει περὶ τῶν κοινῇ
πᾶσι χριστιανοῖς συμφερόντων· διδασκόμενοι τοίνυν·
ὥσπερ εἰσόδου τετυχηκότες πρὸ τούτων φανερῶν ἀνθρώπων,
παρὰ τῇ ὑμετέρᾳ εὐσεβείᾳ, ἐδεήθημεν τῶν εὐσε-
βῶν ὑμῶν ἰχνῶν· τὸν ἐπιδεδομένον παρ' ἡμῶν
λίβελλον τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατριάρχῃ
Μηνᾷ, προσδεχθῆναι καὶ κανονικῶς πραχθῆναι·
ἐπειδὴ τοίνυν ὑπὲρ τῶν αὐτῶν δεόμεθα, θεσπισάτω
ἡ ὑμετέρα φιλόθεος γαληνότης· δι' εὐσεβοῦς ὑμῶν
κελεύσεως· καταπεμπομένης πρὸς τὸν εἰρημένον
μακαριώτατον ἄνδρα, τὸν εἰρημένον λίβελλον·
τὸν γενόμενον κατὰ τῶν λυμαινόντων τὴν ἁγίαν
τοῦ θεοῦ ἐκκλησίαν· φαμὲν δὴ Σευήρου καὶ Πέτρου
τῶν δυσσεβῶν· καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων·



ἀπὸ Αἰτύχου καὶ Διοσκόρου καταγομένων ἀκεφά-
λων αἱρετικῶν· ὧν εἷς ἐστιν ὁ μάλιστα διαταράξας
τό γε ἐπ' αὐτῷ, τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, Ζωόρας
τις Σύρος· ἀλλόπιστος· πλήρης, πάσης ἀνοίας καὶ
μανίας· καὶ μηδὲν ἕτερον παρὰ τούτων μαθών,
ἢ ἀναθεματίζειν τοὺς ἁγίους ἡμῶν πατέρας· καὶ τοὺς
τούτοις κοινωνοῦντας· καὶ ἀπατᾶν τοὺς πρὸς αὐτὸν
παραγινομένους· καὶ παρασυνάγειν καὶ παραβα-
πτίζειν, ὥστε ἐδεήθημεν προσδεχθῆναι· καὶ κανο-
νικῶς τά γε ἐγκείμενα αὐτῷ, πέρας δέξασθαι· συ-
νιόντων κατὰ ταυτόν, τοῦ τε εἰρημένου πατριάρχου
Μηνᾶ· καὶ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων
ῥωμαίων· καὶ τῆς ἐνδημούσης κατὰ ταύτην τὴν
βασιλίδα πόλιν, ἁγίας συνόδου· τούτου γὰρ τυ-
χόντες, μειζόνως καὶ ἐπιτεταμένως ταῖς ὑπὲρ τῆς
ὑμετέρας εὐσεβείας ἱκεσίαις ἀναπέμψομεν τῷ
φιλανθρώπῳ θεῷ· ἐφ' ᾧ τε δωρηθῆναι ἡμῖν ἐπὶ μη-
κίστοις χρόνοις, τὸ ὑμέτερον εὐσεβὲς ὄνομα
καὶ πρᾶγμα· καὶ τὴν ὑμετέραν βασιλείαν, φρου-
ρουμένην ὑπὸ τῆς πάντα νοῦν ὑπερεχούσης τοῦ
θεοῦ εἰρήνης· καὶ ταύτην χορηγοῦσαν ταῖς ἁπανταχοῦ
ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις· καὶ ἐκποδὼν ποιου-
μένην τούτων, πάντα τὸν μὴ κοινωνοῦντα ταύταις,

καὶ τῷ ἀποστολικῷ θρόνῳ :- :: ὑπογραφαί :

Μαριανὸς ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Δαλματίου καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος πόλεως· ὑπογράψας, ἐδεήθην :-

Ἀγαπητὸς ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς Διου· δεηθεὶς, ὑπέγραψα :-

Ἀγάπιος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς θείας μνήμης Θαλασσίου· ὑπογράψας, ἐδεήθην :-

Ἀλέξανδρος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Ἀβραμίου· ὑπογράψας, ἐδεήθην :-

Θεόδωρος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς Ἰὼβ, ὑπογράψας, ἐδεήθην :-

Ἐλευθέριος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος τοῦ ἁγίου μάρτυρος Κυριακοῦ· ὑπογράψας, ἐδεήθην :-

Διόσκορος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος τῶν Ὀλυμβρίου· ὑπογράψας, ἐδεήθην :-

Παῦλος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος τῶν Ῥωμαίων· πλησίον τῶν Προΐνου· ὑπογράψας, ἐδεήθην :-



Κοσμᾶς ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τοῦ ἐν τοῖς Στουδίου· ὑπογράψας, ἐδεήθην :-

Lucianus misericordia dei presbyter et egumenus monasterii Romanorum subscripsi et rogavi :-

Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ· ὑπογράψας, ἐδεήθην :-

Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος τῆς Ἀλαγοῦ μονῆς τοῦ ἁγίου καὶ ἀρχαγγέλου Μιχαήλ· ὑπογράψας, ἐδεήθην :-

Κυριακὸς ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῶν Εὐφημίου· ὑπογράψας, ἐδεήθην :-

Δημήτριος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος τῶν Φωκᾶ· ὑπογράψας, ἐδεήθην :-

Θεόδωρος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῶν Τρύφωνος· ὑπογράψας, ἐδεήθην :-

Φωκᾶς ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῶν Ἰωνᾶ· ὑπογράψας, ἐδεήθην :-

Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος τῆς μονῆς τῶν Προμότου· ὑπογράψας, ἐδεήθην :-

Ἀνδρέας ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος

τῶν Καϊουμᾶ· ὑπογράψας, ἐδεήθην:-
Ἀλέξανδρος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
τῆς μονῆς τοῦ Καλαμίου· ὑπογράψας, ἐδεήθην:-
Στέφανος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
τῶν Κώνστα· ὑπογράψας, ἐδεήθην:-
535. Γεννάδιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Κυριακοῦ· ὑπογράψας, ἐδεήθην:-
Κυριακός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Σύρων· ὑπογράψας, ἐδεήθην:-
Ἀπικός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Εὐκρατάδων· ὑπογράψας, ἐδεήθην:-
Κυρίων· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῶν Αἰγυπτίων· ὑπογράψας, ἐδεήθην:-
Θεόδωρος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Μαρωνίου· ὑπογράψας, ἐδεήθην:-
Τιμόθεος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Ἀστερίου· ὑπογράψας, ἐδεήθην:-
Ζώσιμος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Μαξιμίνου· ὑπογράψας, ἐδεήθην:-
Μάρκος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῶν Θεοδώρου· ἀπὸ ἐκσκεπτόρων· ὑπογράψας,
, ἐδεήθην:-
Ἀνδρέας· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος





μονῆς τῶν Βεάτων· ὑπογράψας, ἐδεήθην:-
Διονύσιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
Μάρκου· ὑπογράψας, ἐδεήθην:-
Στρατόνικος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου Δομετίου· ὑπογράψας, ἐδεήθην:-
Μάρκος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τοῦ ἁγίου Κυρίκου· ὑπογράψας, ἐδεήθην:-
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς Ἰσαακίου· ὑπογράψας, ἐδεήθην:-
Ζώϊλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς Θεοδότου· ὑπογράψας, ἐδεήθην:-
Κυριακός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου Γεωργίου ἐν τῷ Ξηροκέρκῳ· ὑπο-
γράψας, ἐδεήθην:-
Μαρῖνος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς Παυλίνου· ὑπογράψας, ἐδεήθην:-
Παῦλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου Ζηνοβίου· ὑπογράψας, ἐδεήθην:-
Στέφανος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Ὀλυμπίου· ὑπογράψας, ἐδεήθην:-
Ἰάκωβος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Ἀβίβου· ὑπογράψας, ἐδεήθην:-
Πέτρος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος

μονῆς ἐπιλεγομένης ἱερουσαλήμ· ὑπογράψας, ἐδεήθην:–
Παῦλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς σα
μουήλ· κατὰ τὸν σκύθην· ὑπογράψας ἐδεήθην, διὰ
ζωτικοῦ διακόνου:–
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
θεοδώρου ἐν τῇ πέτρα· ὑπογράψας, ἐδεήθην:–
Ἐλευθέριος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς νεώνος· ὑπογράψας, ἐδεήθην:–
Μόδεστος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
ἐπίκλην τῶν λυκαόνων· ὑπογράψας ἐδεήθην, γ
διὰ χειρὸς φλαβιανοῦ πρεσβυτέρου καὶ δευτεραρίου:–
Γεώργιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς κύρου· ὑπογράψας, ἐδεήθην:–
Ἀντώνιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς θ
τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν θεοσεβίου· ὑπογράψας, ἐδεή:–
Τρύφων· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν μανουηλίου· ὑπογράψας, ἐδεήθην:–
Θεόκτιστος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου
μαρίας· ὑπογράψας, ἐδεήθην:–
Ζήνων· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
διακειμένης ἐν καλῷ ἀγρῷ· τοῦ ἁγίου προδρόμου
καὶ βαπτιστοῦ ἰωάννου· ὑπογράψας, ἐδεήθην:–



Παῦλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῆς ἁγίας μάρτυρος ἑρμιόνης· τῆς διακει
μένης πλησίον τῶν ἐλεβίχου· ὑπογράψας ἐδεή
θην, διὰ χειρὸς μαρίνου ἀναγνώστου:–
Σίλας· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν ἠλία· ὑπογράψας, ἐδεήθην:–
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν μαρᾶ· πλησίον τῆς ἀετίου κινστέρνης·
ὑπογράψας, ἐδεήθην:–
Βασίλειος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου συμεών· ἐπίκλην τῶν κυρακῶν·
ὑπογράψας, ἐδεήθην:–
Θεόδωρος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς ὑπ' ἐμοῦ χάριτι θεοῦ συστάσης· ὑπογράψας,
ἐδεήθην:–
Βαβύλας· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ τῆς ὁσίας μνήμης δανιὴλ τοῦ ἐν τῷ
στύλῳ· καὶ τοῦ ἁγίου ἰωάννου τοῦ προδρόμου
καὶ βαπτιστοῦ· καὶ τοῦ ἁγίου ἀποστόλου ἀνδρέου·
ὑπογράψας, ἐδεήθην:–
Πολυχρόνιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχι
μανδρίτης μονῆς τοῦ ἁγίου ἀρχαγγέλου μιχαὴλ
τοῦ ἐν τῷ αἰθρίῳ· δι' ἀναστασίου μοναχοῦ· δεηθεὶς,
ὑπέγραψα:–

Ἀναστάσιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρί-
της μονῆς τῶν Ῥωμαίων τῆς ἐν τῷ Πετρίῳ· δεηθείς,
ὑπέγραψα:-
635 Ἀνδρέας· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῶν Ῥωμαίων· δεηθείς, ὑπέγραψα:-
Ἐλπίδιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς Βασιανοῦ· δεηθείς, ὑπέγραψα:-
Ζώσιμος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Λυκαόνων· δεηθείς, ὑπέγραψα:-
Πολυχρόνιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχι-
μανδρίτης μονῆς τῶν Κρητικῶν· δεηθείς, ὑπέγραψα:-
Ἰωσήφ· ἡγούμενος τῆς ἁγίας ἐνδόξου καὶ ἀειπαρ-
θένου Μαρίας τῆς θεοτόκου· τῆς οὔσης ἐν τῷ λιθοστρώτῳ·
δεηθεὶς ὑπέγραψα. διὰ χειρὸς Στεφάνου πρεσβυ-
τέρου καὶ δευτεραρίου μου:-
Ῥόδων· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
μονῆς τῶν Θεοδώρου· δεηθείς, ὑπέγραψα:-
Ζωτικός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
τοῦ ἁγίου Ἀνδρέου· πλησίον τῆς Σατουρνίνου πόρτης·
δεηθείς, ὑπέγραψα:-
Μαρτύριος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμαν-
δρίτης μονῆς Οὐάλεντος· τῆς τοῦ ἁγίου Ἰωάννου
τοῦ βαπτιστοῦ· δεηθείς, ὑπέγραψα:-



Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρί-
της μονῆς τῆς πλησίον τοῦ ἀγωγοῦ· δεηθείς, ὑπέγραψα:-
Ἡσύχιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
μονῆς τοῦ μακαρίου Θεοδοσίου· ποιούμενος τὸν
λόγον· ὑπὲρ πάσης τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου·
δεηθείς, ὑπέγραψα:-
Δομετιανός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμαν-
δρίτης τοῦ μακαρίου Μαρτυρίου· ποιούμενος τὸν
λόγον· ὑπὲρ πάσης τῆς ὑπὸ τὴν ἁγίαν πόλιν
ἐρήμου· δεηθείς, ὑπέγραψα:-
Κασιανός· ἐλέῳ θεοῦ πρεσβύτερος· λαύρας μονῆς
τοῦ μακαρίου Σάββα· ποιούμενος τὸν λόγον·
ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου· δεηθείς, ὑπέγραψα:-
Κυριακός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμαν-
δρίτης λαύρας τῶν πυργίων· ποιούμενος τὸν λόγον·
ὑπὲρ πάντων τῶν ἐν τῷ Ἰορδάνῃ· δεηθείς, ὑπέγραψα:-
Νέσταβος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
λαύρας τοῦ μακαρίου Φιρμίνου· ποιούμενος
τὸν λόγον ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου·
δεηθείς, ὑπέγραψα:-
Τερέντιος· ἐλέῳ θεοῦ πρεσβύτερος τῆς νέας λαύρας·
ποιούμενος τὸν λόγον· ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν
πόλιν ἐρήμου· δεηθείς, ὑπέγραψα:-

Τραϊανὸς ἐλέῳ θεοῦ πρεσβύτερος τῶν πυργίων τῶν ἐν τῷ Ἰορδάνῃ καὶ ὑπὲρ πάντων τῶν αὐτόθι μοναχῶν δεηθεὶς ὑπέγραψα.

639 Λεόντιος ἐλέῳ θεοῦ μοναχὸς ποιούμενος τὸν λόγον ὑπὲρ τῶν κατὰ τὴν ἔρημον ἁγίων πατέρων δεηθεὶς ὑπέγραψα.

Θεόδωρος ἐλέῳ θεοῦ διάκονος καὶ μοναχὸς τῆς νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

Κύρικος ἐλέῳ θεοῦ διάκονος καὶ μοναχὸς τῆς αὐτῆς νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

Πολύευκτος ἐλέῳ θεοῦ διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ μοναχῶν δεηθεὶς ὑπέγραψα.

Ἀναστάσιος ἐλέῳ θεοῦ διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ μοναχῶν δεηθεὶς ὑπέγραψα.

Νίκων ἐλέῳ θεοῦ διάκονος καὶ μοναχὸς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

Ναμᾶς ἐλέῳ θεοῦ μοναχὸς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

Ἰουλιανὸς ἐλέῳ θεοῦ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

Ἰωάννης ἐλέῳ θεοῦ μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

Σαββάτιος ἐλέῳ θεοῦ μοναχὸς τῆς λαύρας τοῦ μακαρίου Σάββα καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

Μαρτύριος ἐλέῳ θεοῦ μοναχὸς τῆς νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

Βασίλειος ἐλέῳ θεοῦ μοναχὸς τοῦ Ἰορδάνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῷ Ἰορδάνῃ μοναχῶν δεηθεὶς ὑπέγραψα.

Θεόδωρος ἐλέῳ θεοῦ μοναχὸς τῆς λαύρας τοῦ μακαρίου Φιρμίνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ μοναχῶν δεηθεὶς ὑπέγραψα.

Θεωνᾶς ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῆς ἐρήμου Ῥαϊθοῦ καὶ τῆς κατὰ Φαρὰν ἁγίας ἐκκλησίας ποιούμενος τοὺς λόγους ὑπὲρ πάντων τῶν ὄντων μοναχῶν ἐν τοῖς εἰρημένοις ἐρήμοις τόποις δεηθεὶς ὑπέγραψα.

Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας
τῶν Ἀμμωνίων τῆς πεδιάδος· καὶ ὑπὲρ πάντων τῶν ἐν
640 τῇ πεδιάδι μοναχῶν· δεηθεὶς ὑπέγραψα:–
Θεόδωρος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς μονῆς τοῦ
μακαρίου Σεργίου τῆς ἐν τῇ πεδιάδι· καὶ ὑπὲρ πάν-
των τῶν ἐν αὐτῇ μοναχῶν· δεηθεὶς ὑπέγραψα:–
Κοσμᾶς ἐλέει θεοῦ μοναχὸς· καὶ ὑπὲρ πάντων τῶν ἐν
τῇ πρώτῃ Παλαιστίνῃ μοναχῶν· δεηθεὶς ὑπέγραψα:–
Στρατήγιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς· καὶ ὑπὲρ
πάντων τῶν ἐν τῇ δευτέρᾳ Παλαιστίνῃ μοναχῶν· δεη-
θεὶς ὑπέγραψα:–
Γελαμίνης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος·
καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ τρίτῃ Παλαιστίνῃ μονα-
χῶν καὶ ἀρχιμανδριτῶν· δεηθεὶς ὑπέγραψα:–
Ἠλίας ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς· καὶ ὑπὲρ
πάντων τῶν ἐν Αὐγουστοπόλει μοναχῶν τῆς τρίτης
Παλαιστίνης· δεηθεὶς ὑπέγραψα:–
Ἀναστάσιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς· καὶ
ὑπὲρ πάντων τῶν ἐν Πέτραις μοναχῶν τῆς τρίτης
Παλαιστίνης· δεηθεὶς ὑπέγραψα:–
Φωτεινὸς ἐλέει θεοῦ μοναχὸς τοῦ ἁγίου Στεφάνου
τοῦ ἐν Μαωζᾷ Ἰαμνίας πρώτης Παλαιστίνης· καὶ
ὑπὲρ πάντων τῶν ἐν αὐτῷ μοναχῶν· δεηθεὶς
ἐπέδωκα:–



Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς· καὶ
ὑπὲρ πάντων τῶν ἐν τῷ Αἰλᾷ τῆς τρίτης Παλαιστίνης
μοναχῶν· δεηθεὶς ἐπιδέδωκα:–
Παῦλος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος
μονῆς τοῦ μακαρίου Μάρωνος· τῆς ἐξαρχούσης τῶν
ἐν τῇ δευτέρᾳ Συρίᾳ ἁγίων μοναστηρίων· ποιού-
μενος τοὺς λόγους τῶν ἐν τῇ αὐτῇ δευτέρᾳ Συρίᾳ
ἀρχιμανδριτῶν καὶ μοναχῶν· δεηθεὶς ἐπέδωκα:–
Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Θεόδωρος ὁ
περίβλεπτος ῥαιφερενδάριος, ἀναχωρείτω·
πράξας ἐφ' ᾧ παραγέγονεν· ἀναγινωσκέσθωσαν
δὲ καὶ οἱ ἡμῖν ἐπιδοθέντες λίβελλοι, παρὰ τῶν
αὐτῶν εὐλαβῶν μοναχῶν· καὶ λαβὼν Θεόδωρος
ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος, ἀνέγνω:–
Λίβελλος μοναχῶν, πρὸς μηνᾶν [illegible]
Τῷ δεσπότῃ ἡμῶν τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ 641
μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος,
μηνᾷ· καὶ τοῖς ἐνδημοῦσιν αὐτῇ ὁσιωτάτοις
ἐπισκόποις τῆς Ἰταλῶν χώρας· καὶ θεοφιλεστά-
τοις ἀρχιδιακόνοις τοῦ ἀποστολικοῦ θρόνου·
καὶ τῇ ἐνδημούσῃ τῇ δὲ τῇ φιλοχρίστῳ πόλει ἁγιω-
τάτων ἐπισκόπων, συνόδῳ· παρὰ Μαριανοῦ
πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Δαλμα-

που· καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων, τῆς
βασιλίδος πόλεως· καὶ ἀρχιμανδρίτου τῶν εἰρη-
μένων εὐαγῶν μοναστηρίων· καὶ τῶν ἐνδημούντων
ἐν αὐτῇ ἀρχιμανδριτῶν· καὶ μοναχῶν τῆς ὑπὸ τὰ
ἱεροσόλυμα ἐρήμου· καὶ ἀπὸ τῆς δευτέρας συρίας·
καὶ τοῦ ἁγίου ὄρους σινᾶ· καὶ τῶν τριῶν παλαι-
στινῶν· τῆς ἐπὶ ἀνθίμῳ κρίσεως πληρωθείσης·
καὶ τῆς κατ' αὐτοῦ ψήφου παρ' ὑμῶν τῶν ἁγιωτά-
των δικαίως ἐξενεχθείσης· ὅτι καὶ περὶ τοὺς θείους
κανόνας ἡμαρτηκὼς ἑάλω· καὶ τὰ τῆς καθολι-
κῆς ἐκκλησίας ὁμολογῆσαι δόγματα μέχρι τέλους
ἠπείθησεν, εὐχαριστοῦμεν τῷ θεῷ, τῷ διὰ τῆς
σπουδῆς τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως· τὸν
ἱερὸν ὑμῶν σύλλογον εἰς τὸ ἓν συναγαγόντι· ἵνα
καθαρίσῃ τὴν αὐτοῦ ἐκκλησίαν· καὶ παραστήσῃ
αὐτὴν ἑαυτῷ ὡς ἀεὶ, ἔνδοξον· μὴ ἔχουσαν σπίλον·
ἢ ῥυτίδα· ἤ τι τῶν τοιούτων αἱρετικῶν ζιζανίων·
καὶ ἦν μὲν ἡμῖν δι' εὐχῆς τῷ ἰδίῳ σχολάζοντας
ἐπαγγέλματι, τούτῳ καὶ μόνῳ προσανέχειν·
ὑπὸ μηδενὸς τῶν ἔξωθεν περιϊσταμένων δια-
κοπτομένους· ἀλλ' ἐπειδὴ ὁ μισόκαλος δαίμων·
ὁ τοῖς ἀγαθοῖς τῶν ἀνθρώπων ἀεὶ ἐποφθαλμιῶν·
ἐπιτήδεια ὄργανα εὑρών· σευῆρον καὶ πέτρον·



δι' αὐτῶν τῶν ἀτόπων τὴν εἰρήνην τῶν ἁγίων τοῦ
θεοῦ ἐκκλησιῶν οὐ παύεται, τούτου χάριν καὶ
περὶ αὐτῶν ἐν τοῖς παρ' ἡμῶν ἐπιδεδομένοις λιβέλ-
λοις τῷ ἐν ἁγίοις πάπᾳ ἀγαπητῷ· τοῖς καὶ ἀνα-
γνωσθεῖσιν ἐπὶ τῆς ὑμετέρας μακαριότητος, κατὰ
τὴν προτέραν σύνοδον· καὶ ἐν τῇ προσδοθείσῃ
τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ, δεήσει· τῇ καὶ
καταπεμφθείσῃ τῇ ὑμῶν ἁγίᾳ συνόδῳ παρὰ τῆς
αὐτοῦ εὐσεβείας, διὰ θεοδώρου τοῦ περιβλέ-
πτου ῥαιφερενδαρίου· διακομίσαντος καὶ τὴν
αὐτοῦ εὐσεβῆ κέλευσιν· προστάττουσαν τῇ ἁγίᾳ
ὑμῶν συνόδῳ περὶ πάντων τῶν περιεχομένων
ἐν τῇ δεήσει, ὑμᾶς διασκοπῆσαι, διεξήλθομεν
μέρος τι· οὐ γὰρ οἷόν τε πάντα τὰ παρ' αὐτῶν· καὶ
τῶν τὰ ὅμοια τούτοις φρονούντων· ἀπὸ εὐτυχοῦς
καὶ διοσκόρου καταγομένων ἀκεφάλων αἱρε-
τικῶν· κατὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας· ἔν τε
τῇ βασιλίδι ταύτῃ πόλει· καὶ ἐν ἑτέραις πόλεσι
τολμηθέντα καὶ τολμώμενα· οὗτοι γὰρ ὥσπερ
μικρὰ λογισάμενοι τὰ ἤδη παρ' αὐτῶν τολμη-
θέντα· καὶ ἀνατολὴν πᾶσαν διαταράξαντες· καὶ 542
παντοίοις ἀνθρωπίνοις αἵμασι καταμολύ-
ναντες ὁσίων καὶ ἑτέρων ἀνδρῶν, φίλον εἰ-

κοῦσι πάντως καὶ τὴν δὲ τὴν βασιλίδα πόλιν, τοιού-
τοις περιβαλεῖν εἰ παρισχύσουσι, κακοῖς· ἀπορ-
βουλόμενοι συντόμῳ λόγῳ ἀνακεφαλαιώσασθαι,
οὐκ ἴσμεν τί πρῶτον ἢ τί ὕστερον διηγησόμεθα·
ἢ τί σιωπήσαντες ὡς βραχύτερον ἢ ὡς μεῖζον, φανε-
ρώσομεν· πάντων τῶν παρ' αὐτῶν δραματουργη-
θέντων κατὰ σύγκρισιν, ὁμοτίμων· καὶ οὐδενὸς
καθ' ἑτέρου τὴν ὑπεροχὴν ἔχειν δυναμένου. τί γὰρ
εἴπωμεν· τὰ τῶν δικαίων αἵματα· ὧν αἱ χεῖρες
αὐτῶν πλήρεις, ἀλλὰ τοὺς ἀναθεματισμούς·
οὓς κατὰ τῶν ἁγίων καὶ θεοφόρων τῆς ἐκκλησίας
διδασκάλων τὰ μιαρὰ αὐτῶν ἐξενεγκεῖν ἐτόλ-
μησαν στόματα· καὶ μάλιστα κατὰ τῆς ἁγίας ἐν
Χαλκηδόνι συνόδου· καὶ τοῦ μακαρίου πάπα
Λέοντος, ἀλλὰ τὰ σχίσματα τῶν ἁγίων ἐκ-
κλησιῶν· καὶ τῶν πιστῶν λαῶν τὰ σκάνδαλα,
ἀλλὰ τοὺς συνωθισμοὺς οὓς κατὰ τῶν θεοφιλῶν
ἀρχιμανδριτῶν καὶ ὁσίων ἀρχιερέων εἰργάσαντο,
πλῆθος ἀνδρῶν αὐτοὺς περιστοιχίσαντες· ἵνα
τοὺς κατὰ τῶν ἁγίων ἀναθεματισμοὺς ἀπαιτή-
σωσιν· ἀλλὰ τὰς ἐγγράφους ὁμολογίας, περι-
εχούσας ἀναθέματα κατὰ τῶν εἰρημένων
ἁγίων πατέρων· αἵπερ βίᾳ καὶ ἀνάγκῃ καὶ πάσῃ



στρεβλώσει ὑποβαλόντες τινὰς τῶν ὑπ' αὐτοὺς
ἀρχιερέων, ἐκομίσαντο παρ' αὐτῶν, ἡνίκα ὁ μὲν,
τὸν τῆς Θεουπολιτῶν ἐκκλησίας· ὁ δὲ, τὸν τῆς
Ἀπαμείας· ἀθέσμως καὶ παρὰ πάντα ἱερὸν
κανόνα, ὑφήρπασαν καὶ κατεμόλυναν,
τό γε ἐπ' αὐτοῖς, θρόνον· καίτοι γε οὐδὲ ἡγεμόνας
ἢ κληρικοὺς τελέσαντες κανονικῶς, τούτου
τυχεῖν ἠξιώθησαν· ἀλλὰ τί εἴποιμεν· τοὺς
συγκλασθέντας δακτύλους τῶν ἁγίων, οἷς περι-
έσχον τὰ θυσιαστήρια· ὡς ἐπί τινα τόπον ἄσυλον,
ὑπ' αὐτὰ καταφυγόντες, διὰ τὴν τῶν εἰρημένων
μιαιφονίαν· ὅθεν ἐξελκόμενοι ὑπὸ ἀνδρῶν
ἀνηλεῶν, βιαίως θανάτῳ παρεδίδοντο· ἢ καὶ
ἐν αὐτοῖς τοῖς σεβασμίοις τόποις, ὑπὸ τῆς τού-
των μιαρίας, διεχειρίζοντο· μὴ δυναμένων
τόπου διαφορὰν διακρῖναι ἁγίου τε καὶ κοινοῦ.
σιωπῶμεν τὰς ἀπὸ νεκρᾶς χειρὸς ἐπιθέσεις
τοῦ βδελυκτοῦ καὶ ψευδοῦς αὐτῶν ἀρχιερέως.
καὶ τοὺς ὑπὲρ τοῦ νεκροῦ ζῶντος ἐπὶ τοῖς χειρο-
τονουμένοις, ῥήματα ἐπικλήσεως προϊεμένους.
οὐκ ἐκ θείας χάριτος, ἀλλ' ἐκ κοιλίας κενολογοῦν-
τας· καὶ ἀπὸ γῆς φθεγγομένους· σιωπῶμεν τὰ
δεσμωτήρια καὶ τὰ δεσμά· καὶ τὰς κατὰ τῶν

εὐαγῶν μοναστηρίων νύκτωρ τε καὶ μεθημέραν, λῃ-
στρικαῖς ἐφόδοις καὶ γὰρ πάσας τῶν ἐν αὐτοῖς καὶ τῶν
ἀσκουμένων ταῖς βιαίαις σφαγαῖς· σιωπῶμεν ταῖς ἐν
ταῖς ὁδοῖς, κατὰ τῶν ἁγίων ἐνέδρας. καὶ τὸ ἐκχυθὲν
αὐτῶν ἀθῷον αἷμα· ὅτε ζηλωθεὶς ὡς κινηθέντες· τὴν
πορείαν ἐπὶ τὴν μάνδραν αὐτοῦ τοῦ ἁγίου Συμεῶνος,
ἐποιήσαντο· κοινῆς χάριν σκέψεως τῶν κατὰ τῆς ἐκ-
κλησίας καὶ τῶν παρὰ τούτων κινουμένων· συλ-
λέξαντες γὰρ πλῆθος παρανόμων λῃστῶν Ἰουδαίων,
ἐπαφῆκαν τοῖς τιμίοις ἐκείνοις ἀνδράσιν· ἐφ᾽ ὧν
ἀποσταλέντες οἱ ἀπάνθρωποι τούτων ὑπηρέται,
ἐνήδρευον τοὺς εἰρημένους ὁσίους ἄνδρας, κατὰ
τὴν ὁδόν· καὶ παριοῦσιν αὐτοῖς ἐπαναστάντες
ἐκ τοῦ λόχου· καὶ αἰφνίδιον ἐπελθόντες· καὶ
μηδὲ τὴν πολιὰν αἰδεσθέντες, ἔργον μαχαίρας
τούτους ποιησάμενοι περὶ τοὺς τριακοσίους
πεντήκοντα τὸν ἀριθμὸν ὄντας, διέσπειραν αὐτῶν
τὰ κῶλα, κατὰ τὴν λεωφόρον· μηδὲ ταφῆς
παραδεδωκότες τὰ τίμια ἐκείνων λείψανα·
μηδὲ τῶν σκηνῶν αὐτῶν φεισάμενοι πρὸς ἀτι-
μίαν τοῦ πιστοῦ λαοῦ· οἱ τὸ μιαρὸν τῶν Ἰουδαίων
ἔργον καὶ τότε ἐπαγόμενοι· καὶ οὐ θαυμαστὸν
εἰ τοιαύτας ἐπεδίδοσαν τοῖς ὑπ᾽ αὐτῶν θεραπευομέν(οις)



δαίμοσιν, ἀνθρωποθυσίας· καὶ μάλιστα σεβῆρος·
οὔπω καὶ τήμερον τὴν ἑλληνικὴν ἀποθέμενος
δεισιδαιμονίαν· ἐκείνων γὰρ ἦσαν μαθηταί,
περὶ ὧν ὁ Δαβὶδ βοᾷ, λέγων· καὶ ἔθυσαν τοὺς
υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν, τοῖς δαι-
μονίοις· καὶ ἐξέχεαν αἷμα ἀθῷον· αἷμα υἱῶν
αὐτῶν καὶ θυγατέρων ὧν ἔθυσαν τοῖς γλυπτοῖς
Χαναάν· καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι·
καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν· καὶ ἐπόρνευσαν
ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν·· τίς γὰρ οὐκ ἐπί-
σταται τὸν ἐκ νέας κομιδῆ ἡλικίας αἰσχρὸν καὶ
μυσαρὸν αὐτῶν βίον· καὶ δαίμοσι προσανακεί-
μενον· καὶ ὅτι ἐπὶ μαγγανείαις σεβῆρος ἁλοὺς
κατὰ τὴν βηρυτίων· ὁ τῶν δαιμόνων θεραπευ-
τής· καὶ τὴν ἐκ τούτου κατηγορίαν διαφυγεῖν
βουλόμενος, ἐσχηματίσατο μετατίθεσθαι τὴν
δαιμονικὴν αὐτοῦ δόξαν· καὶ προσιέναι ὡς
φησιν αὐτός, τῷ βαπτίσματι κατὰ τὸν ἐν Τρι-
πόλει προσκυνητὸν οἶκον τοῦ ἁγίου καὶ καλ-
λινίκου μάρτυρος, Λεοντίου· καὶ μή πω τῶν
ἐν τοῖς βαπτιζομένοις ἱερῶν τελεσθέντων.
ὥς εἶδεν ὅτι τὴν ἀλήθειαν πρὸς μικρὸν ὑποκρινό-
μενος· ὅτι πάλιν προφανῶς ἐπὶ τὸν ἀρχαῖον τῆς

643 ἑλληνικῆς αὐτοῦ δόξης ἐν μέτρον ὑποστρέφειν οὐ δύναται,
διὲ πέρας ὁδοῦ, εἰς τὸ σπουδαζόμενον καταντᾶ· ἀρνεῖ-
ται γὰρ εὐθὺς τὴν ἐκκλησίαν· καὶ τὸν, τοῦτον βαπτί-
σαντα· καὶ προσχωρεῖ τοῖς τὰ εὐτυχοῦς φρονοῦσιν,
ἀκεφάλοις αἱρετικοῖς· καὶ αἱρέσεως καὶ ἀσεβείας
καταγώγια καλῶν, τοὺς ἁγίους τοῦ θεοῦ οἴκους· διὰ
τούτου ἀθετῶν, ὅπερ φησὶν εἰληφέναι βάπτισμα·
ὥστε ἐπ' αὐτῷ πληροῦσθαι τὸ προφητικὸν λόγιον,
> ὅ φησιν ἐπὶ τοῖς τοιούτοις· ἀπηλλοτριώθησαν
> ἀπὸ μήτρας· ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλά-
> λησαν ψευδῆ· θυμὸς αὐτοῖς, κατὰ τὴν ὁμοίωσιν
> τοῦ ὄφεως· ὅτι δὲ καὶ ταύτην ὑπεκρίναντο τῶν
ἀκεφάλων τὴν θρησκείαν, ἐκ τῶν ἐφεξῆς πρό-
δηλον ἅπασι γέγονε· προστατῶν γὰρ τοῦ κατ' αὐτὸν
ἀκεφάλου τμήματος· καὶ τὸ λεγόμενον ἑνωτικὸν
οὐ προσιέμενος· ἀλλὰ κενωτικὸν αὐτὸ καὶ διαι-
ρετικὸν καλῶν· καὶ ἀναθεματίζων ἐν ἰδίοις
αὐτοῦ συγγράμμασιν· ἐπειδὴ καιρὸν ἔσχεν
ὑφαρπάσαι τὸν τῆς θεουπολιτῶν εὐαγῆ θρόνον,
εἰρωνεύεται πάλιν· ἐξ ἀντιστρόφου τοῦτο δέ-
χεσθαι τὸν ἀλεξανδρείας πρόεδρον ὑποτρέχων·
καὶ πέτρον ὃν καλοῦσι μογγόν· κατὰ τὸν
καιρὸν τοῦ αὐτοῦ ἑνωτικοῦ, τὸν τῆς ἀλεξανδρε-





ὑφαρπάσαντα θρόνον, ἐν τοῖς ἱεροῖς τῆς θεουπολιτῶν
ἐκκλησίας τίθησι διπτύχοις· καταλιπὼν πάντας τοὺς
ἀποπλανηθέντας παρ' αὐτοῦ ἐπὶ τούτῳ· καὶ διδαχθέν-
τας παρ' αὐτοῦ· διὰ πέτρον ὀφείλειν ἀπορρήγνυσθαι
τῆς κατὰ ἀλεξάνδρειαν ἐκκλησίας· ἐμμένει δὲ οὐδὲ
τούτοις καθάπαξ· γνώμη γὰρ ἦν αὐτῷ, θορύβους κινεῖν·
καὶ μηδέποτε ἐπὶ τῶν αὐτῶν ἵστασθαι· πῶς γὰρ οἷόν τε
ἦν, τὸν μὴ διὰ πίστιν χριστιανικὴν ἀγωνιζόμενον, ἀλλὰ
τοῦτο μόνον πραγματεύεσθαι τὸ διαταράττειν ἐκ
πάσης προφάσεως ἀεὶ, τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας·
τοιγαροῦν καὶ ζρίδηρα πέτρον κατὰ ταυτὸν δέχεται·
κοινωνεῖ δὲ καὶ τοῖς λοιποῖς ἀκεφάλοις· ὡς ἐνόμι-
σεν ἀπεσχισμένοις τῆς ἀλεξανδρέων ἐκκλησίας·
ἧς τὴν ἕνωσιν, ἀσπάζεσθαι τότε προσεποιήσατο, καθ' ὃ
ἀνωτέρω εἴρηται· πρὸς τούτοις δὲ πᾶσιν, οὐδὲν ἦν
αὐτῷ πρὸς τὸ τῆς συνεχοῦς παραβασίας ἐμπόδιον·
τὴν γὰρ ἐν χαλκηδόνι ἁγίαν σύνοδον ἐφεκάστης ὡς
εἰπεῖν ἀναθεματίζειν τολμῶν, ἐκοινώνει ταύτῃ·
πολλοὺς τῶν συνεδρευσάντων ἐν αὐτῇ τῇ κατὰ
χαλκηδόνα ἁγίᾳ συνόδῳ· τῶν ὑπ' αὐτὸν ἐπισκόπων,
ἐν τοῖς ἱεροῖς ἐχόντων διπτύχοις· ἀλλ' οὐδὲ ἡ ἐπὶ
κακῷ δεξαμένη αὐτοὺς τῶν ἀλεξανδρέων πόλις· 543
διέφυγε τοὺς αὐτῶν θορύβους· ἐφ' ἑαυτῆς γὰρ ἡσυχα-

ζουσαν ὅπως ποτὲ καὶ δεδέκειτο ταύτην εὑρόντες, εἰς ἀνα-
τροπὴν τελείαν κατέστησαν· προσθέντες αὐτοῖς τμή-
ματα· καὶ κατ᾽ ἀλλήλων τὸν ἐκεῖσε λαὸν κινήσαντες·
ὥστε καὶ ἐμφυλίους γενέσθαι πολέμους· καὶ πολλῶν
μὲν οἴκων γενέσθαι καύσεις· πολλῶν δὲ ἀνθρώπων αἵ-
ματα χυθῆναι· καὶ τούτους, μόλις ποτὲ φυγῇ ταῖς ἐπὶ
τούτοις ποιναῖς διαφυγεῖν· οὕσπερ ἐκεῖνοι διαμαρ-
τόντες, ἀναθέματι γοῦν αὐτοὺς καθυπέβαλον· καὶ
ἑτέραις πλείοσιν ἐπ᾽ ἐκκλησίας ὕβρεσι· αἱρετικοὺς
καὶ αὐτοὺς δικαίως ἀποκαλοῦντες· ὡς περιγενέσθαι
αὐτοῖς ἐκ τῆς τοῦ θεοῦ κρίσεως, τὸ εἰς βόθρον ἐμπεσεῖν
ὃν εἰργάσαντο· καὶ ἐπιστρέψαι τὸν πόνον αὐτῶν,
εἰς κεφαλὴν αὐτῶν· πᾶσαν γὰρ ἐκκλησίαν ἀδί-
κως ἀναθεματίσαι τολμήσαντες, ὑπὸ πάσης ἐκ-
κλησίας αὐτοί, δικαίως ἀνεθεματίσθησαν·
πολλὰ μὲν οὖν καὶ ἕτερα τετολμήκασιν· ἅτινα
πᾶσιν ἔστι τοῖς κατὰ τὴν ἀνατολὴν ἐγνωσμένα·
διόπερ ἡμεῖς τὸν ὄγκον τούτων φεύγοντες· καὶ αἰδοῖ
τοῦ τῆς ὑμετέρας μακαριότητος συλλόγου· καὶ τοῦ
καθ᾽ ὑμᾶς εὐαγοῦς σχήματος, τὰς αἰσχρὰς τούτων
πράξεις, ἀποσιωπήσαμεν· οὕτω δὲ οἰκτρῶς ὡς
προείρηται τήν τε ἀνατολὴν καὶ ἀλεξάνδρειαν δια-
θέντες, καταλαμβάνουσι καὶ τὴν βασιλίδα ταύτην τῶν



πόλιν, οἱ παρὰ τούτων καὶ τῶν τούτοις ὁμοίων, ἀπο-
πλανηθέντες· πρόδρομοι ὥσπερ, τῆς ἐκείνων κακί-
ας ὑπάρχοντες· καὶ προομαλίσαι αὐτοῖς τὴν τοῦ μύσους
ὁδὸν ὀφείλοντες· καὶ μετ᾽ ἐκείνους πάλιν, πέτρος·
ἐφεξῆς δὲ τούτοις, καὶ σευῆρος· καὶ τούς τε ἰδιωτικοὺς
οἴκους· τάς τε ἐκκλησίας τοῦ θεοῦ· καὶ αὐτὴν τὴν πολι-
τείαν· ὅσον γε τὸ ἐπ᾽ αὐτοῖς, λυμαινόμενοι οὐκ
ἐπαύσαντο· καὶ παρασυνάξεις· καὶ παραβαπτί-
σματα προφανῶς· καὶ μετὰ πάσης ἀναιδοῦς παρ-
ρησίας δημοσίᾳ τε καὶ ἰδίᾳ, τολμῶντες· παρεμ-
βάλλοντες δὲ ἑαυτοὺς καὶ μεσιτείᾳ χρηματικῶν
πραγμάτων, φόβον καὶ πλοῦτον οὐ τὸν τυχόντα
ἐκ τούτου· καὶ ἐκ πολλῶν οἴκων, ἑαυτοῖς περιε-
ποιήσαντο· δι᾽ ὧν ταῖς μὲν τῶν ἀκεραιοτέρων
ψυχαῖς, ἐξηπάτησαν· ταῖς δὲ τῶν δεινοτέρων,
κατεκτύπησαν· τὰς δὲ τῶν πρὸς χρήματα ἢ δόξαν
ἢ τρυφὴν κεχηνότων, ὑπέσυραν· ἀλλὰ μὴν καὶ
ἐνδύνοντες εἰς οἰκίας, αἰχμαλωτίζουσι ψυχὰς
ἀστηρίκτους ἀνδρῶν τε καὶ γυναικῶν· καὶ οὐ μόνον
ψυχικῶς, ἀλλὰ δὴ καὶ σωματικῶς ταύτας δια-
φθείροντες, τῷ τῆς ἀσεβείας καὶ ἀσελγείας
βαράθρῳ ἐγκατορύττουσι· καὶ τί δεῖ περὶ τούτων,
τὸν λόγον ἐκτείνειν· πάντων τῶν ἀνὰ πᾶσαν

τὴν οἰκουμένην ἐπισταμένων, ταῖς ἀνοσίοις πράξεις
τῶν εἰρημένων ἀκεφάλων αἱρετικῶν· καὶ σευήρου
καὶ πέτρου· καὶ ταῖς μιαραῖς αὐτῶν καὶ ἀθέοις καὶ
βλασφήμοις· καὶ φόνοις χαιρούσας ψυχάς· ταῦτα γὰρ
φανερῶς δείκνυσι, τὰ ἐπὶ ἐν τῇ πρεσβυτέρᾳ ῥώμῃ·
ὡς καὶ ὁ τῆς ὁσίας μνήμης ὁρμίσδας, τὸν ἀποστολικὸν
ἐκεῖνον διεῖπε θρόνον· καὶ ἐν ταύτῃ τῇ βασιλίδι
πόλει· καὶ ἐν θεουπόλει· καὶ ἐν ἱεροσολύμοις
πραχθέντα τε καὶ συσταθέντα, ὑπομνήματα· τὸν μυσαρὸν
ἐκείνων βίον, ἅπασι διαγγέλλοντα· καὶ τοῖς αἰω-
νίοις καὶ ἀλύτοις ἀναθεματισμοῖς· οἷς βέβληνται
οἱ εἰρημένοι, διὰ τὰς ἀπηγορευμένας αὐτῶν πράξεις,
ἃς εἰργάσαντο· ἐφ' οἷς ἐγκαλύπτεσθαι ὀφείλοντες·
καὶ λέγειν τοῖς ὄρεσι πέσατε ἐφ' ἡμᾶς· καὶ καλύψατε
ἡμᾶς· ἢ ἐν τοῖς βάθεσι τῆς γῆς ἐγκατορύττεσθαι· καὶ
κρείττονα τῆς παρούσης ζωῆς τὸν θάνατον ἡγεῖσθαι·
διὰ τὸ, μόνοις αὐτοῖς τῶν πάντων αἱρετικῶν· αἰω-
νίοις καὶ ἀλύτοις ἀναθέμασιν ὑποβεβλῆσθαι, τοῦ-
το μὲν, οὐκ ἐποίησαν· ὥσπερ ἐπὶ σεμνοῖς δὲ τοῖς αἰσχί-
στοις ἐγκαυχώμενοι, εἰσεφρήσαν ὡς εἴρηται τῇ δε
τῇ πόλει· καὶ ὁ μὲν, ἡμέραν ἐξ ἡμέρας, τὴν ἀσέβειαν
προστίθησιν· ἀδικίαν εἰς τὸ ὕψος λαλῶν· καὶ τῶν
ἁγίων κατεξανιστάμενος πατέρων· καὶ τὰ τούτων



ὀρθὰ, διασύρων καὶ βλασφημῶν, δόγματα· ὁ δὲ
πέτρος ταῦτα βλασφημῶν· καὶ παντὶ αἰσχρῷ καὶ
μυσαρῷ ἐγχειρήματι, ἑαυτὸν περιεμβάλλειν οὐ
παραιτούμενος· θεὸν ἔχων τὴν κοιλίαν· καὶ τὴν ἑπο-
μένην ταύτῃ, ἀσωτίαν· καὶ τὴν δόξαν ἐν τῇ αἰσχύνῃ
αὐτοῦ· ἐφ' ὕψους τε σοβαρῶς καθήμενος, πρόεισι
δημοσίᾳ ἐμπομπεύων πᾶσι, τὴν αὐτοῦ ἀναίδειαν·
καὶ ὑπὸ τῶν παρεπομένων καὶ προπεμπόντων,
πάντας τοὺς παρατυγχάνοντας συνωθῶν, πᾶσιν
ἑαυτὸν δυνατὸν ἐπιδεικνῦναι διὰ τούτου βούλεται·
ὤ τίς ἱερεμίας· θρήνοις πάθεσιν ἐξισοῦν δυνάμενος,
τὰ ἡμέτερα θρηνήσει κακά· μᾶλλον δὲ τὴν ἡμετέραν
ῥαθυμίαν· ὅτι τοιοῦτον ἔχοντες ὀρθόδοξον
βασιλέα· καὶ διαπύρῳ ζήλῳ τὴν ὀρθὴν περιέποντα
πίστιν· καὶ τὴν εἰρήνην τῶν ἁγίων τοῦ θεοῦ ἐκκλη-
σιῶν ὥσπερ κόρην ὀφθαλμοῦ φυλάττειν προθυμού-
μενον, παρασιωπῶμεν καὶ ἀνεχόμεθα· οὕτως
αἰσχρῶς καὶ ἀναιδῶς πολιτευομένους ὁρῶντες· καὶ
μετὰ πάσης παρρησίας, τοὺς εἰρημένους ἀνοσί-
ους ἀκεφάλους· ἐφ' οἷς ἀλγοῦντες, οὐ ξενιζόμεθα
μέν· ὑπὸ τοῦ ἀποστόλου προδιδαχθέντες· ὅτι πονηροὶ
ἄνθρωποι καὶ γόητες, προκόψουσιν ἐπὶ τὸ χεῖρον· πλα-
νῶντες καὶ πλανώμενοι· ὁρῶντες τούτους, οὕτως

σὺν αἰδοῖ παρρησιαζομένοις· τῆς δὲ ἀσφαλείας τῶν
πιστῶν πάντων, μηδὲν ἔμπροσθεν τίθεσθαι ὑμᾶς· καὶ
τὸν εὐσεβέστατον ἡμῶν βασιλέα πιστεύοντες· καὶ τῆς
ἐπιστροφῆς τῶν ἐξαπατηθέντων παρ' αὐτῶν· καὶ τοῦ
στηριγμοῦ τῶν ἔτι καὶ νῦν σαλευομένων διὰ τῆς ἐκείνων
ἑτεροδιδασκαλίας, προνοεῖσθαι πεπεισμένοι· καὶ
μάλιστα διὰ μνήμης ὑμᾶς φέρειν εἰδότες, τὸ προ
ηγορευμένον φοβερὸν κριτήριον· τῷ ἕνα τῶν σμικρῶν
σκανδαλίζοντι· ὃ καὶ πρὸ ἡμῶν πάντως σκοπεῖ
σθε τὸ τῷ κοινῷ συμφέροντι λυσιτελοῦν· ἐπειδὴ
τὰ μέγιστα ὡς οὐδέποτε ἢ ἄλλοι αἱρετικοὶ ἢ ἐν ἄλλοις
καιροῖς, κατὰ πάντα ἐλυμήναντο τὴν ἁγίαν τοῦ θεοῦ
ἐκκλησίαν· οὗτοί τε καὶ οἱ τὰ ὅμοια τούτοις φρο
νοῦντες, τοῦτο παρακαλοῦμεν ὑμᾶς· μᾶλλον δὲ
καὶ ἐνορκοῦμεν· εἰ καὶ τολμηρόν τι ποιοῦμεν, κατὰ
τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ τῆς σωτηρίας
καὶ νίκης τοῦ πιστοτάτου καὶ χριστιανικωτάτου ἡμῶν
βασιλέως· καὶ τῷ θεῷ διὰ τὴν ὀρθὴν αὐτοῦ πίστιν,
πεφιλημένου· ἐξακολουθοῦντας τῇ ἀποφάσει
τοῦ ὁσίου καὶ ἀποστολικοῦ ἀνδρός, ἀρχιεπισκόπου
τῆς πρεσβυτέρας Ῥώμης· καὶ τοῖς τὸν ταύτης τῆς
βασιλίδος πόλεως τὸν ἀρχιερατικὸν διακοσμή
σασι θρόνον· καὶ τοῖς μακαριωτάτοις πατριάρχαις



θεουπόλεως καὶ Ἱεροσολύμων· καὶ τοῖς ἄλλοις ἀρχι
ερεῦσι· πρότερον μέν, τῷ κατὰ τῶν αὐτῶν αἱρε
τικῶν παρὰ τῶν εἰρημένων ἁγίων ἀνδρῶν, προ
ενεχθέντι κρίματι· καὶ ἀναθέματι δεόντως·
καὶ πρὸ τούτου δέ, τούτῳ καὶ ὑμᾶς ὑποβαλεῖν· κατὰ τὸ
νομα πᾶσι φανερούντων καὶ ἀναθεματιζόντων
ἐνώπιον θεοῦ καὶ ἀνθρώπων· ἑκάστου ὑμῶν, Σευῆρον καὶ
Πέτρον· καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας·
καὶ μὴ μεταγνόντας· ἀλλ' ἐπιμένοντας τῇ ἐκείνων
πλάνῃ· καὶ τὰ ἀσεβῆ Σευήρου συγγράμματα· καὶ
τοὺς ταῦτα δεχομένους· καὶ τοὺς τούτων συμμύστας·
ὥσπερ ἐπὶ Νεστορίῳ καὶ Εὐτυχεῖ καὶ Διοσκόρῳ·
καὶ τοῖς ἄλλοις αἱρετικοῖς ποιεῖν εἰώθατε, τοῖς λαοῖς
παραδιδόντες· διδάσκοντες τούτους διὰ τοῦ ἀναθέ
ματος, πάντῃ τὸν ἐκείνων θανατηφόρον ἰὸν ἀπο
στρέφεσθαι· ἃ θεῖά τε ἅμα πᾶσιν ἡμῖν πρὸς τὰ ἴχνη
τοῦ εὐσεβεστάτου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως,
δραμεῖν· καὶ διδάξαι τὴν αὐτοῦ εὐσέβειαν πάντα
μὲν τὰ παρακολουθήσαντα· δυσωπῆσαι δὲ τὴν 648.
αὐτοῦ ἡμερότητα ἐκεῖνα πρᾶξαι, ἅπερ ἡ φιλό
χριστος αὐτοῦ καὶ θεία ψυχή, ἐφ' ἑκάστης ποιεῖν
πέφυκεν ἐπὶ τῇ εἰρήνῃ τῶν ἁγιωτάτων ἐκκλη
σιῶν· καὶ τὴν αὐτοῦ θεοφύλακτον βασιλείαν,

ἀπαράχον καὶ ἀνενόχλητον διαφυλάττει· καὶ τοὺς
παρ' ἡμῶν ἐξονομασθέντας· καὶ τοὺς τὰ ὅμοια τούτοις
φρονοῦντας, ἐξελάσαι τῆς δὲ τῆς πόλεως· καὶ παῦσαι
τὰς γινομένας παρασυνάξεις· καὶ παραβαπτίσματα
καὶ ταραχάς· ἀλλὰ μὴν καὶ Ζωόραν τινὰ Σύρον ἀλό
γιστον· τοῦ αὐτῶν ἐμέτου καὶ αὐτὸν τυγχάνοντα, δυσσο
ποῦμεν ὑπαχθῆναι τούτοις· πάσης ἀγνοίας καὶ ἀλαζο
νείας, πλήρη ὄντα· καὶ μηδὲν ἕτερον μαθόντα, ἢ ὃ
παρέλαβε παρ' ἐκείνων· τὸ κατὰ τῶν ἁγίων ἡμῶν
πατέρων, ἀνάθεμα· καὶ τῶν τούτοις κοινωνούντων· καὶ
τὸ τοὺς πρὸς αὐτὸν παραγινομένους, τοῦτο ποιεῖν ἀναγ
κάζειν· καὶ παρασυνάξεις· καὶ παραβαπτίσματα
καινοτομεῖν· καὶ θορύβους ταῖς ἁγίαις τοῦ θεοῦ, κινεῖν
ἐκκλησίαις· αὐτούς τε τούτους, καὶ τοὺς ἄλλους ἐμ
φωλεύοντας ἐν διαφόροις οἴκοις καὶ προαστείοις,
τῆς δὲ τῆς πόλεως· ὥσπερ τινὰ θηρία ὑπεξαγαγεῖν·
καὶ τῷ πρέποντι αὐτοῖς τόπῳ, καταδικάσαι· οἷα
μὴ βουληθέντας ἐν ταῖς ὑπὸ τὴν αὐτοῦ εὐσέβειαν
εὐνομουμέναις πόλεσι, σωφρόνως καὶ ἡσύχως
διάγειν· μηδὲ ἐνταῦθα γενομένους κρείττους ἑαυτῶν
γενέσθαι ἐκ τῆς παρ' αὐτοῦ ἐπιδειχθείσης ἀφάτου
καὶ χρονίας μακροθυμίας· καὶ θεραπείας· καὶ
τιμῆς τοῦ εὐσπλάγχνου ἡμῶν βασιλέως τὴν ἐκείνων



σωτηρίαν πραγματευσάμενοι· ἀλλὰ τῆς ὑπερβαλλούσης
φιλανθρωπίας ὑπεριδόντας, ἀναξίους ταύτης πεφη
νέναι· καὶ εἰς τοσοῦτον ἀπονοίας καὶ ἀλαζονείας
ἀρθῆναι, εἰς ὅσον καὶ πεπίμηνται· καὶ ἀδεῶς πάντα
πράττειν παρακεχώρηνται· γενικήν τε διάταξιν
πανταχοῦ καταπέμψαι· πρός τε τοὺς ὁσίους ἀρχι
ερεῖς· πρός τε τοὺς δημοσίους ἄρχοντας· πάντα τὰ
εἰρημένα, γίνεσθαι ἀπαγορεύουσαν· ἀλλὰ καὶ
τοῦτο θεσπίζουσαν· ὥστε τοὺς οἴκους καὶ τὰ προάστεια
ἐν οἷς αἱ τοιαῦται παρασυνάξεις γίνονται, προσκυ
ροῦσθαι ταῖς κατὰ τόπον ἁγιωτάταις ἐκκλησίαις·
καὶ οἱ βασιλικοὶ νόμοι θεσπίζουσι πάντα τόπον καὶ
πρᾶγμα· ἐν ᾧ καὶ δι' οὗ· εἴτε κατὰ πλάνην· εἴτε κατὰ
ἀλήθειαν ἱερουργία ἐπετελέσθη, ταῖς ἁγίαις τοῦ θεοῦ
προσήκειν ἐκκλησίαις· καὶ τοῦτο ἡμῖν εἰσηγεῖται
ἡ θεία γραφή· ὅτε Μωσῆς ὁ τοῦ θεοῦ θεράπων τὰ ἀρχ
ιερατικὰ πυρεῖα εἰς κατασκευὴν τῶν τοῦ ναοῦ
προχωρῆσαι θεόθεν διδαχθείς, ἐνομοθέτησεν·
ἐπειδὴ καὶ εἰ ἀλλότριον πῦρ, ὅμως γοῦν ἐν αὐτοῖς
προσήνεγκαν· καὶ ἐτελέσθη τὴν ἀπηγορευμένην
ἐν αὐτοῖς ἱερατικὴν λειτουργίαν· Δαθὰν καὶ Ἀβει
ρών· καὶ ἡ συναγωγὴ Κορέ· οἱ τότε τῆς ἱερωσύνης
καὶ τοῦ προφήτου καὶ τοῦ θεοῦ, ἀναισχύντως κατεξανα

πάντες καθάπερ νῦν οὗτοι· πρὸς ἀσέβειαν ἑαυτοὺς
ἐκμισθοῦντες ψευδώνυμοι ἱερεῖς· καὶ ἀληθεῖς
δὲ μέχρι νῦν τοῖς οἴκοις ἐπεισῆλθον· καὶ ἀλλότρια
ἤγειραν θυσιαστήρια· καὶ καταβαπτιστήρια ᾠκο-
δόμησαν ἐξεναντίας τοῦ ἀληθινοῦ θυσιαστηρίου·
καὶ τῆς ἁγίας κολυμβήθρας· θεσπίσαι δὲ καὶ τοῦτο
ἱκετεύομεν τὸ αὐτοῦ ἀσεβὲς κράτος, πάντα τὰ
κατὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου· καὶ τοῦ
μακαρίου Λέοντος· Σευήρου ἀσεβῆ συγγράμματα·
ὅπου δήποτε εὑρισκόμενα, πυρὶ παραδίδοσθαι·
τοῦτο γὰρ καὶ ἐπὶ τοῖς Μανέντος καὶ Νεστορίου
ἀσεβέσι συγγράμμασι γίνεσθαι, εὐσεβῶς διά-
ταξεις διαγορεύουσι· τὰ δὲ κανονικῶς πραχθέντα
ἐπὶ τοῖς εἰρημένοις προσώποις, δυσωποῦμεν τὴν
ὑμετέραν μακαριότητα· καὶ τὸν ἱερὸν ὑμῶν
σύλλογον, ἐπιζητῆσαι· παραιτεῖ τῶν συνεδρευόντων
ὑμῖν καὶ ὁσιωτάτων Ῥωμαίων· καὶ τῶν προσ-
καρτερούντων ὑμῖν θεοσεβεστάτων νοταρίων·
ἐπὶ μὴν, καὶ τῶν τὰς ἀποκρίσεις ποιουμένων
θεοφιλεστάτων ἀνδρῶν τῆς ἀνατολικῆς διοική-
σεως· ὡς δὲ τούτων φανερῶν γινομένων, ἐξα-
κολουθῆσαι τὴν ὑμετέραν μακαριότητα· καὶ
τὴν συνεδρεύουσαν ὑμῖν ἁγίαν σύνοδον· τοῖς



ὁρισθεῖσι κατ᾽ αὐτῶν παρὰ τῶν τοῖς εἰρημένοις πρῶ-
τον ἀρχικοῖς θρόνοις κατακοσμησάντων ἀειμνήστων
πρώων· καὶ ἀναθεματίσαι τοὺς εἰρημένους Σευῆρον
καὶ Πέτρον· καὶ τοὺς τούτων ἀκολούθους· καὶ τοῦ
αὐτῶν φρονήματος ὑπάρχοντας· καὶ μάλιστα τὸν
μνημονευθέντα Ζωόραν· ὡς ἐπίσης τούτων ἢ καὶ
πλεῖον, τὴν ἐκκλησίαν τοῦ θεοῦ διαταράξαντα·
καὶ καθόλου πάντα ἐκκήρυκτον γενόμενον· ὑπό τε
τοῦ ἀποστολικοῦ θρόνου· καὶ πάσης ἁγίας καθο-
λικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· καὶ μὴ θέλοντα
τούτοις ἀκολουθῆσαι καὶ κοινωνῆσαι:-

Μαρινιανός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμαν-
δρίτης μονῆς τοῦ ἐν ἁγίοις Δαλματίου· καὶ ἔξαρχος
τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος
πόλεως· ὑπογράψας, ἐπέδωκα:-

Ἀγαπητός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρί-
της μονῆς Δίου· δεηθείς, ὑπέγραψα:-

Ἀγάπιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
μονῆς τοῦ τῆς ὁσίας μνήμης Θαλασσίου, ὑπέγραψα:-

Ἀλέξανδρος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμαν-
δρίτης μονῆς τοῦ ἐν ἁγίοις Ἀβραμίου· ὑπογράψας
ἐπέδωκα:-

Θεόδωρος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος

μονῆς τῶν β. ὑπογράψας, ἐπέδωκα:-

Ἐλευθέριος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Κυριακοῦ. ὑπογράψας, ἐπέδωκα:-

Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ὀλυμπίου, ἐπέδωκα:-

Κυριακὸς ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Σύρων. ὑπογράψας, ἐπέδωκα:-

Θεόδωρος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Τρύφωνος. ὑπογράψας, ἐπέδωκα:-

Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κώνστα. ὑπογράψας διὰ χειρὸς Ἰακώβου, ἐπέδωκα:-

Παῦλος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων. ὑπογράψας, ἐπέδωκα:-

Iulianus e[illegible] presbyter [illegible] ηροσρας, ερεδωσα:-

Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ. ὑπογράψας, ἐπέδωκα:-

Κοσμᾶς ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Προδρόμου καὶ Βαπτιστοῦ. ὑπογράψας, ἐπέδωκα:-

Διόσκορος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ὀλυμβρίου. ὑπογράψας, ἐπέδωκα:-



Δημήτριος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Φωκᾶ. ὑπογράψας, ἐπέδωκα:-

Κυριακὸς ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐφημίου. ὑπογράψας, ἐπέδωκα:-

Ἀλέξανδρος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Καλαμίου. ὑπογράψας, ἐπέδωκα:-

Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἀρχαγγέλου Μιχαήλ. ὑπογράψας, ἐπέδωκα:-

Φωκᾶς ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἰωνᾶ. ὑπογράψας, ἐπέδωκα:-

Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος 55v
μονῆς τῶν Προμότου. ὑπογράψας, ἐπέδωκα:-

Ἀάδας ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ναϊουμᾶ. ὑπογράψας, ἐπέδωκα:-

Γεννάδιος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κυριακῆς. ὑπογράψας, ἐπέδωκα:-

Κυρίων ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Αἰγυπτίων. ὑπογράψας, ἐπέδωκα:-

Θεόδωρος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαρωνίου. ὑπογράψας, ἐπέδωκα:-

Διονύσιος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Μάρκου. ὑπογράψας, ἐπέδωκα:-

Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς

τῶν θεοδώρου ἐν τῇ πέτρᾳ· ὑπογράψας, ἐπέδωκα:-
Ἐλευθέριος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς νεώμος· ὑπογράψας, ἐπέδωκα:-
Ζώϊλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῶν θεοδότου· ὑπογράψας, ἐπέδωκα:-
Τιμόθεος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῶν ἀστερίου· ὑπογράψας, ἐπέδωκα:-
Μάρκος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τοῦ ἁγίου κηρύκου· ὑπογράψας, ἐπέδωκα:-
Ἀνδρέας· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῆς ἁγίας θεοτόκου· ὑπογράψας, ἐπέδωκα:-
Κυριακός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου γεωργίου ἐν τῇ ξηροκέρκῳ· ὑπο-
γράψας, ἐπέδωκα:-
Παῦλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος τῶν
ἁγίων πέτρου καὶ παύλου· καὶ τῶν ἁγίων μαρτύρων
σεργίου καὶ βάκχου· ὑπογράψας, ἐπέδωκα:-
Ἀπῖκος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν εὐκρατάδων· ὑπογράψας, ἐπέδωκα:-
Στρατόνικος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου μάρτυρος δομετίου· ὑπογράψας,
ἐπέδωκα:-
Μάρκος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος

μονῆς τῶν θεοδώρου· ὑπογράψας, ἐπέδωκα:-
Ζώσιμος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῶν μαξιμίνου· ὑπογράψας, ἐπέδωκα:-
Παῦλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τοῦ ἁγίου ζηνοβίου· ὑπογράψας, ἐπέδωκα:-
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
ἰσαακίου· ὑπογράψας, ἐπέδωκα:-
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
ἀβίβου· ὑπογράψας, ἐπέδωκα:-
Γεώργιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
κύρου· ὑπογράψας, ἐπέδωκα:-
Παῦλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
σαμουὴλ κατὰ τὸν σκύθην· διὰ ζωτικοῦ διακόνου
ὑπογράψας, ἐπέδωκα:-
Πέτρος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
ἐπίκλην ἱερουσαλήμ· ὑπογράψας, ἐπέδωκα:-
Μαρῖνος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς παυλίνου· ὑπογράψας, ἐπέδωκα:-
Μόδεστος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν λυκαόνων· ὑπογράψας διὰ φλαβι-
ανοῦ πρεσβυτέρου, ἐπέδωκα:-
Ἀντώνιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου εὐσεβίου· ὑπογράψας, ἐπέδωκα:-

Τρύφων· ἐλέῳ θεοῦ πρεσβύτερος μονῆς τῶν Μανουηλίου·
ὑπογράψας, ἐπέδωκα:-
Θεόκτιστος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῆς θεοτόκου· ὑπογράψας, ἐπέδωκα:-
Ζήνων· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῆς διακειμένης ἐν Καλλιστῷ ἀγρῷ· τοῦ ἁγίου προ
δρόμου καὶ βαπτιστοῦ Ἰωάννου· ὑπογράψας, ἐπέδωκα:-
Παῦλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῆς ἁγίας μάρτυρος Ἑρμιόνης· ἐν τοῖς Ἐλεβίχου·
ὑπογράψας διὰ χειρὸς Μαρίνου ἀναγνώστου, ἐπέδωκα:-
Σίλας· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τῶν Ἡλία· ὑπογράψας, ἐπέδωκα:-
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
Μάρα· πλησίον τῆς Ἀετίου κινστέρνης· ὑπογράψας,
ἐπέδωκα:-
Βασίλειος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου Συμεῶνος· ἐπίκλην Κυρακωνᾶ·
ὑπογράψας, ἐπέδωκα:-
Θεόδωρος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς ὑπ' ἐμοῦ θεοῦ χάριτι συστάσης· ὑπογράψας,
ἐπέδωκα:-
633. Βαβύλας· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τοῦ τῆς ὁσίας μνήμης Δανιὴλ τοῦ ἐν τῷ





στύλῳ· καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτι
στοῦ· καὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου· ὑπογράψας,
ἐπέδωκα:-
Πολυχρόνιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμαν
δρίτης τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῷ
αἰθρίῳ· ὑπογράψας διὰ Ἀναστασίου μοναχοῦ, ἐπέδωκα:-
Ἀναστάσιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν Ῥωμαίων· ὑπογράψας, ἐπέδωκα:-
Ἀνδρέας· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
τῶν Ῥωμαίων· ὑπογράψας, ἐπέδωκα:-
Ῥόδων· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
Θεοδώρου· ὑπογράψας, ἐπέδωκα:-
Ἐλπίδιος· πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
Βασσιανοῦ· ὑπογράψας, ἐπέδωκα:-
Ζώσιμος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς Λυκαόνων· πλησίον τοῦ ἁγίου Λαυρεντίου·
ὑπογράψας, ἐπέδωκα:-
Πολυχρόνιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμαν
δρίτης μονῆς τῶν Κρητικῶν· ὑπογράψας, ἐπέδωκα:-
Ἰωσὴφ ἡγούμενος τῆς ἁγίας ἐνδόξου παρθένου
καὶ θεοτόκου Μαρίας· τῆς οὔσης ἐν τῷ λιθοστρώτῳ· ὑπο
γράψας διὰ χειρὸς Στεφάνου πρεσβυτέρου καὶ
δευτεραρίου μου, ἐπέδωκα:-

Ζωτικός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τοῦ ἁγίου ἀνδρέου· πλησίον τῆς σατουρνίνου πόρτης·
ὑπογράψας, ἐπέδωκα:-
Μαρτύριος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς οὐάλεντος τοῦ ἁγίου ἰωάννου τοῦ βαπτιστοῦ·
ὑπογράψας, ἐπέδωκα:-
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
μονῆς τῆς πλησίον τοῦ ἁγίου ἀγωγοῦ· ὑπογράψας,
ἐπέδωκα:-
Στέφανος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
τῆς μονῆς τῶν ῥωμαίων· πλησίον τοῦ ἁγίου γεωργίου
σύκων· ὑπογράψας, ἐπέδωκα:-
Σαββάτιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς ὑπατίου· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον τῆς χαλκηδόνων μητροπόλεως, ὑπέ
γραψα διὰ χειρὸς ἰωάννου διακόνου τοῦ αὐτοῦ
μοναστηρίου· διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι:-
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
τῆς εὐαγοῦς μεγάλης μονῆς, τῶν ἀκοιμήτων· τῆς
ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον χαλκη
δόνος, ὑπέγραψα:-
Κυπριανός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν ὁσίας· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον



ἐπίσκοπον χαλκηδόνος, ὑπέγραψα:-
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος μο
νῆς τῆς ἐξαγώνου· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον ἐπί
σκοπον χαλκηδόνος, ὑπέγραψα:-
Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς ὀρχάδων· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον χαλκηδόνος, ὑπέγραψα:-
Γρύφων· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῆς ἱερείου· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον χαλκηδόνος, ὑπέγραψα:-
Γεώργιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς κράνων· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον χαλκηδόνος, ὑπέγραψα:-
Πολυχρόνιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς ἀλαπέδων· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον, ὑπέγραψα:-
Παῦλος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῆς πηγῆς· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον, ὑπέγραψα:-
Σευηριανός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος
μονῆς τῶν σύρων· ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον, ὑπέγραψα:-
Εἰρηνικός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος

μονῆς τῶν Ζωγραφητάων· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Μεγαλήμερος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κραμίδων· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς μητροπόλεως Χαλκηδόνος, ὑπέγραψα:-

Μαρκελλῖνος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἀββᾶ Χαριέλου μιᾶς ἀκλήρου Φινιανῶν, ὑπ:-

Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Βαρνάβα· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Θεόδωρος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀπολλωνίου· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Παῦλος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Γαλακρηνῶν· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Αὐτοχειανῶν· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν ἁγίων τεσσαράκοντα· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Δωρόθεος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος



μονῆς Πατιόρων· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Ἐλπίδιος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Κριθείνου· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Ἐλευθέριος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων· πλησίον τῶν Ῥουφινιανῶν· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Ἰορδάνης ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς Πέτρας· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Μάρκελλος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Δαλματίου· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Ἰούλιος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας Βάσσης ἐν τῷ Ἱμέρῳ· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Ἰσίδωρος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰδίας τῆς οὔσης ἐν Φυτοῖς· πλησίον τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-

Εὐγένιος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Λευκαδίου· ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον

ἐπίσκοπον, ὑπέγραψα διὰ χειρὸς παύλου διακό
νου τῆς αὐτῆς μονῆς. ὡς μὴ δυνάμενος, διὰ τὸ γῆρας:-
Φωτεινὸς ἐλέῳ θεοῦ πρεσβύτερος. μονῆς τοῦ ἁγίου
πλάτωνος. ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκο
πον, ὑπέγραψα:-
Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος τοῦ
ἁγίου ἀποστόλου θωμᾶ βρόχθων. ὑπὸ φωτεινὸν
τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-
Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος
μονῆς τῶν στεφανᾶ. ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον, ὑπέγραψα:-
Εὐγένιος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος
μονῆς τῶν διαπέτρων. ὑπὸ φωτεινὸν τὸν ὁσιώ
τατον ἐπίσκοπον, ὑπέγραψα:-
Κόνων ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος μονῆς τοῦ
ἁγίου ἰουλιανοῦ βρόχθων. ὑπὸ φωτεινὸν τὸν ὁσιώ
τατον ἐπίσκοπον, ὑπέγραψα:-
Μαρῖνος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος μονῆς
ὑδριανῶν. ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον,
ὑπέγραψα:-
Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος μονῆς
βρύων. ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπ:-
Ἀρδαβούριος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος



τοῦ ἁγίου θεοδώρου τῶν σμιλακίων. ὑπὸ φωτεινὸν
τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-
Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος μονῆς
τοῦ ἁγίου ζαχαρίου τοῦ σαβδαραχίου. ὑπὸ φωτεινὸν
τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-
Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου θωμᾶ ἐπιδρόμων τῶν ἄνω. ὑπὸ
φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον. ὑπέγραψα:-
Θεόδωρος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου στεφάνου τῶν λύδα. ὑπὸ φωτεινὸν
τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-
Στέφανος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος
μονῆς τῶν κοκκίου. ὑπὸ φωτεινὸν τὸν ὁσιώτατον
ἐπίσκοπον, ὑπέγραψα:-
Εὐσέβιος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος
μονῆς τοῦ ἁγίου χριστοφόρου τῶν τορυλλίου. ὑπὸ
φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-
Ἰάκωβος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος
μονῆς τοῦ καλαμίου τοῦ κάτω. ὑπὸ φωτεινὸν
τὸν ὁσιώτατον ἐπίσκοπον, ὑπέγραψα:-
Ἡσύχιος ἐλέῳ θεοῦ πρεσβύτερος. καὶ ἡγούμενος
μονῆς τοῦ μανδρίου θεοδοσίου. ποιούμενος τοὺς
λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ τῇ ὑπὸ

τὴν ἁγίαν πόλιν μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Δομετιανός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου μαρτυρίου· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμῳ μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Κασσιανός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος λαύρας τῶν σάββα· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμῳ μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

57 Κυριακός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρίτης λαύρας τῶν πυργίων· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῷ ἰορδάνῃ μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Νέσταβος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ μοναχὸς λαύρας τοῦ μακαρίου φιρμίνου· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμῳ μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Τερέντιος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ μοναχὸς λαύρας νέας· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμῳ μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Τραϊανός· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ μοναχὸς τῶν πυργίων τοῦ ἰορδάνου· ποιούμενος τοὺς λόγους καὶ



ὑπὲρ πάντων τῶν ἐν τῷ ἰορδάνῃ μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Κήρυκος· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ μοναχὸς τῆς νέας λαύρας· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμῳ μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Λεόντιος μοναχός· καὶ ἡγούμενος ἰδίου μοναστηρίου· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ καὶ ἰορδάνῃ ἁγίων πατέρων· ὑπογράψας, ἐπέδωκα:-

Θεόδωρος διάκονος· καὶ μοναχὸς νέας λαύρας· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ ἱεροσολύμων μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Πολύευκτος· διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου θεοδοσίου· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ ἱεροσολύμων μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Ἀναστάσιος· διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου μαρτυρίου· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ ἱεροσολύμων μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Νίκων μοναχὸς μονῆς τοῦ μακαρίου θεοδοσίου· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ ἱεροσολύμων μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-

Μαμᾶς· μοναχὸς μονῆς τοῦ μακαρίου μαρτυρίου· ποιού-
μενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ
ἱεροσολύμων, μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-
Ἰουλιανός· μοναχὸς μονῆς τοῦ μακαρίου θεοδοσίου· ποιού-
μενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ ἱερο-
σολύμων, μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-
629 Ἰωάννης· μοναχὸς μονῆς τοῦ μακαρίου μαρτυρίου· ποιού-
μενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ
ἱεροσολύμων, μοναχῶν· ὑπογράψας, ἐπέδωκα:-
Σαββάτιος· μοναχὸς λαύρας τοῦ μακαρίου σάββα·
καὶ ὑπὲρ πάντων:-
Μαρτύριος· μοναχὸς τῆς νέας λαύρας, καὶ ὑπὲρ πάντων:-
Βασίλειος· μοναχὸς τοῦ ἰορδάνου· καὶ ὑπὲρ πάντων
τῶν ἐν τῷ ἰορδάνῃ μοναχῶν:-
Θεόδωρος· μοναχὸς λαύρας τοῦ μακαρίου φιρμίνου·
καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ:-
Θεωνᾶς· ἐλέῳ θεοῦ πρεσβύτερος τοῦ ἁγίου ὄρους σινᾶ·
καὶ ἀποκρισιάριος τῆς ἐρήμου ῥαϊθοῦ· καὶ
τῆς ἁγιωτάτης ἐκκλησίας φαράν· ποιούμενος
τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ὄντων ἐν τοῖς ἀρη-
μένοις τόποις μοναχῶν, ὑπέγραψα:-
Ἰωάννης· ἐλέῳ θεοῦ πρεσβύτερος λαύρας τῶν ἀμμίων
τῆς πεδιάδος· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ



πάντων τῶν ἐν τῇ αὐτῇ πεδιάδι μοναχῶν· ὑπογράψας,
ἐπέδωκα:-
Θεόδωρος διάκονος καὶ μοναχὸς τοῦ ἁγίου σεργίου
τοῦ ἐν τῇ πεδιάδι· ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ
πάντων τῶν ἐν τῇ αὐτῇ μονῇ μοναχῶν καὶ τῇ πεδιάδι·
ὑπέγραψα:-
Κοσμᾶς μοναχός· καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ πρώτῃ
παλαιστίνῃ μοναχῶν, ὑπέγραψα:-
Στρατήγιος διάκονος· καὶ μοναχός· καὶ ὑπὲρ πάντων
τῶν ἐν τῇ δευτέρᾳ παλαιστίνῃ, μοναχῶν· ὑπογράψας,
ἐπέδωκα:-
Σαλαμάνης· ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἡγούμενος·
καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ τρίτῃ παλαιστίνῃ, μο-
ναχῶν καὶ ἀρχιμανδριτῶν· ὑπογράψας, ἐπέδωκα:-
Ἠλίας· διάκονος καὶ μοναχός· καὶ ὑπὲρ πάντων
τῶν ἐν αὐγουστοπόλει τῆς τρίτης παλαιστίνης, μο-
ναχῶν· ὑπογράψας, ἐπέδωκα:-
Ἀναστάσιος· διάκονος καὶ μοναχός· καὶ ὑπὲρ πάν-
των τῶν ἐν πέτρᾳ τῆς τρίτης παλαιστίνης, μονα-
χῶν· ὑπογράψας, ἐπέδωκα:-
Φωτεινός· μοναχὸς τοῦ ἁγίου στεφάνου τοῦ ἐν μαωζα-
ιαμνίας πρώτης παλαιστίνης· καὶ ὑπὲρ πάντων τῶν
ἐν αὐτῷ μοναχῶν ποιούμενος τοὺς λόγους, ὑπέγραψα:-

[Ι]ωάννης ἐλέῳ θεοῦ πρεσβύτερος καὶ μοναχός. καὶ ὑπὲρ πάντων τῶν ἐν τῷ αἰγιαλῷ τῆς τρίτης παλαιστίνης μοναχῶν. ὑπογράψας, ἐπέδωκα:-

[Π]αῦλος ἐλέῳ θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου μάρωνος. τῆς ἐξαρχούσης τῶν ἐν τῇ δευτέρα συρία εὐαγῶν μοναστηρίων. ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ αὐτῇ δευτέρα συρία ἀρχιμανδριτῶν καὶ μοναχῶν, ὑπέγραψα:-

[Ὁ] ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε. δηλωνόντων τῶν περιεχομένων τοῖς ἀνεγνωσμένοις λιβέλλοις κατὰ πρώτην τάξιν. οἱ ἐκ τῆς πρεσβυτέρας ῥώμης συμπαρόντες ἡμῖν ὁσιώτατοι καὶ θεοφιλέστατοι ἄνδρες εἴ τι τῆς προκειμένης ἕνεκεν ὑποθέσεως ἴσασι πεπραγμένον, εἰπεῖν ἀξιούτωσαν. τοῦτο γὰρ καὶ τῶν εὐλαβεστάτων μοναχῶν ᾐτηκότων, ἀκηκόασι. καὶ ἀνέγνω φωνὴν, μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης. καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας ῥώμης, ἔχουσαν οὕτως:-

ανης περισκορι ραρ τιυμ ιταλιαε ετ υριυενερ
αβιλες σεδις αποστολισαε δια. coni διξερυν
τ in hoc loco venerabili numero sed verum etiam vere
τρυnian δυ δυnapostolicae sedis habere

δες revera constituta in epistula sancta
e recordationis papae hormisdae ad secundae
syriae monachos ubi de tali ... ritu
... regia ... episcopus
des ... maxime ... ... pr
ae sta ... storitas ... praesentes
sas ... recendam:-

:· ἑρμηνεία τῆς προκειμένης διαλαλιᾶς:-

[Ο]ἱ ἁγιώτατοι ἐπίσκοποι τῶν μερῶν τῆς ἰταλίας. καὶ οἱ εὐλαβέστατοι τῆς ἀποστολικῆς καθέδρας διάκονοι, εἶπον. ἐν τούτῳ τόπῳ ἢ ἀριθμῷ σεβασμίῳ καὶ πρότερον ἤδη πάλαι τῆς ἀποστολικῆς καθέδρας τὰ ψηφισθέντα εἶναι ἐψηφίσαντο ἐν ταῖς ἐπιστολαῖς τοῦ τῆς ἁγίας μνήμης πάπα ὁρμίσδα. πρὸς τοὺς τῆς δευτέρας συρίας μοναχούς. καὶ πρὸς τὸν μακαριώτατον ἐπιφάνιον ταύτης τῆς βασιλίδος πόλεως ἀρχιεπίσκοπον δηλοῦται ὡρίσθαι. ὧν ἔχοντες ἐν ἑτοίμῳ τὴν αὐθεντίαν, ταύτην ἐν τοῖς παροῦσιν ὑπομνήμασιν ἐπιδιδόαμεν ἀναγνωσθησομένην. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν. ἀναγνωσθήτω. καὶ ἀνέγνω μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας ῥώμης, ἐκ τῶν παρ' αὐτοῖς ἀντων

διὸ ῥωμαϊκαὶ ἐπιστολαί· γραφεῖσαι ὑπὸ Ὁρμίσδου τοῦ τῆς
ὁσίας μνήμης γενομένου πάπα τῆς πρεσβυτέρας Ῥώμης.
ὧν μετὰ τὴν ἀνάγνωσιν, Χριστοφόρος ὁ θεοσεβέστατος
διάκονος· νοτάριος καὶ σηκρητάριος, τὴν ἑρμηνείαν
ἀνέγνω. ὧν δὲ ἡ ἐπιστολή, διὰ ῥωμαϊκῶν γραμμάτων.
ἡ δὲ ἑρμηνεία αὐτῆς δι' ἑλληνικῶν γραμμάτων, εἶχεν
οὕτως:-

[Ο]ρμίσδας ἐπίσκοπος· πρεσβυτέροις· διακόνοις, καὶ
ἀρχιμανδρίταις τοῖς ἐν δευτέρᾳ Συρίᾳ οὖσι· καὶ λοιποῖς
ὀρθοδόξοις· ἐν οἷς ὡς δήποτε ἀνατολικῷ κλίματι διά-
γουσι· καὶ ἐν τῇ τῆς ἀποστολικῆς καθέδρας κοινωνίᾳ
διαμένουσιν:-

[Α]ναγνωσθέντων γραμμάτων τῆς ὑμετέρας ἀγάπης. δι'
ὧν ἡ τῶν ἐχθρῶν τοῦ θεοῦ ἀφροσύνη, ἐφανερώθη· καὶ
τῶν ἀπίστων ἡ ἐπίμονος μανία λυπηρῶς δήλη γέγονεν.
οἵτινες, ἐπειδὴ τῷ κακῶς ζῶντι πνεύματι ἐμίσησαν τὸν
κύριον, τὰ μέλη ἐκείνου ἀσεβῶς διώκουσιν. ὅσον ἀπὸ
τῆς ὑμετέρας βεβαιότητος ἐπιγνῶναι, ηὐλόγησα
τὸν κύριον· τὸν τὴν πίστιν τῶν ἑαυτοῦ στρατιωτῶν, μεταξὺ
τῶν ἐναντίων, φυλάττοντα. καὶ πάλιν τῶν ἐκκλη-
σιῶν τὸν σάλον· καὶ τῶν δούλων τοῦ θεοῦ τὰς ἐπαχθεῖς
καὶ τοὺς κόπους κατανοήσας, στενάζων κατὰ τὸν
προφήτην, ἐκέκραξα. ἀνάστα κύριε δίκασον τὴν



δίκην σου· μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ
ἄφρονος ὅλην τὴν ἡμέραν. ἡδέως καὶ τὰ ἑξῆς. ὁμοίως
ἐπάγω· μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ζητούντων σε.
καὶ ὑπερηφανία τῶν μισούντων σε, ἀνέβη διὰ παντὸς
πρός σε· καὶ γὰρ ὥσπερ χρὴ ἡμᾶς τὸ ἑδραῖον τῆς πί-
στεως φυλάττειν, οὕτως οὐχ ἁρμόζει περὶ τῆς δικαιο-
σύνης τῆς θείας κρίσεως, ἀπιστεῖν. οὐκ ἔστιν ἐόσα ἀδελ-
φοί, τῆς ἐκκλησίας οὗτος ὁ κόπος. ὅμως ἐν αὐτῷ τῷ
τῷ ταπεινοῦσθαι, ὑψοῦται. καὶ δι' ἐκείνων δι' ὧν
πτωχεύειν δοκεῖ, πλουτίζεται. ἐν πείρᾳ ἐστὶ τοῖς πιστοῖς
τοῦ θεοῦ, τὸ διὰ τοῦ θανάτου τῶν σωμάτων, τὴν ζωὴν
κερδαίνειν τῶν ψυχῶν. ἀποβάλλονται μὲν τὰ ῥέοντα·
ἀλλ' ἐμπορεύονται τὰ αἰώνια. καὶ ἐν τῷ τὸν διωγμὸν
ὁδοποιεῖν τῇ δοκιμῇ, αἱ τιμαὶ γίνονται τῆς ἀξίας. καὶ
δοκιμοί· ἀνόητοι καὶ ἐν τῇ τυφλώσει μαινόμενοι, ἀ-
γνοοῦσιν ὅτι οὓς ἐκ τῆς τῶν ἄνω ἀναστροφῆς χωρίζειν
δύνασθαι νομίζουσι, τούτους εἰς τὴν βασιλείαν
ἄγουσι τοῦ θεοῦ. ἐντεῦθεν ἐν αὐτοῖς τοῖς κινδύνοις, αἱ
ἀφροσύναι· καὶ ἡ περὶ τὸ πάσχειν σπουδή. ἐκδέ-
χεται γὰρ τοὺς ἀγῶνας τῶν ἰδίων, ὁ τῶν μεγάλων
δωρεῶν ἀνταποδότης. τίς γὰρ οὐκ ἂν ὀκλάσῃ ἐν
τοῖς κακοῖς· εἰ μὴ διὰ τῶν ἐπάθλων παραμυθηθείη,
τὰ ἐναντία. ἐκεῖ νῦν ἐστιν ἡ ἐλπίς, καὶ μὴ συγχωροῦσα

ἐν τῇ ὀλιγοπιστίᾳ ἡμᾶς ἀτονεῖν· ἀποκλείει τῶν θλίψεων
τὸ πικρὸν, ἡ γλυκεῖα γεῦσις τῶν ἀρετῶν· τίς γὰρ ἂν
οἰηθείη τὰ παρόντα μεγάλα, ἐννοῶν τὰ μέλλοντα·
τίς τὸν θάνατον ἀπαρνεῖται, εἰ τῶν μελλόντων τὴν
ἀντίδοσιν κατανοήσειεν· ἐνστῆτε ἀγαπητοί μου· καὶ
ἀσάλευτον τὴν πίστιν βεβαίῳ λογισμῷ φυλάττοντες,
τῆς ὑπομονῆς τὸν ἔπαινον ἐν ᾧ ἐστιν ἡ σωτηρία· καὶ τῶν
ἀγαθῶν ἔργων τὸ βραβεῖον, καρπώσασθε· μεγάλα
εἰσὶν ἃ ἐκαλούμεθα οἱ ἀνάξιοι· μὴ βραδυνάτω ἡ
ἀσθένεια· ὁ πρὸ καλῶν ἀνταποδότης, πιστὸς καὶ δυ
νατὸς βοηθός ἐστι· μήτε τῇ τῶν καταθυμίων ἐλπίδι
ἀπατηθῶμεν· μήτε τῶν ἡδέων· μήτε προκρίνωμεν
τὰ εὐχερῆ· οὐ τρυφηλὰ ἡμῖν ὁ κύριος ἡμῶν· οὐ κολα
κα τικὰ (?) ἐπηγγείλατο· ἐκεῖνος ἔπαθλα ὑπέσχετο,
οὐκ ἁρπαγάς· οὐ συμβαίνουσιν ἔπαινος καὶ ῥαθυ
μία· τίς τῆς ἀνταμείψεως ἔσται τρόπος, εἰ οὐδὲ
μία ἐστὶ φροντὶς τῆς ἀρετῆς· στενὴ ἡ πύλη, ἀλλ' αἱ
πλατεῖα τὰ βασίλεια· ὀλίγοις ἡ εἴσοδος, ἀλλὰ
τοῖς δοκίμοις· οὐχ οὗτοι εἰσὶν οἱ πρῶτοι λόγοι πρὸς
ἐκείνους οὓς ἐδίδαξε, διώξουσι καὶ ἐν ταῖς συναγωγαῖς
μαστιγώσουσιν ὑμᾶς· διὰ τῆς ὑπομονῆς καθὼς
γέγραπται, κτησώμεθα ταῖς ἑαυτῶν ψυχάς· μήποτε
ταύτας διὰ τῆς οὐχ ὑπομονῆς ἀλγήσωμεν, ἀπο





λέσαντες· πρῶτοι εἰς τὸν σταυρὸν ὁ κύριος ἡμῶν· καὶ τῆς
ὑπομονῆς ἑαυτοῦ διδάσκαλος, ἀνῆλθεν· ἐν τῷ ἰδίῳ
τύπων ὑποδείγματι ἐκείνοις οἷς ἔμελλε βοηθεῖν·
αὐτοὶ μεταξὺ τῶν ἀρετῶν καὶ τῶν κόπων, τὸν ζυγὸν
κατέχει· ἱστάμενος κατὰ τῶν δηλητηρίων τῶν μεμη
νότων· ἵνα κατὰ τὴν ὀργὴν τοῦ διωγμοῦ, αὐτὸς
καὶ τῆς αἰωνίου βασιλείας, τοὺς στεφάνους παράσχῃ· ις
ἀναλογίσασθε, ποία τῶν μακκαβαίων ἡ ἔξοδος· τοῖς
καρτερικοῖς ἡ πάλη, ἰσορρία (?) τῶν ἐπαίνων ἐφέπεται·
ποία ἰουδαίας καὶ κοινὴ τῶν ἀδελφῶν ἡ φάλαγξ, θα
νάτου τιμὴν ἀναγορεύεται· ἐν ποίοις ἐστὶ στόμασιν
ὁ λαὸς ὁ ἐν τῷ ὄρει ἀναλωθείς· καὶ αὗται πᾶσαι
αἱ δυνάμεις, ὑπὲρ τῆς τοῦ νόμου φυλακῆς· ὁμοιώ
ματα καὶ σκιαὶ τῶν μελλόντων οὖσαι, ἠξιώθησαν
παραδειγμάτων τοσούτων· ἡμεῖς ἐν τοῖς πρᾶσιν (?)
ἑωράκαμεν· ἐψηλαφήσαμεν· ἐδοκιμάσαμεν ἐν
τίνι ἀκολουθήσομεν· τί οὐκ ἐφαρμόζει τῇ ὑπο
θέσει· τί ἀπᾴδει τῆς ἀληθείας· τί οὐκ ὀφείλεται
τῷ λυτρωτῇ· καταθυμίως κοινωνοῦμεν ἐν τούτοις
ὑμῖν τοῖς δόγμασι· λέγει γάρ που ὁ σοφώτατος
› σολομών· μακάριος ὁ κηρύττων λόγον, εἰς
› ἀκοὴν ὑπακούοντος· εὐφροσύνη μὲν οὖν ἐστι
τὸ διαλέγεσθαι τοῖς ἐθέλουσι· καὶ πρὸς τὴν ὀρθὴν

66 ὁδόντοις μὴ δὲ ἤδη παλαιοῦντας, προτρέπεσθαι· κατε-
χομένους δὲ ἐνέχυρον τῆς πίστεως τῆς ὑμετέρας, τὴν ἀπὸ
τῶν γραμμάτων ὁμολογηθεῖσαν ἔνστασιν· δι᾿ ἧς ἐκ τῆς
τῶν παραβατῶν λύμης χωρισθέντες, εἰς τὰ τῆς ἀπο-
στολικῆς καθέδρας δόγματα καὶ ἐντολὰς, ἐπανέρχεσθε ε
ὀφειλομένως, ἐπιβάντες τῆς ὁδοῦ τῆς ἀληθείας· ἀλλ᾿
εὐλογητὸς ὁ θεὸς ὃς οὐκ εἰς τέλος ἐπιλανθάνεται· ὃς
παιδεύει καὶ ἰᾶται· καὶ οὐδὲ τῆς ἡνωμένης αὐτοῦ
ποίμνης τὰ πρόβατα, καρτερεῖ τῶν ἐπιβουλευόν-
των λύκων τῇ ἁρπαγῇ διασπᾶσθαι· οὐ διὰ τῆς κε-
κραμένης αὐστηρίας, οὐδὲ τῆς ἀσφαλείας τῶν
ἰδίων ὑπορρορᾶ· οὐδὲ τῆς σωτηρίας· ἀλλὰ τί θαυμαστὸν
εἰ τὰ πρόβατα καταληφθέντος ἐκείνου τοῦ ἑνὸς
καὶ ἀληθινοῦ ποιμένος διασκορπισθέντα· ὁ πανοῦρ-
γος· ὁ αἵμασι πεφυρμένος καὶ ἅρπαξ, ταῖς ἐνέδραις
ἐτάραξεν· οἱ τὴν ἀσφάλειαν τὴν ἰδίαν καταλιμ-
πάνοντες, αὐτοὶ ἑαυτοὺς τοῖς κινδύνοις ὑφ᾿ ὧν σπα-
ράττονται, ἐμβάλλουσιν· ὥστε καθ᾿ ὑμῶν τοῖς στερροῖς
βήμασιν ἐν τῇ ὁδῷ τῶν πρώην πρὸς ἣν ἀνεδράμετε,
ἐνστῆτε· δύναται γὰρ τὸ τοῦ θεοῦ ἔλεος· καὶ τὴν τῶν
ἄλλων ὁμοίως διόρθωσιν τῶν ὑμετέρων μαθητῶν εἰ
παρ᾿ ὑμῶν πρὸς τὸ εὐθὲς ὁδηγηθεῖεν, λογίσασθαι·
ἀλλ᾿ ἑαυτοὺς καθόλου ἀπὸ τοῦ βορβόρου· ἐν ᾧ οἱ

66

αἱρετικοὶ καταποθέντες κεκράτηνται, ἀποσπά-
σατε· καὶ ἐκτινάξαντες τὴν ἀκαθαρσίαν τοῦ κονιορτοῦ
τοῦ κολληθέντος, γενικῶς ἅπαντας τοὺς ἀπὸ τῶν
ἀποστολικῶν δογμάτων ἀποκλίναντας, εὐσεβεῖ
ἀποκηρύξει, κατακρίνατε· οὐδεμία τῷ σκότει
πρὸς τὸ φῶς, κοινωνία· οὔτε οἱ διὰ τῶν εὐθειῶν
ὁδῶν βαδίζοντες, τὰ ἑαυτῶν ἴχνη μετὰ τῶν ἀπο-
κλινόντων πλάνης, συνάπτουσι· κατασχετέος
ἐστὶ τῆς πίστεως σύνδεσμος· καὶ παραιτητέα, ἡ
ἐκ τῆς ἀπίστου κοινωνίας, λύμη· ὅτι κατὰ τὸν
ἀπόστολον· ὃν τρόπον ὁ ἑαυτὸν προσκολλῶν τῷ
κυρίῳ· ἓν πνεῦμά ἐστιν, οὕτως ὁ κολλώμενος τῇ πόρνῃ,
ἓν γίνεται σῶμα· ἀγαπῶσιν αἱ αἱρέσεις τὰς ἀλλήλων
κοινωνίας· καὶ τοὺς κολλωμένους αὐτῇ μεθ᾿ ἑαυ-
τῆς ἡ ἀσέβεια, ἐν τῷ βυθῷ καταποντίζει· ἐν
ὀφθαλμοῖς· ἐν τῷ στόματι· ἐν αὐταῖς ταῖς χερσὶν
εἰσὶ τῶν πρώην τὰ δόγματα· ἃ φυλάττειν ἐντελλό-
μεθα καθεκάστην· πρὸς τὴν φυλακὴν ἑαυτῶν, αἱ
σεβάσμιαι σύνοδοι, περισφίγγουσι· μακρηγο-
ρία ἐστὶ καθέκαστον πάντα φανεροῦν, τὰ τῆς ἐν
χαλκηδόνι συνόδου· ἐν ᾗ πᾶσιν τὸ σέβας περιέ-
χεται· ἀλλὰ καὶ τὰ παρὰ τοῦ σεβασμιωτάτου
λέοντος προεκτεθέντα ἐξ αὐτῆς τῶν ἀποστόλων

τῆς καρδίας ὁρίσματα, καὶ γινώσκειν ἡμᾶς προσή-
κει, καὶ τηρεῖν ἐν τούτοις τοῖς σεβασμίοις τῆς πίστεως.
ἐν τούτοις οἱ προμαχοῦντες τῆς ἀληθείας· ἐν τούτοις ὁ
χριστὸς γινώσκεται· ἐν τούτοις τῆς λυτρώσεως τῆς ἡμε-
τέρας ἡ ἐλπὶς καὶ ὑπόθεσις, φυλάττεται. οὗτος ἐστὶν
ἐκεῖνος, ὃν ἐν τῷ ἀποστόλῳ ἀνέγνωμεν, θεμέλιος.
ἐν ᾧ ἑαυτόν τις παραλογίζεται· εἴτε ξύλα· χόρτον·
καλάμην καταναλισκόμενα τῷ πυρὶ, ἐποικοδο-
μῆσαι παραθῇ· ἐν ταύταις ἀνῃρέθη τὰ εὐτυχοῦς
καὶ νεστορίου ταῖς συνόδοις, δηλητήρια· οἳ τὴν δι'
ἐξεναντίας τῆς δεσποτικῆς τοῦ σωτῆρος ὡς δοὺς μυστηρίου,
οἰκονομίας· ἐν ὅσῳ ἐναντίῳ μεταξὺ ἑαυτῶν συλ-
λογισμῷ φιλονεικοῦσιν, ὑπὸ τῆς ἱεροσυλίας
ἰσότητι συμφωνοῦσιν· διισοῦνται ταῖς γνώμαις καὶ
ὁμοτυχοῦσι τῇ ἀσεβείᾳ· ὧν ὁ ἕτερος· μὴ θέλων τὴν
παρθένον μαρίαν θεοῦ εἶναι γεννήτριαν· ἅπερ ἐν
τῷ κυρίῳ ἡμῶν εἰς ἓν ἡνωμένα, διαιρεῖ· ὁ δὲ ἕτερος
ἐν ὅσῳ τὰ ἴδια τῶν συνελθουσῶν φύσεων καὶ τὰ
ἀληθῆ συγχεῖ, τὸ μυστήριον τῆς ἡμετέρας λυτρώ-
σεως σβεννύουσιν· ἄλλος, φωτεινοῦ τὴν θρησκείαν·
ἕτερος, τοῦ μαινέντος τὴν ἀφροσύνην ἀσεβεῖ συν-
γενείᾳ συνάπτων· κατὰ τούτων ἀδελφοὶ ἀγαπητοὶ,
προενοήθησαν ἰατρεῖαι· ἐκείνας τῇ τοῦ λογισμοῦ



δυνάμει διεκδικήσατε· ἐπειδὴ εἰς δὴ ἀτροπὴν αὐτῶν
ὁρᾶτε τοὺς αἱρετικοὺς, διὰ τῆς ἀσεβείας μαχομένους,
μὴ ἔσωθεν ὀκνῶ τῆς διδασκαλίας ἡ ἀλήθεια· ποίᾳ
χρὴ σπουδῇ τὴν ἑορτὴν ἀγαπᾶσθαι· ὁπότε ὁρᾶτε τὴν
θανατηφόρον ἀπώλειαν οὕτως εἰργομένην· αἱ δὲ ἀθῶ-
μεν νῦν χελωῶς σαφηνίζεσθαι τῆς ἀληθείας τοὺς νόμους,
ὁπότε ἐπιμόνως διεκδικοῦνται αἱ πλάναι· καὶ
τοὺς ἀρχηγοὺς μὲν τῶν κακῶν ἐφευρέσεων· ἃ προ-
είπομεν συνοδικὰ θεσπίσματα, δικαίαις κατα-
κρίσεσι μετέρχονται· ἀλλ᾿ ἡμεῖς καὶ τούτων τοὺς
ἀκολούθους ὅπως ἐκκλίνητε, ὁμοίως ὑπομιμνή-
σκομεν· οὓς ἡ ἀποστολικὴ καθέδρα καὶ κατέλαβε
παραπλησίους ὄντας τοῖς ἑαυτῶν διδασκάλοις,
καὶ τοῖς κατακριθεῖσι συνέζευξε· τιμόθεον τὸν
πατραλοίαν· καὶ διόσκορον· καὶ πέτρον, τοὺς
ἀλεξανδρεῖς· ἀκάκιον τὸν κωνσταντινουπολιτῶν·
μετὰ τῶν ἑαυτοῦ ἀκολούθων· ὡσαύτως, πέτρον
τὸν ἀντιοχείας· τῷ προλεχθέντι ὅμοιον τῇ τε
πλάνῃ καὶ τῷ ὀνόματι· ἀλλὰ καὶ σευῆρον τοῦ
αὐτοῦ τόπου οὐδὲν ἧττον καὶ τοῦ ἰοῦ· ξενέαν τὸν
ἱεραπολίτην· κῦρον τὸν ἐδέσσης· πέτρον τὸν
ἀπαμείας· οὐ μόνον ὑπὲρ τῆς οἰκείας ἀλλὰ καὶ
ὑπὲρ τῆς τῶν ἄλλων ὁμοίως ἀπωλείας, κατακεῖ-

τέοις. οἵτινες, ἐν ὅσῳ ἑαυτοὺς τοῖς ῥύποις τῆς ἰδίας
δόξης ἀπαύστως ἐγκυλίουσιν, ἄλλους ὁμοίως ἐν τῷ
διδάσκειν τοὺς κακῶς αὐτοῖς ἀκολουθήσαντας, ἐμό-
λυναν. διὰ γενικῆς ὁριστικῆς ἐντολῆς ὑμῖν παραινῶ,
πᾶν ὅπερ ὂν ἐξ ἐναντίας τῶν πατρικῶν κανόνων. ἐξ
1654 οἵων δήποτε ὑπομνημάτων προσενεχθείη, ἀπώ-
σασθε. μηδεὶς ὑμᾶς ἀπροσφόροις προστάγμασιν
ἢ νεωτέροις ὁρίσμασι, καινισάτω. εἰ μὲν γὰρ ἄρα οἱ
κοσμικοὶ, καὶ οὐ δύνανται τὰς ἐκκλησίας κατέχειν.
ἐπεὶ δὴ τούτοις ἁρμόζει τὸ διδάσκεσθαι μᾶλλον ἢ
διδάσκειν. ἀθέμιτον γὰρ τοῖς σεβασμίοις θυσια-
στηρίοις ξένας προσφέρειν σπονδάς. ἐπειδὴ σαφῶς
δὲ σεβέσιν ἐπισήμοις ὅροις ἐν αὐτοῖς ὁμοίως τῆς
ἰδίας τιμῆς τοῖς προοιμίοις προέγραψε. μεταξὺ
λευϊτῶν καὶ τοῦ ἰδίου λαοῦ διεῖλε τὴν λειτουργίαν.
ἄλλη ἐστὶν ἡ τῶν λαϊκῶν ἐξουσία. ἄλλαι αἱ τῶν ἱερέων
ὑπηρεσίαι. παρώξυνε μᾶλλον τὸν κύριον, ἢ παρεξι-
λεώσατο, ὃς ἀλλότριον πῦρ ἐν τοῖς θείοις αὐτοῖς
τὰ ἱερὰ μολύνας, ἐπεισήνεγκε. τίς ἐπίμονος ἑαυτὸν
ἐν ἀλλοτρίοις θεσπίσμασι, τοῦ κελεύειν τὴν αὐθεν-
τίαν δύναται προσλαβεῖν. καὶ γὰρ οὐκ ἔστιν ἀμφί-
βολον τι προσφέροντα τιμὴν κεχρεωστημένην ὑπο-
μονῆς τῆς ἐγχειρήσεως τῆς λειτουργίας, τετιμῆσθαι



ῥῆσθαι ἐν τῷ ναῷ. ὁ ὀζίας ἐν τῇ εὐλαβείᾳ καὶ τῇ ὑπη-
ρεσίᾳ διέμεινεν. εἰ δὲ νουθετηθεὶς τῷ ὑποδείγματι
τῆς τοσαύτης ἐπιπλήξεως ἀπὸ τῶν ἱερῶν διαταξέων·
ἐφοβήθη μᾶλλον ἢ κατετόλμησε τούτων, ἄμεινον
ἂν ἐβασίλευσεν. ἀλλ' ἐπειδὴ μηδὲ κωλυόντων
τῶν ἐπιμελητῶν τοῦ ναοῦ ὁ ἐπίμονος παραβάτης
ἀπέστη, ἐν αὐτοῖς βδελύγματι λέπρας πληγείς,
τοῖς θυσιαστηρίοις τὴν λειτουργίαν τῆς βασιλείας
ἀπολέσας, τῇ ὑπηρεσίᾳ τοῦ ἱερέως ἐπελθών.
γινωσκέτωσαν τοιγαροῦν μὴ εἶναι θεῷ προσδεκτὰ
ἅπερ ἐκ τῶν αὐτοῦ ἐντολῶν παρὰ τῶν τολμηρῶν
ὑφαρπάζεται. ὁπότε ἕνα πρὸς ἐπίδειξιν τῆς ἀπο-
φάσεως τῇ τῆς μεγάλης ἀκοσμίας τιμωρίᾳ ἐφύ-
λαξεν. ἄλλους, ταχινὴ φλὸξ κατηνάλωσε. διὸ
δή. εἴπερ τινὰ εἰσὶ τινὶ σχήματι θρησκείας δεδεγ-
μένα, ἰσχὺν ἔχειν οὐ δύναται. τοσαύταις αὐθεν-
τίαις καταπαλαιόμενα. βοᾷ, παῦλος ὁ ἀπόστολος·
› κἂν ἡμεῖς. ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμᾶς
› παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.
οὐχ ἅπαξ εἰρηκὼς τοῦτο ἠρκέσθη. ἐπανέλαβε
δὲ τὴν ὑπαινοῦσαν ἐντολήν, ὡς προείπομεν. καὶ
› γὰρ ἔτι πάλιν λέγω. εἴ τις ὑμᾶς εὐαγγελίσεται παρ' ὃ
› παρελάβετε, ἀνάθεμα ἔστω. φυλάττει γὰρ τὴν

προενεχθεῖσαν ὑπὲρ τῆς φυλακῆς τῆς πίστεως, ἀπόφασιν,
εἴπερ τῇ ἀποστολικῇ ἀκολουθεῖ διδασκαλίᾳ· καὶ ἡ μὲν
μέρος ὧν φροντὶς ἐνέλειψε· καὶ γὰρ τῇ τῆς διπλῆς ὑπηρε
σίᾳ πρεσβείας· εἴπερ ταῖς δεήσεσι τὰ πείθομεν· εἴπερ
ταῖς δικαιολογίαις εὔλογον· εἴπερ ταῖς ἐντολαῖς ὑπείξ,
ὑπηρετήκαμεν· ἀλλὰ μὴ διὰ τοῦτο, ἀμελητέα ἐστὶν ἡ
ὁδὸς τῆς δικαιοσύνης· ἐπειδὴ ταῖς ἰδίαις πλάναις
ἀγαπᾷ μετὰ ἀπονοίας, ἡ ἀπιστία· οὐκέτι συνάπτε
σθαι μετὰ τοῦ τῶν πιπτόντων ὀλισθήματος, ἄνευ
τῆς ἡμετέρας λύμης· ἀπολλύσθωσαν οἱ ἀπὸ τῶν
οἰκείων ἀσεβειῶν, μὴ δὲ μαστιγουμένης τῆς πλάνης,
ἐκκλίνοντες· καὶ ἑτέρα χειρὶ ὁ θεὸς ὑμᾶς ὑγιαίνοντας
διαφυλάξει τέκνα ἀγαπητά:-
ἐδόθη πρὸ τεσσάρων εἰδῶν φευρουαρίων μετὰ τὴν
ὑπατείαν ἀγαπητοῦ τοῦ λαμπροτάτου:-

ἐπιστολὴ ὁρμίσδου, πρὸς ἐπιφάνιον:-

Ὁρμίσδας ἐπιφανίῳ ἐπισκόπῳ κωνσταντινουπόλεως:-
Πολλῆς ἐπλήσθην χαρᾶς, ὅτι περὶ τὴν εἰρήνην τῆς ἐκ
κλησίας· καὶ τοῦ ἀγιωτάτου βασιλέως· καὶ τῆς σῆς
ἀγάπης τοιαύτη σπουδή, οἵαν διὰ τῶν πραγμάτων
ἐμήνυσας· καὶ διὰ τῆς τῶν ἐμῶν πρέσβεων κατα
θέσεως, ἔγνων· σαφὴς γὰρ ἐντεῦθεν τῆς ὁσιότητος
εὐσπλαγχνίας ἀπόδειξις πρόεισιν· ὅταν καὶ οἱ



τοῦ κόσμου βασιλεῖς· ταῖς ὑποθέσεσι ταῖς περὶ τῆς πί
στεως μετὰ τῆς διοικήσεως τῆς πολιτείας, συζευγνύ
ωσι· καὶ οἱ τῶν ἐκκλησιῶν ἡγούμενοι τὰ συντεί
νοντα εἰς τὴν ἰδίαν οἰκονομίαν μεμνημένοι τοῦ
καθήκοντος, ἐκτελῶσι· τοιούτων ἐχρῆζε μετὰ
τὰς τῆς διχονοίας καταιγίδας ἡ χριστιανικὴ θρη
σκεία, ἰθυντήρων· οἵτινες κατευνασθεισῶν
προνοητικωτάτῃ διατυπώσει τῶν θυελλῶν, τὴν
ἐπὶ πολὺ ξενωθεῖσαν εἰρήνην, ἐξωθέντος τοῦ
χειμῶνος ἐπανάξουσι· καὶ εἰς τοὺς μέλλοντας
μετὰ ταῦτα αἰῶνας τῆς ἰδίας προθέσεως τὰ ὑπο
δείγματα ἐπεκτείνοντες, ἑαυτοῖς ἐπιγεγράφθαι
ἀναμφιβόλως ἐπιδείξουσιν, εἴπερ τῷ θεῷ ἀρέσκον
οἱ μεταγενέστεροι ἀπὸ τῆς αὐτῶν μιμήσεως, ποιή
σουσιν· εὐλογήσωμεν τὸν θεὸν ἀδελφοί· ταῖς ἡμῶν
τοῦτο ἡμέραις συγκεχωρημένον γεγονέναι· καὶ
πάσαις εὐχῶν καὶ μεριμνῶν δυνάμεσιν ἐπερ
εισθῶμεν· ἵνα ἅπερ διὰ τῆς τοῦ θεοῦ ἡμῶν συνερ
γίας καλῶς ἤρχθη· αὐτοῦ βοηθοῦντος ἐν πᾶσι,
πληρωθῶσιν· ἐλπὶς γάρ ἐστιν ὅτιπερ εἰς τὴν ἁρμο
νίαν τοῦ οἰκείου σώματος καὶ τὰ λοιπὰ καὶ ἔτι
νῦν διῃρημένα μέλη, σπουδάσουσι· καὶ ἀπὸ
τῶν κρεισσόνων τὰ ἥττονα, οὐ διαφωνήσουσιν.

εἰς ὃ ἐπεὶ πρὸς μείζονα διάθεσιν τὴν σπουδὴν τῆς χριστιανικῆς
ἀγάπης προτρέπεται, ὀφείλει εἰς ὃ διεγείρει, ἀκο-
λουθῆσαι· καὶ ὅπερ ἀγαπᾶσθαι συμβουλεύει, περι-
πτύξασθαι. ὁμοίαν γὰρ ἄλλοι περὶ τῆς πίστεως φροντίδα
χειρίζοντες διὰ τῆς εὐσεβοῦς ὑπομονῆς, ἴσον καὶ
τὸ ἔπαθλον τοῦ ἀγαθοῦ ἔργου, ἐκβάσει ἐλπίζομεν.
οὔτε γὰρ ταῖς δυσχερείαις ἐστὶ παραχωρητέον· οὐ κατα-
πονεῖται τοῖς τραχέσιν ἡ πίστις· οὐδὲ εἰς τὰ τῶν
οὐρανῶν ὑψώματα, διὰ κατωφεροῦς τις ἐπεκτείνεται·
οὔτε τῆς ἀνταμείψεως, οὔτε τῆς τοῦ καμάτου γυμνα-
σίας, τις ἀξιοῦται. διὸ ἵνα μὴ ἐκκακῶμεν τὸ
ἀγαθὸν ποιοῦντες, ἰδικῶς ὑπομιμνήσκωμεθα·
καὶ γὰρ μακάριοι ὡς μαρτυρεῖ ὁ ψαλμῳδός, οἱ φυλάσ-
σοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ
καιρῷ. ὅτι οὐχ ἡ ἀρχὴ τοῦ καμάτου τὴν ἀνταμει-
ψιν τοῦ ἐπάθλου εἴωθεν εὑρίσκειν, ἀλλὰ τὸ τέλος·
τοιγαροῦν ἴσην σπουδὴν τῆς μερίμνης ἀναλαβόμενοι,
οἱ ἐσμὲν ἐν τῇ κοινωνίᾳ καὶ τῇ πίστει ἡ ἑταιρία· ὃν
τρόπον περὶ τῆς ἑνώσεως τῷ ἀποστολικῷ θρόνῳ
τῆς Κωνσταντινουπόλεως ἐκκλησίας, ἐπίσης
ἀγαλλιώμενοι ἐν κυρίῳ, οὕτω καὶ περὶ τῆς τῶν λοιπῶν
καθὼς ἐνδιαθέτως παραινεῖς, ἀποκαταστάσεως,
φροντίσωμεν πρῶτον· ἵνα τὴν πίστιν καὶ τὴν τελειό-



τητα ἡμῶν, ἄσπιλον ἀπὸ παντὸς μιάσματος, φυλά-
ξωμεν· καὶ γὰρ οἶδα ἀδελφὲ τιμιώτατε, ποῖοι τὴν
ἐκκλησιαστικὴν ὁμόνοιαν φυλάττουσι, σύνδεσμοι·
τίνα ἡμᾶς ἀπὸ τῶν αἱρετικῶν φυλάττουσιν ἐπιβου-
λῶν· καὶ διὰ ποίων, ἡ τῶν κανόνων φυλάττεται
αὐθεντία· τούτων ἐν τῇ ἰδίᾳ ἰσχύϊ πάσῃ προσοχῇ
φυλαττομένων, ἴασις τοῖς ἐλπίζουσι προσενεχθή-
σεται· ἔχει γὰρ τῶν ἐκκλησιαστικῶν κανόνων ἡ
τάξις, καὶ αὐτῆς τῆς δικαιοσύνης ὁ τύπος, ὅπως
εὔλογος θεραπεία τοῖς καλοθελοῦσι καὶ πιστοῖς ἐλπί-
ζουσι, μὴ ἀρνηθείη· οὐδέ τις ἐστὶν οὕτως ἀπὸ τῆς
φιλανθρωπίας διῃρημένος· ὁμοῦ γὰρ ἀπὸ τῆς σκληρό-
τητος τοῦ δεσμοῦ ἐπικάμψειν ἡ ἀπανοῦργος ἁπλό-
της· ἀλλ᾿ ἵνα ἀσφαλῶς τοῦτο καὶ χωρὶς μέμψεως
ἤ τινος ἐμφώδους πλάνης ἰσχύσειε προελθεῖν,
ἀγαπητὲ ἀδελφὲ, τὸ ἐμὸν πρόσωπον σε ἐν τούτῳ
χρὴ ὑπελθεῖν· ἐπιστάμενον ἐν ταῖς τοιαύταις ὑπο-
θέσεσι καθὼς προείρηται, τί ποιητέον εἴη καὶ
τί φυλακτέον· οὕτω πάντων προνοούμενον, ὡς
μὴ ἀμφιβάλλοντα λόγον ταύτης τῆς διατυπώ-
σεως, τῷ θεῷ ἀποδώσοντα· οὕτω μέντοι, ἵνα
τούτους οἵτινες ὑμῖν τῇ κοινωνίᾳ συναφθεῖεν·
καὶ δι᾿ ὑμῶν τῷ ἀποστολικῷ θρόνῳ, τὰ ὑμέτερα

γράμματα ἡμῶν δηλώσουσιν· οἷς καὶ τὰ περιεχόμενα
τοῖς λιβέλλοις οἷς ἂν προσενέγκοιεν, ἐμφερέσθω· οὕτω
γὰρ καὶ τῆς σευήρου· καὶ τῶν τούτῳ συμπλεκομένων
καὶ τῶν ὁμοίων, ἀπολυθήσονται πλάνης· καὶ οὐδὲ
τούτων οἵτινες ἰαθῆναι δυνήσονται, τὴν ζημίαν ὑπο-
μείνωμεν· ὅπερ διὰ τοῦ τοῦ μὲν ἰδικῶς ᾠήθημεν
ἐπιθεῖναι πρὸς τὴν ὑμετέραν ἐπιμέλειαν, τὰ ἡμέ-
τερα μεταφέροντες βάρη· ἐπείπερ οὐ μικρὰ ἡ δι-
ἀποδείξεις τοῖς αἱρετικοῖς ἀνθισταμένοις δεδώκατε
καὶ οὐ χρὴ περὶ τούτου διστάζειν· ὃν καλῶς συνέβη δό-
κιμον ἀποδειχθῆναι, ἅμα προσλαβέσθαι τὰ θερα-
πείας τῆς ἰάσεως· ἀναζώσασθε τὴν αὐθεντίαν τῆς
δικαιοσύνης· καὶ οὕτως περὶ τοὺς ἱκέτας τῇ φιλανθρωπίᾳ
ἀπολύεσθαι· ἵνα τοὺς ἐν τῷ τῶν αἱρετικῶν μιάσματι
ἐπιμένοντας· ἢ τούτοις· οἵ τε τὸ ἀνεύθυνον ὑποκρίνον-
ται· καὶ μετὰ τῶν ἡμετέρων μόνην τὴν φωνὴν συμφω-
νοῦσιν ἀπὸ τούτων· ὧν ὑπὲρ τῆς ἀποκαταστάσεως
τῆς ἐκκλησίας φροντὶς καὶ πρόνοια ἐστὶν ἀπὸ ἐκ-
κλησίας· οὐδὲ γὰρ ὅσῳ τελεῖ περὶ τούτοις τὴν ἐκ-
κλησιαστικὴν κεράσαι αὐστηρίαν· οὐ γὰρ ἔσται
λοιπὸν τοὺς ἐλέους τὰ ἀγαθὰ διὰ τὴν τῶν προνοη-
θῆναι ὀφειλόντων ἀνάγκην, συναχθέντα· ἐν ἀδια-
κρίτως ἔσονται κοινὰ καλοῖς καὶ κακοῖς· καὶ ἐπειδὴ



τῶν ἱεροσολυμιτῶν ὁμοίως ποιήσασθαι ᾠήθημεν τοῖς
οἰκείοις γράμμασι μνήμην ἐπαγαγεῖν· ὧν καὶ πρὸς
ἡμᾶς ἠνέχθη πίστεως ὁμολογία, ἣν ἀσμένως καὶ ὠνησάμεθα
καὶ ἀναγνῶναι τὰ γραφέντα, καὶ ἀποκρίνασθαι τὰ
πρόσφορα· οἵτινες εἰ ταῖς τῶν ἁγίων πατέρων διατυ-
πώσεις φυλάττουσιν· εἰ ἐκείνης τῆς πίστεως τοὺς
θεμελίους σέβονται· καὶ ἀπὸ τούτων τῶν δι' αὐτῶν
τοῦ ἁγίου πνεύματος καταπνεύσαντος, ὁρισθέντων, οὐκ ἀνα-
χωρήσουσιν· εἰ γὰρ εἰσὶ τέλεια ὥσπερ εἰσί· καὶ προσ-
θήκης οὐ δέονται· ἢ καλῶς βέβαια· καὶ διὰ τοῦτο οὐκ
ἀμειπτέα· ὁπότε δι' αὐτῶν πάντα τὰ τῶν αἱρετικῶν
δηλητήρια καταπατηθῇ· οὐδέ τι ἡ ἐν Χαλκηδόνι σύ-
νοδος ὅπερ χρήσιμον οἷα δή ποτε ἐπιμέλεια ἠδύ-
νατο ἐπινοῆσαι, παρέδραμεν· ἢ περὶ τῶν προλαβου-
σῶν ὁμοίως τὰ δόγματα, ἢ τηλαυγέστερον ἐφανέρω-
σεν, ἢ ἐπαναληφθεῖσα τῇ αὐθεντίᾳ ἐβεβαίωσεν·
ἰδικόν τινα κατὰ Νεστορίου καὶ Εὐτυχοῦς, ἀναδε-
ξαμένη ἀγῶνα· τοῦ μὲν ἑτέρου, τὴν τοῦ κυ ἡμῶν
ιυ χυ θεότητα, ἀπὸ τῆς σαρκὸς χωρίζοντος· καὶ 663
διὰ τοῦτο τὴν ἁγίαν μαρίαν, θεοτόκον ἐξαγγέλλειν
ἐκκλίνοντος· τοῦ δὲ ἑτέρου, τὴν ἀλήθειαν τῆς
σαρκὸς ἐν τῷ κω ἀπαρνουμένου· ὁπότε ὁ κς ἡμῶν
ις χς οὗτος υἱὸς θυ· ὁ αὐτὸς ανος· ἐν προσώπῳ ἑν

δύο φύσεσι· καὶ θεότητος καὶ σαρκός· οὐδὲ τῶν φύσεων
ἐν τῇ ἑνώσει συγχυθεισῶν· οὐχ ὥστε τετάρτου προσώπου
προστεθέντος τῇ τριάδι· ἀλλ᾽ αὐτὸς ὁ υἱὸς τοῦ θεοῦ ἐκένω-
σεν ἑαυτὸν καὶ μορφὴν δούλου ἔλαβε· διὸ καὶ μίαν
καὶ οὐδὲ διαιρετήν, ὁμολογοῦμεν οὐσίαν τῆς τριάδος.
καὶ τὴν ἰδίαν ὁμοίως ἰδιότητα, ἴσμεν ἐνεῖναι τοῖς
προσώποις· ἓν γὰρ τοῦ πατρὸς ὁμολογοῦμεν εἶναι πρό-
σωπον· ἓν τοῦ υἱοῦ τοῦ θεοῦ, μετὰ τῆς προσληφθείσης
σαρκός· ἓν τοῦ πνεύματος τοῦ ἁγίου· καὶ τὰ πρόσωπα ταῖς
ἰδιότησι σημαίνοντες· καὶ διὰ τῆς ἑνότητος τῆς οὐσί(ας)
τὸ ἀχώριστον τῆς τριάδος μυστήριον, ὁμολογοῦντες.
οὔτε γὰρ δυνατὸν ἀμφιβάλλεσθαι τὸν λόγον τοῦ θεοῦ·
ἐν τοῖς τῆς μητρὸς σπλάγχνοις διὰ τῆς σαρκός, τὴν ἀνθρω-
πείαν προσειληφέναι φύσιν· καὶ μὴ μετὰ τὴν
παρ᾽ αὐτοῦ γενομένην ἐν τῇ μήτρᾳ τῶν φύσεων ἕνωσιν,
διῃρημένον· καθάπερ γὰρ οὐκ ἔστιν ἐν αὐτῷ ἀνθρω-
πότης ἄνευ θεοῦ γεννηθεῖσα, οὕτως ἐν τῷ σταυρῷ ἡ ἀπαθὴς
θεότης, οὐκ ἔστιν ἀπὸ τοῦ τῆς σαρκὸς πάθους, διῃρη-
μένη· ὅπερ ὅ τε τῆς παρθένου τόκος καὶ ἡ ἄχραντος
γονιμότης· καὶ ἡ ἐξαίρετος ἐκ νεκρῶν ἀνάστασις·
καὶ ἡ εἰς οὐρανούς, δείκνυσιν ἄνοδος· ταῦτα εἰ καθὼς
παρὰ τῶν πατέρων ὡρίσθη φυλάττουσι, πιστευέτωσαν·
καὶ μὴ δὲ τὰ ὡρισμένα παραβαινέτωσαν· ἀφ᾽ ἧς



τρίβου οἱ ἐκκλίνοντες, αὐτοὶ ἑαυτοῖς νέφος ἀμφιβολί-
ας περιχέουσιν· ἡμῖν δὲ ἐκεῖνο τὸ ἀποστολικόν, τοῖς
φιλονείκοις ἀποκρίνασθαι, ἀναγκαῖόν ἐστιν· ἡμεῖς
τοιαύτην συνήθειαν οὐκ ἔχομεν· οὐδὲ ἡ ἐκκλησία
τοῦ θεοῦ· ταῦτα διὰ τοῦτο διὰ βραχέων, ἐπειδὴ
οὔτε ἀμφιβάλλεσθαι προσήκει περὶ πραγμάτων
τῶν περὶ τῆς πίστεως πολλάκις ὁρισθέντων· καὶ
παντελῶς περιττή ἐστιν ἡ δικαιολογία, ἡ προσφερο-
μένη τοῖς παρεσκευασμένοις· ὁπότε περὶ τούτου
τοῦ πράγματος φιλαγνότατον· καὶ πρὸς τὸν ἐνδο-
ξότατον βασιλέα τὸν ἡμέτερον υἱόν, οὐκ ὀλίγα
ἐσημάναμεν· καὶ ἐπειδὴ περὶ τῆς τῶν Ἱεροσολυ-
μιτῶν ὁμολογίας ἀπεκρινάμεθα· καὶ τοῦτο ὑπε-
λάβομεν τῆς τούτων ὀργῆς χάριν, ἁρμοδίως προσ-
θεῖναι· ἵνα ἐὰν τῆς καθολικῆς ἐκκλησίας ἐπι-
ποθῶσι τὴν ἕνωσιν, τῆς ἰδίας ὁμολογίας τὸ ὕφος
ἐγγράφως μηνυθῆσαν· ἐν τοῖς ἡμετέροις πρεσ-
βευταῖς ἐν Κωνσταντινουπόλει διάγουσι προσή-
νεγκαν, διὰ τῶν ἰδίων πρὸς ἡμᾶς ἀποστάλωσιν·
ἢ τῇ ὑμετέρᾳ ἀδελφότητι δώσουσι· τῇ αὐτῇ μέντοι
καθὼς εἶπον δυνάμει συγγεγραμμένην· ἥτις
πρὸς ἡμᾶς πᾶσι τρόποις διὰ ὑμετέρας διατυπώ-
σεως, κομισθήσεται· περὶ γὰρ τῶν Θεσσαλονικέ(ων)·

ὧν πρὸς ἡμᾶς οἱ πρέσβεις διὰ τῆς τοῦ πιστοτάτου καὶ
ἐνδοξοτάτου βασιλέως τοῦ ἡμετέρου υἱοῦ, διατυπώ-
σεως ἦλθον· ἵνα μή τι παράλογοι εἶναι δόξωμεν, γι-
νώσκειν ὑμᾶς βουλόμεθα κατὰ ταῦτα ἅπερ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ ἐμπνέοντος ἤρεσεν, τὴν ὑπόθεσιν πᾶσαν
τῇ ὑμετέρᾳ διασκέψει ψηλαφητέαν· καὶ εἰ ὅπερ χρὴ
πληρώσουσι διατυπωτέαν. ταῦτα διὰ τοῦ ἀδελ-
φοῦ καὶ συνεπισκόπου ἡμῶν τοῦ σεβασμιωτάτου
ἀνδρὸς Ἰωάννου· ἀλλὰ καὶ διὰ τῶν υἱῶν ὑμῶν· Ἡρα-
κλειανοῦ τοῦ πρεσβυτέρου· καὶ Κωνσταντίνου τοῦ
διακόνου· τῆς ἐκκλησιαστικῆς τιμῆς ἀξίων, τὰ πρὸς
τὴν ὑπόθεσιν ἀνήκοντα παρκεαθέντες αὐτίγραψαι, ἢ
ἀθημενεν ἀνδρὶ τῆς ἡμετέρας τάξεως ἴσην ἀξίαν
καὶ εὐλαβῆ πρόθεσιν ἡμᾶς εὑρηκέναι· καὶ μετὰ
τῶν τῆς πρεσβείας ἐντολῶν, τῇ φρονήσει καὶ τοῖς τρόποις
συνᾴδοντα· εὐκταῖον γὰρ πρᾶγμα καὶ πλῆρες χαρᾶς,
ἵνα ὦσι κεκριμένως δόκιμοι· οἱ τῆς κοινωνίας
καὶ τῆς τάξεως συνεβηεῖναι συγκλήρους· καὶ ἄλλῃ
χειρί· ὁ θεός σε ὑγιῆ διαφυλάττοι ἀδελφὲ τιμιώτατε·
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπε· νῦν καὶ οἱ θεο-
σεβέστατοι νοτάριοι τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησί-
ας εἴπερ ἔχουσι παρ' αὐτοῖς χάρται· τὴν παροῦσαν ὁρῶν-
τες ὑπόθεσιν, δήλους ἡμῖν τούτους ποιείτωσαν· καὶ





προκομισθέντων τῶν χαρτῶν διὰ Κοσμᾶ τοῦ θεο-
σεβεστάτου διακόνου νοταρίου καὶ χαρτοφύλακος·
Μακάριος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος
τὸν ἐκ προσώπου τῶν θείου πόλεως κληρικῶν, λί-
βελλον· καὶ τὴν ἀναφορὰν τῆς ἐνδημούσης τημι-
καὐτα τῇ βασιλίδι πόλει, συνόδου· ἀμφότερα
πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην· ἀρχιεπίσκοπον γενό-
μενον τῆς αὐτῆς βασιλίδος πόλεως, ἀνέγνω· καὶ
Καλώνυμος ὁ θεοσεβέστατος διάκονος καὶ νοτά-
ριος· ἀπὸ κώδικος τὴν πρὸς Ἰωάννην τὸν τῆς
ὁσίας μνήμης ἀρχιεπίσκοπον γενόμενον Ἱερο-
σολύμων, ἐπιστολήν· καὶ τὴν πρὸς Ἐπιφάνιον
τὸν τῆς θεοφιλοῦς μνήμης· τῆς Τυρίων γενόμενον
ἐπίσκοπον, ἀνέγνω· ἔτι μήν, καὶ τὴν πεμφθεῖ-
σαν ὑπό τε αὐτοῦ Ἰωάννου τοῦ τῆς Ἱεροσολύμων
ἐπισκόπου· καὶ τῆς ὑπ' αὐτὸν συνόδου· πρὸς τὸν
ἐν ἁγίοις Ἰωάννην ἐπιστολήν, ἀνέγνω· καὶ Στέφανος
ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος, τὴν στα-
λεῖσαν ἀναφορὰν παρὰ Ἐπιφανίου, ἐπισκόπου
γενομένου Τύρου· καὶ τῆς ὑπ' αὐτὸν συνόδου· ἀνέ-
γνω καὶ Παῦλος ὁ θεοσεβέστατος νοτάριος καὶ διά-
κονος, τὴν σταλεῖσαν ἀναφορὰν σὺν τοῖς πεπραγ-
μένοις ἀπὸ τῶν ἐπισκόπων δευτέρας Συρίας,

πρὸς τὸν ἐν ἁγίοις ἰωάννην· γενόμενον ἀρχιεπίσκοπον
τῆς βασιλίδος πόλεως· ἅπερ ἅπαντα σύμπαντα, καὶ ἐν
τέτακται:-

δέησις κληρικῶν καὶ μοναχῶν ἀντιοχείας, πρὸς
ἰωάννην τὸν πατριάρχην· καὶ τῶν ἐνδημούσῃ συνόδῳ
κατὰ σευήρου:-

Τῷ ὁσιωτάτῳ καὶ μακαριωτάτῳ καὶ ἁγιωτάτῳ
ἀρχιεπισκόπῳ οἰκουμενικῷ πατριάρχῃ, ἰωάννῃ·
καὶ τῇ ἐνδημούσῃ ἁγίᾳ συνόδῳ, ἀξίωσις παρὰ
κληρικῶν καὶ μοναχῶν τοῦ ἀποστολικοῦ θρόνου
τῆς ἀντιοχέων μεγαλοπόλεως ἁγίας τοῦ θεοῦ
καθολικῆς ἐκκλησίας· νῦν ἤπερ ποτὲ καιρὸς
ὦ μακαριώτατοι· πάσας τῆς οἰκουμένης τὰς
ἁγίας τοῦ θεοῦ ἐκκλησίας· ὡς ἐξ ἑνὸς στόματος τὸ
προφητικὸν ἐκεῖνο ἐκβοῆσαι· εὐφραινέσθωσαν
οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· καὶ πάντα τὰ ἐν
αὐτῇ· ὅτι ἠλέησεν ὁ θεὸς τὸν λαὸν αὐτοῦ· τὸ γὰρ
τὰ σκῆπτρα ῥωμαίων τοῖς οὕτως εὐσεβέσι καὶ
φιλοχρίστοις ἐγχειρισθῆναι, βασιλέας· ἐλευ
θερίαν δὲ χαρισθῆναι καὶ παρρησίαν τοῖς τὴν
ὀρθόδοξον πρεσβεύουσι θρησκείαν, πῶς οὐχὶ
ταύτην πείθει εἰκότως τοὺς πιστοὺς βοῆσαι τὴν
φωνήν· ἀλλ᾽ ἐν οὕτω κοινῇ τῆς οἰκουμένης ἑορτῇ



μιᾶς ἐκ πάντων ἡ κομιδῇ σοῦ ὀλίγαις· ἡ τῶν ἀντιο
χέων ἐκκλησία, κατηφείας καὶ θρήνων πεπλή
ρωται· λύκον γὰρ ἀντὶ ποιμένος οὐκ οἶδαμεν ὅπως,
δεξαμένη, κακοπαθεῖ· ποίαν γὰρ τραγωδίαν
οὐκ ἀπέκρυψε, τὰ τολμηθέντα παρὰ σευήρου
κακά· ὃς πρῶτον μὲν· ἵν᾽ ὅπως βεβίωκε παρα
λίπωμεν· φειδοῖ τῶν ὑμετέρων ἀκοῶν· οὐδὲ
μιᾷ ἁπώποτε φαίνεται κοινωνήσας ἐκκλησίᾳ·
εἶτα συκοφαντίας βέλεσι κατατοξεύσας τινὰς καὶ
παρασκευάσας ἐξελαθῆναι τὸν ἔνθεσμον ποιμένα
φλαβιανὸν τὸν μακαριώτατον, τὸν ἐκείνου
θρόνον βιαίως καὶ ἀκανονίστως, ὑφήρπασε·
κἀντεῦθεν μισθωτοῦ δίκην· οὐ μόνον οὐκ ἐπι
μωνε τῇ ποίμνῃ τοῦ χριστοῦ· οὐδὲ ἔφυγεν ὅπερ ἦν ἀγα
πητόν, ἀλλ᾽ αὐτὸς τὰ τῶν θηρίων ἔδρα· σφάτ
των τε καὶ διασκορπίζων τὰ πρόβατα· κενο
φωνίας δὲ καὶ βλασφημίας κατὰ τοῦ θεοῦ πλατ
τόμενος, οὐδενὸς τῶν ἁγίων ἡμῶν πρώην ἐφεί
σατο· διατελεῖ δὲ πᾶσαν ἡμέραν ὡς εἰπεῖν τὰς
ὑπὲρ εὐσεβείας ἀθροισθείσας ἀποκηρύττων,
συνόδους· ὁ γὰρ τὴν ἐν χαλκηδόνι ἁγίαν σύνοδον 671
ἀναθεματίσαι τε καὶ πολεμῆσαι τολμήσας· τὴν
μάλιστα βεβαιώσασαν τὸ σύμβολον τῶν τιη ἁγί

πρῶν· ἀποδεξαμένην δὲ καὶ τοὺς ρν' ὁσίους καὶ ἁγίους
πατέρας· ἔτι μὴν καὶ τοὺς ἐν Ἐφέσῳ κατὰ Νεστορίου τοῦ
δυσσεβοῦς, συνελθόντας ὁμοίως ὁσίους πατέρας, εὔδηλον
ὡς καὶ τὰς εἰρημένας ἀποστρέφεται καὶ μισεῖ, σὺν
ταύτῃ τὰς ἀδελφάς· καὶ ὅσους μὲν φόνους ἁγίων
εἰργάσατο, μοναχῶν· ἰουδαϊκαῖς χερσὶ τὴν
τοιαύτην ἐγχειρίσας σφαγήν, οὔτε ὑμᾶς ὁσιώ-
τατοι, οὔτε τῶν ἄλλων ἔλαθεν, οὐδένα· θέαμα
γὰρ ἦν σαρκείμενοι δεινόν· ἄνδρες, ἀσκητικοῖς
ἀγῶσι μέχρι πολιᾶς ἐναθλήσαντες· γυμνοὶ καὶ
ση ἄταφοι ἐρριμμένοι, ὑπὲρ τοὺς τριακοσίους ὄντες·
ἐκ τῆς δευτέρας Συρίων ἐπαρχίας, ὁρμώμενοι· κυ-
σὶ ἀνδράγματα καὶ οἰωνοῖς προκείμενοι· ὅμοια
δὲ καὶ ὡσαύτως ἐλεεινά, καὶ ὅσα ἐν τοῖς ξενῶσιν
αὐτῷ πέπρακται· δεσμωτήρια γὰρ δώματα ποιῶν·
κἀκεῖσε πολλοὺς τῶν ἐπ' εὐσεβείᾳ καθείργων
ἐν σκότει καὶ μαστίζων, ἀνῄρει· οἷα δὲ ὁσιώτατοι
καὶ περὶ τὰς ἐν Δάφνῃ πηγάς, πρᾶξαι τετόλμηκε·
ση μαγείαις τε χρώμενος αὐτόθι, καὶ θυμιάμασι
μυσαροῖς θεραπεύων τοὺς δαίμονας· καὶ τοῦτο,
πᾶσα ἐκείνη ἡ μεγάλη οἶδε πόλις· οὐ μήν, οὐδὲ
αὐτῶν ἐφείσατο τῶν ἁγίων θυσιαστηρίων· οὐδὲ
τῶν ἱερῶν σκευῶν· τὰ μέν, ξέων ὡς ἐναγής· τὰ δέ,



χωνεύων καὶ ῥογεύων, τοῖς ὁμοτρόποις· τετόλμηται
δὲ αὐτῷ, καὶ τοῦτο ὦ μακαριώτατοι· τὰς γὰρ εἰς
τύπον τοῦ ἁγίου πνεύματος χρυσᾶς τε καὶ ἀργυρᾶς περιστεράς·
κρεμαμένας ὑπεράνω τῶν θείων κολυμβηθρῶν·
καὶ θυσιαστηρίων, μετὰ τῶν ἄλλων ἐσφετερίσατο,
λέγων· οὐ χρῆναι ἐν εἴδει περιστερᾶς, τὸ ἅγιον
πνεῦμα ὀνομάζεσθαι· τὰ μέντοι χρήματα καὶ οἰκήματα·
καὶ ὅσα ἐν τοῖς καλλίστοις χωρίοις ὑπῆρχε τῇ ἐκκλησίᾳ,
πάντα ἐκφορήσας ἐξεδαπάνησε· καὶ βαρυτάτοις
δανείσμασι, τὴν ἐκκλησίαν κατέχουσιν· ἀλλ' οὐχ
οἷοί τε ὦ μακαριώτατοι πάντα διεξελθεῖν, τὰ
ἐκείνῳ τετολμημένα· διὸ τοῖς ὀλίγοις τούτοις·
καὶ προοῦσι τηλικούτοις ἀρκούμενοι, δεόμεθα
τῆς ὑμετέρας ἁγίας συνόδου· ὅπως καὶ μόλις σ-
τῆσαι τὰ συνέχοντα κακά, τὴν ἡμετέραν ἐκκλη-
σίαν· καὶ πᾶσαν σχεδόν, τὴν ἀνατολικὴν διοί-
κησιν· καὶ τοῦ τε παμπονήρου ἀνδρὸς ἡμᾶς
ἐλευθερῶσαι· ἀπαιτουμένου κατὰ τοὺς θείους
κανόνας καὶ τοὺς πολιτικοὺς νόμους, δίκας ὧν
ἔπραξε· πρόνοιαν δὲ ποιῆσαι καὶ τῶν ὑπολει-
φθέντων πραγμάτων, εἴγε τι μεμένηκε· ποθοῦντες
τὴν εὐσεβῆ καὶ καλλίνικον κορυφήν, ἀποσταλῆ-
ναί τινας ἐνταῦθα ἐπ' ἀγαθοῖς μαρτυρουμένους

τρόποις· τινὸς τῶν ἐξ ἡμῶν συνερχομένου καὶ τοῖς
πράγμασιν ἐφιστῶντος· ἐφ᾽ ᾧ συσχεθῆναι μὲν καὶ λογο-
θετηθῆναι τοὺς ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν, εἰ ταῦτα
ὑπουργήσαντας· καὶ εἰς ἑαυτοὺς τὰ πολλὰ κεκλοφότας·
ἐξασφαλισθῆναι δὲ καὶ τὰ εὑρισκόμενα, ἵνα μὴ
τελέως ἅπαντα ἐκφορηθῆ· οὐ γὰρ παύεται ὁ χρηστὸς
ἀνὴρ, κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ τὰ διαφέροντα
αὐτῆ, σκορπίζων· πάσης γὰρ ἐλπίδος εἰκότως ἐκ-
πεσὼν τοῦ θεοῦ· εἰς ἄνδρας πονηροὺς καὶ ἐκ τῶν τοιού-
των τρεφόμενος, τὰς ἐλπίδας ἔχει· πρεσβεῦσαι
δὲ παρακαλοῦμεν, καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν·
εἴτε ἐπίσκοποι εἶεν· εἴτε κληρικοί, ἢ μοναχοί·
ἢ καὶ λαϊκοί· ὅπως ἀνακληθέντας ἀποδοθῆναι
ταῖς οἰκείαις πόλεσι καὶ τάξεσιν· ἐπὶ τούτοις πᾶσι
συγγνώμην αἰτοῦντες διὰ τὴν συνέχουσαν ἡμᾶς
ὀδύνην, ἐνορκοῦμεν τὴν ὑμετέραν μακαριότητα
τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα· καὶ τὴν εὐσέ-
βειαν καὶ νίκην καὶ διαμονὴν τῶν δεσποτῶν τῆς
ὅλης οἰκουμένης· ἰουστίνου καὶ εὐφημίας τῶν
αἰωνίων αὐγούστων· κινηθῆναί τε ὑμᾶς δεόντως·
καὶ μὴ περιιδεῖν ἡμῶν τὰς αἰτήσεις· ἀναγαγεῖν
δὲ ταῦτα πάντα ἐπὶ τοὺς εὐσεβεῖς καὶ φιλοχρίστους
ὑμῶν βασιλείας· καὶ πεῖσαι τὴν αὐτῶν γαληνότητα,



πάντα τὰ κατὰ τὴν ἁγιωτάτην ἡμῶν ἐκκλησίαν τῆς
αὐτῶν τε καὶ ὑμῶν προνοίας τυχεῖν:-

ὑπογραφαί:-

Θεοδόσιος ἐλέῳ θεοῦ πρεσβύτερος ἀντιοχείας, ἐπιδέδωκα:-
οστῖνος διάκονος, ὁμοίως ἐπιδέδωκα:-
Στέφανος διάκονος, ὁμοίως ἐπιδέδωκα:-
Μαυρίκιος ὑποδιάκονος, ὁμοίως ἐπιδέδωκα:-
Ἰουλιανὸς ἐλέῳ θεοῦ διάκονος, ὁμοίως ἐπιδέδωκα:-
Θωμᾶς ἐλέῳ θεοῦ διάκονος, ὁμοίως ἐπιδέδωκα:-
Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος, ὁμοίως ἐπιδέδωκα:-
Ἀνδρέας, ὁμοίως ἐπιδέδωκα:-
Ἰουλιανός· ὁμοίως ἐπιδέδωκα:-
Μάρκελλος διάκονος, ὁμοίως ἐπιδέδωκα:-
Σέργιος ἐλεεινός, ὁμοίως ἐπιδέδωκα:-
Ἰωάννης ἐλεεινός, ὁμοίως ἐπιδέδωκα:-
Μωσῆς θεοῦ χάριτι πρεσβύτερος, ἐπιδέδωκα:-
Ἰωάννης ὑποβολεύς, ὁμοίως ἐπιδέδωκα:-
Ἰωάννης μοναχὸς μονῆς τοῦ μακαρίου μάρωνος,
ἐπιδέδωκα:-
Ἰάκωβος μοναχὸς τοῦ μακαρίου βίζου, ὁμοίως
ἐπιδέδωκα:-
Κωνσταντῖνος μοναχὸς καὶ ἀποκρισιάριος τοῦ τῆς
ὁσίας μνήμης ἀστερίου, ὁμοίως ἐπιδέδωκα:-

Νόννος διάκονος μονῆς τοῦ μακαρίου Παύλου, ὁμοίως ἐπιδέδωκα:
Σολομὼν μοναχὸς μονῆς τοῦ μακαρίου Οὐαλεντίνου, ἐπιδέδωκα:
Συμεώνης μοναχὸς μονῆς τοῦ μακαρίου Ἀγαπητοῦ, ἐπιδέδωκα:
Σέργιος μοναχὸς μονῆς τοῦ μακαρίου Συμεῶνος, ἐπιδέδωκα:
Ἀλφειὸς μοναχὸς μονῆς τοῦ μακαρίου Ἰακώβου, ἐπιδέδωκα:
Φίληξ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου, ἐπιδέδωκα:
Συμεώνης μοναχὸς μονῆς Ἰουγάπων τοῦ μακαρίου Παύλου, ἐπιδέδωκα:-
Παῦλος μοναχὸς μονῆς τοῦ μακαρίου Ἡσυχίου, ἐπιδέδωκα:
Κυριακὸς μοναχὸς μονῆς τοῦ μακαρίου Δωροθέου, ἐπιδέδωκα:-

## Ἀναφορὰ πρὸς Ἰωάννην πατριάρχην, παρὰ τῆς ἐνδημούσης συνόδου:-

Τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων· ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ πατριάρχῃ, Ἰωάννῃ· ἡ ἐνδημοῦσα κατὰ τὴν φιλόχριστον ταύτην καὶ βασιλίδα πόλιν σύνοδος, ἐν κυρίῳ χαίρειν. ἐπειδὴ ὁ θεὸς ὁ πάντων δεσπότης ἐπὶ συμφέροντι τῆς ὀρθοδοξίας· καὶ συστάσει τῆς καθολικῆς ἐκκλησίας· κατὰ τὴν παρελθοῦσαν κυριακήν τε καὶ δευτέραν· λειτουργίας ἐπιτελουμένης ἐν τῇ ἁγιωτάτου θεοῦ ἐκκλησίᾳ, τῆς βασιλίδος ταύτης πόλεως· μία φωνὴ ἐκίνησε τὸν ἀναρίθμητον τῶν μυριάδων



λαόν· ὥστε ζήλῳ θείῳ τοῦτον ἐκκαυθέντα, ἐπὶ πολὺ καὶ ἐπιμόνως αἰτῆσαι τὴν ὑμετέραν μακαριότητα ἐπὶ τοῦ ἄμβωνος ἀνελθεῖν καὶ προσφωνῆσαι ὑπὲρ τῆς ὀρθῆς πίστεως· ὑπὲρ ἧς ἀεὶ ἠγωνίσασθε καὶ ἀγωνίζεσθε· καὶ τοῦτο ποιησάντων ὑμῶν, ἐκβοήσεις γεγόνασι καθὼς εἴρηται, πλεῖσται καὶ ἐπίμονοι τοῦ λαοῦ· ὑμᾶς μὲν ἐπὶ τῇ ὀρθοδοξίᾳ, εὐφημοῦντος· τοὺς δὲ πρὸ ὑμῶν ἐκβληθέντας πατέρας, ἀνακληθῆναι ἐξαιτοῦντος· ὁ δὲ ὑμέτερος ἄγγελος· τῇ ἡμετέρᾳ δοκιμασίᾳ τὸ παρ' αὐτοῦ ἀποδεδωκὼς, τὰ δέοντα σκοπῆσαι προσέταξεν, ὅπως καὶ ἀναλογισάμεθα τὰ παρακολουθήσαντα καὶ τυπωθέντα παρ' ἡμῶν, δι' ἀναφορᾶς πρῶτον τῇ ὑμετέρᾳ μακαριότητι ἀναγαγεῖν· καὶ τότε δι' ὑμῶν, τῷ εὐσεβεστάτῳ καὶ κρατίστῳ ἡμῶν βασιλεῖ, δῆλα καταστῆσαι. ἔστι δὲ ταῦτα, κατὰ τὴν εἰκάδα τοῦ ἐνεστῶτος Ἰουλίου μηνὸς τῆς παρούσης ἐνδεκάτης ἐπινεμήσεως· ὑπατείας Μάγνου τοῦ λαμπροτάτου· ἅπαν τὸ μοναχικὸν τάγμα τῆς φιλοχρίστου ταύτης καὶ βασιλίδος πόλεως· ἐκ διαφόρων συνελθὸν μοναστηρίων· τοῦτο μὲν, ἀρχιμανδριτῶν· τοῦτο δὲ καὶ τῶν λοιπῶν, λιβέλλους προσδέδωκε τῇ ἐνδημούσῃ ταύτῃ πάσῃ συνόδῳ ἡμῶν·

αἰτοῦμεν καὶ ἀναγνωσθῆναι τούτοις· καὶ τὰ περιεχόμενα
τοῖς λιβέλλοις κεφάλαια· δοκιμασθέντα παρ' ἡμῶν,
πέρατι παραδοθῆναι· μᾶλλον δέ, τύπῳ συνοδικῷ
ὑποβληθῆναι· ἀναγνωσθῆναι τοίνυν ποιήσαντες τοὺς
λιβέλλους· οὓς καὶ ὑπετάξαμεν τῷ δευτέρῳ τύπῳ, ταῦτα
περιέχειν ἐν τούτοις ἐγνώκαμεν· πρώτην αἴτησιν οἱ
λίβελλοι ἔχουσιν, ὥστε τοὺς ἐν ὁσίᾳ τῇ μνήμῃ
εὐφήμιον καὶ μακεδόνιον ἐκβληθέντας· καὶ ἐν
ἐξορίᾳ τετελευτηκότας, δικαίως καὶ κανονικῶς
ἀνακληθῆναι καὶ ἀποδοθῆναι τῷ καταλόγῳ τῶν
πρὸ αὐτῶν ἐν κωνσταντινουπόλει ἀναπαυσαμένων ἐνταῦθα ἀρχι
επισκόπων· πάντων ἀργῶν μενόντων, τῶν κατ' αὐτῶν
ὁπωσοῦν γενομένων· ἐντεθῆναι δὲ καὶ τοῖς ἱεροῖς
διπτύχοις, τὰς τούτων προσηγορίας· καθὼς ἅπας
ὁ λαὸς καὶ τὸ μοναχικὸν τάγμα, ἐπιμόνως καὶ ἐπὶ
πολύ, ἐξεβόησαν· ἡμεῖς δὲ τάξιν εὔτακτον τῇ αἰτή
σει ἐπιθεῖναι σπουδάζοντες· ἐζητήσαμεν τὰ πεπραγ
μένα ἐπ' αὐτοῖς· καὶ γνόντες διὰ τῆς ἀναγνώσεως
ὡς τὰ πλεῖστα τούτων, οὔτε σὺν ἀκριβείᾳ προῆλθον·
οὔτε πίστεως ἕνεκα δικαίως τὴν ἐκβολὴν ὑπέμειναν
οἱ μνημονευθέντες πατέρες· οὔτε ὡς παρασαλεύοντές
τι τῶν πρότερον τὴν ὀρθοδοξίαν πεφυλαγμένων,
ἀναγκαῖον ἐλογισάμεθα ταῖς αἰτήσεσι παντὸς τοῦ



λαοῦ· σὺν γυναιξὶ καὶ παισί· καὶ πάσης ἀξίας καὶ 675
στρατείας· ἀλλὰ μὴν καὶ τοῦ μοναχικοῦ τάγματος·
ἐπιμόνως ἐκβοησάντων κατὰ τοὺς προσδοθέντας
λιβέλλους, τὸ ἱκανὸν μετὰ τῆς ἀληθείας ποιῆσαι·
ἵνα καθὼς καὶ οἱ ἐν ἁγίοις τὴν μνήμην· παῦλος·
καὶ ἰωάννης· καὶ φλαβιανοί· πατέρες ταύτης τῆς
βασιλίδος πόλεως γενόμενοι ἀνεκλήθησαν, οὕτω
καὶ οἱ αὐτοὶ τῆς αὐτῆς τιμῆς· καὶ τῆς ἐν ταῖς ἱεραῖς
δέλτοις μνήμης, ἀξιωθῶσιν· ἅπερ οὖν συνεωρακό
τες ἐτυπώσαμεν, πρέπον ᾠήθημεν, ἀναγαγεῖν
τῇ ὑμετέρᾳ μακαριότητι· καὶ δι' αὐτῆς, τῷ εὐσε
βεστάτῳ ἡμῶν βασιλεῖ· δεύτερον κεφάλαιον
τοῖς λιβέλλοις περιείχετο, ὥστε τοὺς διὰ τὴν αἰτί
αν τῶν εἰρημένων πατέρων· εὐφημίου φαμὲν καὶ μακε
δονίου· ἐξοριασθέντας καὶ φυγαδευθέντας· ἐπα
νελθόντας ἀποδοθῆναι τοῖς ἰδίοις βαθμοῖς· ἐπεὶ
οὖν εὔλογος ἡ αἴτησις καὶ τῇ προτέρᾳ ἀκόλουθος,
συνείδομεν ὥστε τοὺς εἰρημένους βοηθηθῆναι
καὶ ἀνενεχθῆναι ἐπὶ τὸν εὐσεβέστατον καὶ γαλη
νότατον ἡμῶν βασιλέα· τρίτον κεφάλαιον
τῇ αἰτήσει περιείχετο, ὥστε τὴν ἁγίαν καὶ μεγά
λην σύνοδον τῶν τιη πατέρων· τῶν συναχθέντων
κατὰ τὴν νικαέων· τῶν καὶ τὸ ἅγιον σύμβολον

τῆς πίστεως, καὶ ὁρισάντων καὶ ἐκφωνησάντων·
εἰς ὃ καὶ ἐβαπτίσθημεν καὶ βαπτίζομεν· καὶ τὴν ἐν
Κωνσταντινουπόλει ἐπὶ Νεκταρίου τοῦ τῆς ὁσίας μνή-
μης, συνελθοῦσαν· καὶ κυρώσασαν τὸ προειρημένον
ἅγιον σύμβολον τῶν αὐτῶν τιη' πατέρων· καὶ τὴν ἐν
Ἐφέσῳ ὁμοίως βεβαιώσασαν τὸ αὐτὸ ἅγιον σύμ-
βολον τῶν τιη' πατέρων· καὶ τὴν ἐν Χαλκηδόνι ἐπι-
σφραγίσασαν ὡσαύτως τὸ προειρημένον ἅγιον
σύμβολον τῶν τιη' πατέρων, ἐντεθῆναι τοῖς ἱεροῖς
διπτύχοις· ἐπειδὴ οὖν εὔλογος ἡ αἴτησις· ἐπὶ συμ-
φέροντι γὰρ τῆς ἐκκλησιαστικῆς καταστάσεως
τὸ αἰτούμενον γίνεται, ἄξιον ἐκρίναμεν κατὰ τὰς
ἐκβοήσεις τοῦ λαοῦ καὶ τὰς προσφωνήσεις τῆς
ὑμετέρας μακαριότητος· καὶ κατὰ τὸν ἐπιδο-
θέντα λίβελλον παρὰ τῶν εὐσεβεστάτων ἀρχιμαν-
δριτῶν τε καὶ μοναχῶν, τὰς ἁγίας ταύτας συνόδους
ἀναγορεύεσθαι τοῖς διπτύχοις. Τέταρτον κεφά-
λαιον τῇ αἰτήσει τῶν εὐλαβεστάτων μοναχῶν
περιείχετο, ὥστε τὸ ὄνομα τοῦ τῆς ὁσίας μνήμης
προέδρου γενομένου τῆς Ῥωμαίων· Λέοντος
φημὶ τοῦ μακαριωτάτου ἐν ταῖς ἱεραῖς δέλτοις,
ὁμοίως ἀναγορεύεσθαι· καθὼς καὶ αἱ ἐκβοήσεις
τοῦ λαοῦ, ἀνενδότως καὶ ἐπιμόνως γεγένηνται·



ἐπειδὴ οὖν ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος· οὐ μόνον
Λέοντος τοῦ ἐν ὁσίᾳ τῇ μνήμῃ· ἀλλὰ καὶ Κυρίλλου
τοῦ τῆς Ἀλεξανδρέων γενομένου θεοφιλοῦς ποιμένος·
μνήμην ἐπὶ τῇ ὀρθοδοξίᾳ πεποίηται· καὶ Κύριλλος 56
μὲν ὁ τῆς Ἀλεξανδρέων, ἐν τοῖς διπτύχοις ἀναγο-
ρεύεται· Λέων δὲ ὁ τῆς ὁσίας μνήμης οὐκ ἀνα-
φέρεται, εὔλογον ἐκρίναμεν τὸ λεῖπον ἀναπλη-
ρωθῆναι· καὶ τοὺς ἴσως παρὰ τῆς ἁγίας ταύτης
συνόδου ἐπὶ συστάσει τῆς ὀρθοδοξίας τιμηθέντας·
ὁμοίως καὶ ἐν τοῖς ἱεροῖς διπτύχοις ἐπὶ ὠφελείᾳ
καὶ εἰρήνῃ τῆς ἐκκλησίας, κηρύττεσθαι· πέμ-
πτον κεφάλαιον ἐν ταῖς αὐταῖς δεήσεσιν ἐνέκειτο,
ὥστε τὸν τολμήσαντα κατὰ τῆς ἐν Χαλκηδόνι ἁγίας
συνόδου νεανιεύσασθαι· καὶ βλάσφημα ῥήματα
κατ' αὐτῆς ἐκχέαι· Σευῆρον φαμὲν τὸν ἐν Ἀντιο-
χείᾳ· ἀτάκτως καὶ προπετῶς ἐνεχθέντα, ἀνα-
θέματι ὑποβληθῆναι· καθὼς καὶ αἱ ἐπίμονοι
βοαὶ παντὸς τοῦ λαοῦ, ἐγένοντο· ἐπεὶ τοίνυν
ἔδει καὶ περὶ τούτου τύπον τὸν ἐναρμόζοντα
ἐκκλησιαστικῇ καταστάσει ἐξενεχθῆναι, ἀναγ-
καῖον ἐκρίναμεν, πρῶτον τοὺς βλασφήμους
αὐτοῦ λόγους ἐν μέσῳ πάσης ταύτης τῆς συνόδου,
ἀναγνωσθῆναι· προσεσχόντων παρ' αὐτοῦ

τολμηθέντων· ἔχει τοιγαροῦν τὰ παρ' αὐτοῦ κατὰ τῆς
ἁγίας συνόδου τολμηθέντα τε καὶ βλασφημηθέντα,
ἐπὶ λέξεως οὕτως· τὰ ἐν χαλκηδόνι ὑπὸ τῆς κατ' ἐ-
κεῖνο καιροῦ συνειλεγμένης συνόδου, τυπωθέντα·
καὶ τῶν ὑπὲρ ταύτης ἀγωνιζομένων, ἀναθεματί-
ζομεν· αὕτη τῆς μιαρᾶς αὐτοῦ φωνῆς ἡ βλασφημία·
οὐ μόνον δὲ αὕτη, ἀλλὰ καὶ ἕτεραι πολλαὶ δυσφη-
μίαι ἐν βίβλοις αὐτοῦ πομπεύονται κατὰ ταύτην
τὴν βασιλίδα πόλιν· αἷς οἱ τῆς ὀρθοδοξίας ἐρασταὶ
ἐντυγχάνοντες, ἐπεγέλασαν τῇ αὐτοῦ φρενοβλα-
βείᾳ ἀλλοκότως φερομένου· ἐπεὶ οὖν αὐτοκατή-
γορον ἔχει τὸν ἔλεγχον· οὐ μόνον ἐκ τῆς εἰρημένης
ταύτης φωνῆς· ἀλλ' ὡς προγέγραπται· καὶ ἐξ
ἑτέρων πλείστων τῆς αἰσχίστης αὐτοῦ γλώσσης δυσ-
φημιῶν κατὰ τῆς ἁγίας ταύτης συνόδου, τοῦτον
δικαίως ὡς ἀναθέματι αἰωνίῳ καὶ ἡμεῖς ὑποβά-
λομεν· παντὸς πράγματος· ὀνόματος· ἀξίας·
ἐνεργείας· χριστιανῷ ἢ ἱερατικῷ ἁρμοζούσης·
ἢ ἁρμόσαι δυναμένης, ἀλλοτριώσαντες· καὶ
γυμνὸν τῆς θείας κοινωνίας κατὰ τοὺς ἐκκλη-
σιαστικοὺς κανόνας, καταστήσαντες· ἀνθ' ὧν καὶ
βλασφημῆσαι καὶ συκοφαντῆσαι τὴν ἐν χαλ-
κηδόνι ἁγίαν σύνοδον, ἐπεχείρησεν· ἰδικῶς



ἐπισφραγισάσης τὸ σύμβολον τῶν τιη' ἁγίων
πατέρων τῶν ἐν νικαίᾳ συναχθέντων· ἀσάλευτόν τε
καὶ ἀπαρεγχείρητον τοῦτο ὑπάρχον, κηρυξάσης·
καθὼς καὶ οἱ ἐν κωνσταντινουπόλει καὶ οἱ ἐν
ἐφέσῳ συναχθέντες ὅσιοι πατέρες, ὁμοίως ἐβεβαί-
ωσαν· μεθ' ὧν καὶ ἡ ἐν χαλκηδόνι ἁγία σύνοδος,
τὰ ὅμοια ἐκδικεῖ· προλάμπειν πανταχοῦ τοῦτο
κελεύσασα· ἕνεκεν τούτου οὐ μόνον ὡς βλάσφη-
μον· ἀλλὰ καὶ ὡς συκοφάντην· καὶ πάσας
τὰς ἁγίας συνόδους διὰ τῆς συνόδου ταύτης
ὑβρίσαντα τὸν προειρημένον σευῆρον· ἔρη-
μον πάσης τιμῆς καταστήσαντες, ἀναθέματι
ὑπεβάλομεν· ταῦτα παρ' ἡμῶν δοκιμασθέντα
καὶ τυπωθέντα ἐπὶ τὸν ὅσιον ἄγγελον τῆς σῆς
μακαριότητος ἐσπουδάσαμεν· δυσωπήσαντες
καὶ ὑπογράψαντες ἕκαστος τῇ ἰδίᾳ χειρὶ ἀναγα-
γεῖν· καὶ ὑποτάξαντες τοὺς προσδοθέντας ἡμῖν
λιβέλλους πρὸς ἐπίγνωσιν ἀληθείας· ὥστε
διὰ τῆς ὑμετέρας μακαριότητος ταῦτα ἐλθεῖν
καὶ εἰς τὸν κράτιστον καὶ γαληνότατον ἡμῶν
βασιλέα· καὶ τὴν εὐσεβεστάτην καὶ φιλόχριστον
αὐγοῦσταν· καὶ τὴν ἔνδοξον αὐτῶν καὶ μεγάλην
σύγκλητον :—

Ὑπογραφαί:-

Θεόφιλος ἐλέῳ θεοῦ ἐπίσκοπος Ἡρακλείας Εὐρώπης, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Στέφανος ἐπίσκοπος Νικομηδείας, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Βασιλίσκος ἐπίσκοπος Κυζίκου, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Ἀναστάσιος ἐπίσκοπος Νικαίας, ὑπέγραψα τῇ ἀναφορᾷ, χειρὶ ἐμῇ:-

Μαρκιανὸς ἐπίσκοπος Χαλκηδόνος, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Θεόδοτος ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Ὑπάτιος ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν τῆς Ὁνωριατῶν ἐπαρχίας, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Κυριακὸς ἐπίσκοπος τῆς Τυανέων τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Ἰω. ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν τῆς Ἰσαύρων χώρας, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Σχολαστικὸς ἐπίσκοπος Ναζιανζοῦ, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Ἰωάννης ἐπίσκοπος Βοοσπόρου, ὑπέγραψα τῇ ἀναφορᾷ:-





Πυθαγόρας ἐπίσκοπος τῆς Σινωπέων τῆς Ἑλενοποντίων ἐπαρχίας, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Ἀνδρέας ἐπίσκοπος τῆς Τιανῶν τῆς Ὁνωριατῶν ἐπαρχίας, ὑπέγραψα τῇ ἀναφορᾷ:- 678

Θεόδωρος ἐπίσκοπος τῆς κατὰ Ἀδριανοῦ πόλιν ἐκκλησίας τῆς Ὁνωριατῶν ἐπαρχίας, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Θαλάσσιος ἐπίσκοπος Δορυλέου, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Δωρόθεος ἐλάχιστος ἐπίσκοπος τῆς Κῴων νήσου, ὑπέγραψα τῇ ἀναφορᾷ:-

Ἀμμώνιος συγχωρήσει θεοῦ ἐπίσκοπος τῆς Ἀβυδηνῶν, ὑπέγραψα:-

Εὐστάθιος ἐπίσκοπος τῆς Φιλαδελφέων μητροπόλεως τῆς Λυδῶν ἐπαρχίας, ὑπέγραψα τῇ ἀνα:-

Πλάτων ἐπίσκοπος τῆς Κραπανῶν πόλεως, ὑπέγραψα:-

Φωκᾶς ἐπίσκοπος τῆς Δαρδάνου, ὑπέγραψα:-

ΦανΖιυς εξιGιυς επισCοπυς ΝιCοπολιτανα ιCιυιΤαΖις ωυσιαεσιCυνδαεCευμ δσCριπ σιρροππιαπαννη:-

Κυριακὸς ἐπίσκοπος τῆς Νεοκαισαρέων τῆς Βιθυνῶν ἐπαρχίας, ὑπέγραψα:-

Παῦλος· ἐπίσκοπος καισαρείας βιθυνίας, ὑπέγραψα:-
Ἰωάννης· ἐπίσκοπος φαναγόρεως, ὑπέγραψα τῇ ἀνα
φορᾷ:-
Ἀκυλᾶς· ἐπίσκοπος τῆς προιμμησίων πόλεως, ὑπ:-
Στέφανος· ἐπίσκοπος τῆς ἀμασασιου πόλεως τῆς
φρυγῶν πακατιανῆς, ὑπέγραψα τῇ ἀναφορᾷ:-
Πελάγιος· ἐπίσκοπος τῆς αἰζανιτῶν πόλεως, ὑπ:-
Ἰωάννης· ἐπίσκοπος τῆς γορδορείων· ἐπαρχίας ἀσί(ας),
ὑπέγραψα:-
Κυριακός· ἐπίσκοπος βασιλινουπόλεως, ὑπ:-
Ἰωάννης· ἐπίσκοπος τῆς ὑματῶν πόλεως τῆς παμ
φύλων χώρας, ὑπέγραψα:-
Φωτεινός· ἐπίσκοπος τῆς οὐαμανενδεωτῶν πόλεως,
τῆς παμφύλων χώρας, ὑπέγραψα:-
Ἰω· ἐπίσκοπος μρο πόλεως τῆς πατιδῶν χώρας, ὑπ
Κόνων· ἐπίσκοπος ἀδριανου πόλεως, ὑπέγραψα:-
Μάμας· ἐπίσκοπος τῆς ἀδριανῶν πόλεως· ἐπαρ
χίας φρυγίας, ὑπέγραψα:-
Μακεδόνιος· ἐπίσκοπος ἐλούζων, ὑπέγραψα:-
Ἰωάννης· ἐπίσκοπος τῆς ὑδητῶν πόλεως, ὑπ:-
Μαρκιανός· ἐπίσκοπος τῆς κατὰ μαρκιανὴν τὴν
πόλιν ἁγιωτάτης ἐκκλησίας, ὑπέγραψα:-

82

Ἀντίπατρος· ἐπίσκοπος, ὑπέγραψα τῇ ἀναφορᾷ:-
Γοργόνιος· ἐπίσκοπος οὐραδίας, ὑπέγραψα:-
Φώτιος· ἐπίσκοπος τῆς εὐδοκιατῶν τῆς λυκίων
ἐπαρχίας, ὑπέγραψα:-
Ἰωάννης· ἐπίσκοπος ὀλύμπου τῆς λυκίων ἐπαρ
χίας, ὑπέγραψα:-
Νικόλαος· ἐπίσκοπος τῆς ῥοδιαπολιτῶν ἁγίας
τοῦ θεοῦ ἐκκλησίας· τῆς λυκίων ἐπαρχίας, ὑπ:-
[illegible]
[illegible]
[illegible]

Τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις· πᾶσι καὶ ἐπι
σκόποις· θεοφίλω· βασιλίσκω· ἀναστασίω·
μαρκιανῶ· θεοδότω· ὑπατίω· θεοδώρω· ἰω
πυθαγόρα· καὶ τῇ λοιπῇ εὐαγεῖ συνόδω· ἐνδη
μούσῃ κατὰ ταύτην τὴν βασιλίδα πόλιν· παρὰ
ἀλεξάνδρου· κωνστα· διογένους· εὐηθίου·
ἀντωνίνου· ἀκακίου· ἰωάννου· σολομῶνος· λεον
τίου· ἰωάννου· πολυχρονίου· ἀνατολίου· μαρτυ
ρίου· κυριακοῦ· ἰουλιανοῦ· ἀλεξάνδρου·
ἰακώβου· χρυσίππου· ἰωάννου· βασιλικοῦ· βαβυλᾶ·
ὑπατίου· μάρκου· καὶ τῶν λοιπῶν πρεσβυ
τέρων καὶ ἀρχιμανδριτῶν τῶν εὐαγῶν μοναστη

ρίων τῶν διακειμένων κατὰ τὴν φιλόχριστον καὶ
βασιλίδα πόλιν, καὶ παντὸς τοῦ μοναχικοῦ τάγματος·
Μέλει μὲν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ τῆς τε πίστεως τῆς ὀρθῆς,
καὶ τῆς ἀληθοῦς εὐταξίας τῶν ἁγιωτάτων ἐκκλησιῶν,
καὶ πρὸ τῆς ἡμετέρας αἰτήσεως· ἐπειδὴ δὲ καὶ ἡμᾶς
ἔδει μέρος γενέσθαι τῶν εἰς δόξαν θεοῦ λυσιτελούντων,
δίκαιον ἡγησάμεθα, πρῶτον μὲν εὐχαριστῆσαι τῷ σκο-
πῷ τῆς ὑμετέρας ἁγιωσύνης· καὶ εὐσεβεῖ ζήλῳ τῶν
καλλινίκων ἡμῶν βασιλέων· εἶθ' οὕτως, ἐπὶ τὴν
παροῦσαν ἰδεῖν δέησιν· δι' ἧς ἀξιοῦμεν πάντων
ἡμεῖς· καὶ δι' ἡμῶν, ὅλος πως κατάλογος τῶν εὐλα-
βεστάτων μοναχῶν· ὡς ἐκ μιᾶς γνώμης· τὰ καλῶς
καὶ συμφερόντως κινηθέντα ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ
ἐκκλησίᾳ τῆς βασιλίδος ταύτης πόλεως παρὰ τοῦ
πιστοτάτου λαοῦ· καὶ προσφωνηθέντα πρὸς τὸν
αὐτὸν φιλόχριστον λαόν, παρὰ τοῦ τὰ πάντα ὁσιω-
τάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν καὶ
οἰκουμενικοῦ πατριάρχου, ἰωάννου· ταῦτα διὰ
φωνῆς τῆς ἁγιωτάτης ὑμῶν συνόδου, ἐγγράφως
δέξασθαι τὸ κῦρος· καὶ τοὺς οὐκ ἴσμεν ὅπως ἐξω-
θέντας ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένους πατέρας ἡμῶν·
φαμὲν εὐφήμιον καὶ μακεδόνιον, τούτους ἐπὶ τοῦ
παρόντος, δικαίως καὶ κανονικῶς ἀνακληθῆναι·



καὶ ἀποδοθῆναι τῷ καταλόγῳ τῶν πρὸ αὐτῶν ἐν-
ταῦθα ἐν κυρίῳ ἀναπαυσαμένων ἀρχιεπισκόπων·
πάντων ἀργῶν μενόντων τῶν κατ' αὐτῶν ὁπωσοῦν
γενομένων· προστεθῆναι δὲ ταῖς ἁγίαις δέλτοις
σὺν αὐτοῖς, καὶ τὸ θεοφιλὲς ὄνομα τοῦ τῆς ῥώμης
ἀρχιεπισκόπου γενομένου, λέοντος· τὸ δὲ πάντων
μέγιστον καὶ πάντας διεγεῖρον πρὸς τὴν ὀρθοδοξίαν,
αἰτοῦμεν ὑμᾶς ὁσιώτατοι· ὅπως καὶ τὰς κατὰ
καιρὸν ὑπὲρ εὐσεβείας συναθροισθείσας ἁγίας
συνόδους, ἐντεθῆναι ταῖς αὐταῖς δέλτοις· τουτέστι
τῶν τε ἐν νικαίᾳ· ἐκφωνησασῶν τὸ ἅγιον σύμβολον·
ἐν ᾧ ἐβαπτίσθημεν καὶ βαπτίζομεν· καὶ τὴν ἐν
κωνσταντινουπόλει τοῦτο κυρώσασαν· καὶ τὴν
ἐν ἐφέσῳ ὁμοίως βεβαιώσασαν· καὶ τὴν ἐν χαλκη-
δόνι ὡσαύτως ἐπισφραγίσασαν· πρὸς τούτοις
δέ, παρακαλοῦμεν προστεθῆναι καὶ τοῦτο· ὥστε
καὶ σευῆρον τὸν ἄθεσμα κατὰ τῆς ἐκκλησιαστικῆς
εὐταξίας τολμήσαντα εἰπεῖν, ἀναθεματισθῆναι·
ὁμοίως δὲ ἐξαιτοῦμεν, καὶ τοὺς διὰ τὴν αἰτίαν
τῶν προειρημένων ὁσιωτάτων ἐπισκόπων, ἐξε-
λαθέντας· ἐπισκόπους τε καὶ κληρικούς· καὶ
ἀρχιμανδρίτας· καὶ μοναχούς· καὶ λαϊκούς,
τούτους διὰ πρεσβείας ὑμετέρας· γινομένης

προσέτι τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἀρχιεπίσκοπον
ἡμῶν καὶ οἰκουμενικὸν πατριάρχην, Ἰωάννην· καὶ
τοῖς εὐσεβεστάτοις καὶ καλλινίκοις ἡμῶν βασιλεῦσιν,
ἐπαρακληθῆναι καὶ ἀποδοθῆναι τῇ οἰκείᾳ τάξει·
καὶ ἵνα μὴ εἰς πλῆθος λόγων ἐκτείνωμεν τὰς ἱκετη,
παρακαλοῦμεν τάς τε ἐκβοήσεις παντὸς τοῦ φιλο-
χρίστου λαοῦ· καὶ τὰς προσφωνήσεις τὰς γενομένας
ἐν τῇ εἰρημένῃ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ παρὰ
τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκου-
μενικοῦ πατριάρχου· διὰ τῆς ἱερᾶς ὑμῶν φωνῆς
καὶ ὑποσημειώσεως καὶ εὐσεβοῦς τύπου τοῦ καλ-
λινίκου ἡμῶν βασιλέως, βεβαιωθῆναι τὰς ἐκ-
βοήσεις καὶ προσφωνήσεις, ὑπετάξαμεν:-

581. ὑπογραφαί:

Ἀλέξανδρος· ἐλέῳ θεοῦ πρεσβύτερος· ἀρχιμανδρί-
της καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων, ὑπέ-
γραψα χειρὶ ἐμῇ:-
Κώνστας· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ὁσίου Δίου, ὑπέγραψα:-
Διογένης· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ὁσίου Θαλασσίου, τῶν ἀνυποδύτων:-
Συνήθιος· διάκονος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Ἀκοιμήτων, ὑπέγραψα:-



Ἰωάννης πρεσβύτερος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας·
καὶ ἡγούμενος τοῦ ἐν ἁγίοις Εὐσεβίου, ὑπέγραψα:-
Ἀντωνῖνος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν
Ἀβραμίου, ὑπέγραψα:-
Ἀκάκιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
ἁγίου Κυριακοῦ, ὑπέγραψα:-
Δόμνος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
τῆς ὁσίας μνήμης Ἰώβ, ὑπέγραψα:-
Ἰωάννης· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ τῆς ὁσίας μνήμης Μανουηλίου, ὑπέγραψα:-
Λεόντιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς τοῦ
ἐν ὁσίοις Τρύφωνος, ὑπέγραψα:-
Ἰωάννης· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Κώνστα, ὑπέγραψα:-
Πολυχρόνιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης
μονῆς τῆς ἐν τῷ αἰθρίῳ, ὑπέγραψα:-
Σωφρόνιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μο-
νῆς τῆς ἐπίκλην ἐν τῷ Καλάμῳ, ὑπέγραψα:-
Ἀνατόλιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης
μονῆς τῆς Ἀστερίου, ὑπέγραψα:-
Μαρτύριος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης
μονῆς τοῦ ὁσίου Βασσιανοῦ, ὑπέγραψα:-
Κυριακός· πρεσβύτερος καὶ ἀρχιμανδρίτης

μονῆς τῆς ἐπίκλην τῶν Σύρων, ὑπέγραψα:-
Ἰουλιανός· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ἐν ὁσίοις Φωκᾶ, ὑπέγραψα:-
Ἰάκωβος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Ῥωμαίων τῆς ἐν τῷ Πετρίῳ, ὑπέγραψα:-
Χριστῖνος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ἐν ὁσίοις Θεοδώρου, ὑπέγραψα:-
Ἰωάννης· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Στουδίου, ὑπέγραψα:-
652. Βασιλικός· πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς
ἁγίας Εὐφημίας τῆς ἐν τοῖς Ὀλυμβρίου, ὑπ(έγραψα):-
Βαβύλας· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ὁσίου Δανιὴλ τῆς ἐν τῷ Σύλῳ, ὑπέγραψα:-
Ὑπάτιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Ὀλυμπίου, ὑπέγραψα:-
Μάρκος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Ἱερουσαλήμ, ὑπέγραψα:-
Κυριακός· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Ἀναστασίου ἐν τῷ Ἀσιγωνῷ, ὑπέγραψα:-
Σωφρόνιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Θεοδώρου Αἰγυπτίου, ὑπέγραψα:-
Ἠλίας· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
ἐν ὁσίοις Εὐθυμίου, ὑπέγραψα:-



Ῥαβουλᾶς· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῆς ἐπίκλην τοῦ τῆς ὁσίας μνήμης Ἡλία, ὑπέγραψα:-
Ἀνδρέας· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῆς ἐπίκλην Κυριακοῦ, ὑπέγραψα:-
Ἀρίστων· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς
ἐπίκλην Ἰωάννου, ὑπέγραψα:-
Ζώσιμος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Μαξίμου, ὑπέγραψα:-
Ἰωάννης· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Κύρου ἐν τοῖς Ἐλεβίχου, ὑπέγραψα:-
Τιμόθεος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης, ὑπ(έγραψα):-
Ζώϊλος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Θεοδότου, ὑπέγραψα:-
Δωρόθεος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Θεοδώρου, ὑπέγραψα:-
Φωτεινός· πρεσβύτερος καὶ ἀρχιμανδρίτης, ὑπ(έγραψα):-
Παντολέων· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῆς λεγομένης Βεναντίου, ὑπέγραψα:-
Ὑπάτιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Χαρσίου, ὑπέγραψα:-
Εὐγένιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ἁγίου Γεωργίου ἐν τῷ Ξηροκέρκῳ, ὑπ(έγραψα):-
Εὐτύχιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς

τῶν Λυκαόνων· πλησίον τοῦ ἁγίου Λαυρεντίου, ὑπ(έγραψα):-
Ἀλέξανδρος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης, ὑπ(έγραψα):-
Συμεώνης· πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῶν
Καϊουμᾶ, ὑπέγραψα:-
Ἐλευθέριος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Παυλίνου, ὑπέγραψα:-
Ἀμβρόσιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῆς ἁγίας Μαρίας τῆς ἐν τῷ Λιθοστρώτῳ, ὑπέγραψα:-
Σάββας· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
ἁγίου Θωμᾶ πλησίον τῆς Κιστέρνης, ὑπέγραψα:-
Παῦλος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Λυκαόνων, ὑπέγραψα:-
Βιβέντιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῆς ἐπίκλην τῶν Ῥωμαίων, ὑπέγραψα:-
Ἀλέξανδρος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μο-
νῆς τῶν Κυκλώπων, ὑπέγραψα:-
Ἰορδάνης· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῆς ἁγίας Μαρίας· πλησίον τοῦ ἁγίου Λουκᾶ, ὑπ(έγραψα):-
Ζηνόβιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Μαρωνίου ἐν Συκαῖς, ὑπέγραψα:-
Ἀνατόλιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Φιλίππου, ὑπέγραψα:-
Ἰάκωβος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς



τῆς ἁγίας Μαρίας· πλησίον τῶν Βουκολίων, ὑπ(έγραψα):-
Ἠλίας· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Σα-
μουὴλ τοῦ ἐν Συκαῖς, ὑπέγραψα:-
Λεόντιος· πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ἁγίου ἀρχαγγέλου τοῦ ἐν τοῖς Πουσέου, ὑπ(έγραψα):-

Ὅπως ἐκηρύχθησαν αἱ σύνοδοι:-

Εσόδου γενομένης κατὰ τὸ σύνηθες ἐν τῇ ἁγιωτάτῃ
ἡμῶν μεγάλῃ ἐκκλησίᾳ· ἐν ἡμέρᾳ κυριακῇ τῇ ιϛ
τοῦ ἐνεστῶτος Ἰουλίου μηνὸς τῆς ἑνδεκάτης ἐπινεμή-
σεως· παρὰ τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου ἀρχι-
επισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου, Ἰωάννου·
ὡς οὐκ ἀγνοεῖ καὶ ἡ ὑμετέρα θεοφίλεια· ἐν τῷ
γενέσθαι αὐτὸν σὺν τῷ εὐαγεῖ κλήρῳ περὶ τὸν ἄμβωνα,
φωναὶ γεγόνασιν ἀπὸ τοῦ λαοῦ, λέγουσαι· πολλὰ
τὰ ἔτη τοῦ πατριάρχου· πολλὰ τὰ ἔτη τοῦ βασιλέως·
πολλὰ τὰ ἔτη τῆς αὐγούστης· πολλὰ τὰ ἔτη τοῦ πατρι-
άρχου· ἀκοινώνητοι, διὰ τί μένομεν· ἐπὶ τοσαῦτα
ἔτη, διὰ τί οὐ κοινωνοῦμεν· ἐκ τῶν χειρῶν σου κοι-
νωνῆσαι θέλομεν· ἔξω· ἄνελθε εἰς τὸν ἄμβωνα·
ἔξω· πεῖσον τὸν λαόν σου· διὰ πολλῶν ἐτῶν, κοινω-
νῆσαι θέλομεν· ὀρθόδοξος εἶ· τίνα φοβῆσαι· 684
ἄξιε τῆς τριάδος· πολλὰ τὰ ἔτη τοῦ βασιλέως·
πολλὰ τὰ ἔτη τῆς αὐγούστης· Σευῆρον τὸν Μανιχαῖον,

ἔξω βάλε· ὁ μὴ λαλῶν, μανιχαῖός ἐστιν· ἀνασκαφῇ
τὰ ὀστᾶ τῶν μανιχαίων· τὴν ἁγίαν σύνοδον, ἄρτι κή-
ρυξον· πολλὰ τὰ ἔτη τοῦ βασιλέως· πολλὰ τὰ ἔτη
τοῦ πατριάρχου· ἄξιε τῆς τριάδος· ἡ ἁγία σύνοδος,
ἄρτι κηρυχθήτω· ἄξιε τῆς τριάδος· ἡ ἁγία Μαρία,
θεοτόκος ἐστίν· ἄξιε τοῦ θρόνου· ἡ ἁγία Μαρία, θεοτόκος
ἐστίν· ἡ ἁγία σύνοδος τοῦτο εἶπεν· ὁ μὴ λαλῶν, μανι-
χαῖός ἐστι· νικᾷ ἡ πίστις τῆς τριάδος· νικᾷ ἡ πίστις
τῶν ὀρθοδόξων· τὴν ἁγίαν σύνοδον, ἄρτι κήρυξον·
ὀρθόδοξος βασιλεύει· τίνα φοβῆσαι· νικᾷ ἡ
πίστις τοῦ βασιλέως· νικᾷ ἡ πίστις τῆς αὐγούστης· τοῦ
νέου Κωνσταντίνου, πολλὰ τὰ ἔτη· τῆς νέας Ἑλένης,
πολλὰ τὰ ἔτη· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἄξιε
τῆς τριάδος· Ἰουστῖνε αὔγουστε· τυν βίκας· τοῦ
νέου Κωνσταντίνου, πολλὰ τὰ ἔτη· ἢ ἐξέρχῃ, ἢ
κηρύσσῃς· πολλὰ τὰ ἔτη τοῦ βασιλέως· Ἰουστῖνε αὔ-
γουστε· τυν βίκας· τὴν σύνοδον Χαλκηδόνος, ἄρτι
κήρυξον· Ἰουστῖνος βασιλεύει· τίνα φοβῆσαι·
Σευῆρον τὸν μανιχαῖον, ἔξω βάλε· τὴν σύνοδον Χαλ-
κηδόνος, ἄρτι κήρυξον· ὁ μὴ ἀναθεματίζων Σευῆρον,
μανιχαῖός ἐστιν· ἀνάθεμα Σευήρῳ τῷ μανιχαίῳ· ὁ
μὴ λαλῶν, μανιχαῖός ἐστιν· ἔξω βάλε Σευῆρον· τὸν
νέον Ἰούδαν, ἔξω βάλε· τὸν ἐπίβουλον τῆς τριάδος,



ἔξω βάλε· τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον· εἰς μαρτύ-
ρομαι· ἢ κηρύσσῃς, ἢ ἐξέρχῃ· πιστός ἐστιν· οὐκ ἔνι θεωρῶν·
ἀδελφοὶ χριστιανοί· μία ψυχή· Ἰουστῖνε αὔγουστε·
τυν βίκας· εἰ φιλεῖς τὴν πίστιν, Σευῆρον ἀναθεμά-
τισον· εἰς μαρτύρομαι· εἰς σύρωσι· εἰς τὰς θύρας
κλείω· ὁ μὴ λαλῶν, μανιχαῖός ἐστι· μαρτύρομαί σε·
οὐδὲν παρίημι· ὀρθόδοξος βασιλεύει· τίνα φοβῆσαι·
τοῦ ὀρθοδόξου βασιλέως, πολλὰ τὰ ἔτη· Σευῆρον τὸν
ἐπίβουλον τῆς τριάδος, ἔξω βάλε· τὸν νέον Ἰούδαν,
ἔξω βάλε· ὁ μὴ λαλῶν, μανιχαῖός ἐστιν· εἰς σύναξιν
τῇ συνόδῳ· εἰς ἄρτι κήρυξον· μὰ τὸ εὐαγγέλιον,
οὐδὲν παρίημι· εἰς μαρτύρομαι· πολλὰ τὰ ἔτη τοῦ
βασιλέως· τοῦ νέου Κωνσταντίνου, πολλὰ τὰ ἔτη·
τοῦ ὀρθοδόξου βασιλέως, πολλὰ τὰ ἔτη· τῆς νέας
Ἑλένης, πολλὰ τὰ ἔτη· Σευῆρον ἔξω βάλε· τὸν νέον
Ἰούδαν, ἔξω βάλε· τὸν ἐπίβουλον τῆς τριάδος, ἔξω
βάλε· πολλὰ τὰ ἔτη τοῦ βασιλέως· ἀδελφοί, χρι-
στιανοί· μία ψυχή, πίστις ἐστίν· οὐκ ἔνι ἁπλῶς· ἡ ἁγία
Μαρία, θεοτόκος ἐστί· ταῦτα καὶ ἡ σύνοδος εἶπε· ταῦτα
αὐτῶν ἐκβοησάντων, ἐδόθη αὐτοῖς ἀπόκρισις,
παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπι-
σκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου,
αὕτη· μακροθυμήσατε ἀδελφοί· ἵνα πρότερον

προσκυνήσωμεν τὸ ἅγιον θυσιαστήριον. καὶ μετὰ τοῦτο,
δίδωμι ὑμῖν ἀπόκρισιν. καὶ εἰσελθόντες εἰς τὸ ἅγιον
θυσιαστήριον, ἐπέμειναν κράζοντες. πολλὰ τὰ ἔτη
τοῦ βασιλέως. πολλὰ τὰ ἔτη τῆς αὐγούστης. εἰς μαρτύ-
ρομαι. οὐκ ἐξέρχῃ ἐὰν μὴ ἀναθεματίσῃς Σευῆρον.
ἀνάθεμα Σευήρῳ, φανερῶς εἰπέ. εἰς ἀποκλαον.
εἰς μαρτύρομαι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. καὶ
λοιπὸν ἀνελθὼν ἐπὶ τοῦ ἄμβωνος ὁ ἁγιώτατος καὶ
μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ οἰκου-
μενικὸς πατριάρχης Ἰωάννης, προσεφώνησε ταῦτα.
οἴδατε τοὺς ἐμοὺς ἀγῶνας ἀγαπητοί. οὓς καὶ ἐν τῷ
πρεσβυτερίῳ ὤν, κατεβαλόμην. καὶ νῦν ἀντέσχον
τῆς ὀρθοδοξίας. καὶ ἀντέχομαι ἕως θανάτου. οὐ
χρεία τοίνυν ταραχῆς ἢ θορύβου. οὔτε γὰρ τι παρε-
βάθη τῆς ὀρθῆς πίστεως, οὔτε ἁγίαν σύνοδον τολ-
μᾷ τις ἀναθεματίσαι. ἀλλὰ πάσας τὰς ἁγίας
συνόδους τὰς βεβαιωσάσας τὸ ἅγιον σύμβολον
τῶν τιη' ἁγίων πατέρων. τῶν συνελθόντων κατὰ τὴν
Νικαίων, ὀρθοδόξους γινώσκομεν. καὶ μάλιστα
τὰς ἁγίας τρεῖς συνόδους ταύτας. τουτέστι τὴν ἐν
Κωνσταντινουπόλει. καὶ τὴν ἐν Ἐφέσῳ. καὶ τὴν
μεγάλην τὴν ἐν Χαλκηδόνι. ἰδικῶς γὰρ τὸ σύμ-
βολον τῶν τιη' ἁγίων πατέρων. εἰς ὃ βαπτιζόμεθα,



αὗται αἱ ἅγιαι τρεῖς σύνοδοι, ὁμοφώνως ἐβεβαίω-
σαν. καὶ μετὰ τὴν προσφώνησιν. ἐπιμενόντων
αὐτῶν ἐπὶ πλείστας ὥρας ταῖς αὐταῖς φωναῖς. καὶ
προστεθέντων. οὐκ ἐξέρχῃ ἐὰν μὴ ἀναθεματίσῃς.
πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. ἄξιε τῆς τριάδος. πολ-
λὰ τὰ ἔτη τοῦ βασιλέως. πολλὰ τὰ ἔτη τῆς αὐγούστης.
τὴν σύναξιν τῆς συνόδου Χαλκηδόνος, ἄρτι κή-
ρυξον. οὐκ ἀναχωρῶ ἐὰν μὴ κηρύξῃς. ἕως ὀψέ
ὧδε ἐσμέν. τὴν σύναξιν εἰς τὴν αὔριον κήρυξον.
τὴν μνήμην τῶν πατέρων, αὔριον κήρυξον. τῶν ἐν
Χαλκηδόνι πατέρων τὴν σύναξιν, αὔριον κήρυξον.
σήμερον ἐὰν κηρύξῃς, αὔριον ἐπιτελεῖται. οὐκ
ἀναχωρῶ ἐὰν μὴ κηρύξῃς. τοὺς ἀναθεματίσαν-
τας Νεστόριον καὶ Εὐτυχέα, εἰς τὴν αὔριον κήρυ-
ξον. ἐὰν μὴ λάβω ἀπόκρισιν, ἕως ὀψὲ ὧδε
εἰμί. καὶ προσεφώνησεν ὁ ἁγιώτατος καὶ μακα-
ριώτατος ἀρχιεπίσκοπος ἡμῶν. καὶ οἰκουμε-
νικὸς πατριάρχης Ἰωάννης οὕτως. ἐπειδὴ σύνα-
ξιν ᾐτήσατε τῶν ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι
ἐπιτελεσθῆναι, γινώσκοντες γνώσεσθε. ὅτι καὶ
τοῦτο ποιήσομεν, γνώμῃ τοῦ εὐσεβεστάτου καὶ
φιλοχρίστου ἡμῶν βασιλέως. ἐπιμενόντων
δὲ αὐτῶν. καὶ ταῖς αὐταῖς φωναῖς ἐκβοώντων. καὶ

προστεθέντων, οὐκ ἀναχωρῶ μὰ τὸ ἅγιον εὐαγγέλιον.
τὴν σύναξιν τῶν πατέρων δέσποτα κήρυξον. τῶν ἐν χαλκη-
δόνι πατέρων τὴν σύναξιν αὔριον ποίησον. ἐκηρύχθη
ἡ σύναξις διὰ Σαμουὴλ διακόνου, οὕτως· γνωρίζο-
μεν τῇ ὑμετέρᾳ ἀγάπῃ· ὅτι περ τῇ αὔριον, μνήμην
ἐπιτελοῦμεν τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἐπισκό-
πων γενομένων· τῶν κατὰ τὴν χαλκηδονέων μη-
τρόπολιν συναχθέντων· καὶ βεβαιωσάντων ἅμα τοῖς
ἐν Κωνσταντινουπόλει καὶ ἐν Ἐφέσῳ συναχθεῖσιν
ἁγίοις πᾶσι, τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων,
τῶν συναχθέντων κατὰ τὴν Νικαέων· συναγόμεθα
δὲ ἐνταῦθα. καὶ μετὰ τὴν προσφώνησιν τῆς συνά-
ξεως, πάλιν ἐπέμεινεν ὁ λαός. καὶ μιᾷ φωνῇ ἐπὶ
πολὺ ἔκραζον. Σευῆρος, δέσποτα ἀνάθεμα παθῇ. ὁ
ἐπίβουλος τῆς τριάδος, δέσποτα ἀνάθεμα παθῇ. ὁ κατὰ
τῶν πατέρων, δέσποτα ἀνάθεμα παθῇ. ὁ ἀναθεματίσας
τὴν σύνοδον χαλκηδόνος, δέσποτα ἀνάθεμα παθῇ.
οὐκ ἐξέρχομαι, ἐὰν μὴ δέσποτα ἀπόκρισιν λάβω.
μαρτύρομαι· ὀρθόδοξος εἶ, δέσποτα ἀναθεμάτισον.
ἢ ἀναθεμάτισον, ἢ οὐδὲν παρ' ἐμέ. καὶ ἐπὶ πολὺ
τοῖς αὐτοῖς ἐπιμενόντων αὐτῶν· παρόντων θεο-
φίλου τοῦ θεοφιλεστάτου ἐπισκόπου, τῆς Ἡρα-
κλεωτῶν. καὶ θεοδώρου τοῦ θεοφιλεστάτου ἐπι-





σκόπου τῆς Γαγγρηνῶν. καὶ Ὑπατίου τοῦ θεοφιλεστάτου ἐπι-
σκόπου, τῆς Κλαυδιουπολιτῶν. καὶ Ἰωάννου τοῦ θεοφι-
λεστάτου ἐπισκόπου, Βοοσπόρου. καὶ Πυθαγόρου τοῦ
θεοφιλεστάτου ἐπισκόπου, τῆς Σινωπέων. καὶ Ἰσαα-
κίου τοῦ θεοφιλεστάτου ἐπισκόπου, τῆς Πενταπόλεως
τῆς Ἑλλάδος. καὶ Ἰωάννου τοῦ θεοφιλεστάτου ἐπισκό-
που, Σεμνέων τῆς Παμφύλων χώρας. καὶ Ἀμαντίου
τοῦ θεοφιλεστάτου ἐπισκόπου, τῆς Νικοπολιτῶν. καὶ
Ἀμμωνίου τοῦ θεοφιλεστάτου ἐπισκόπου, τῆς Ἀβυδηνῶν.
Πλάτωνος τοῦ θεοφιλεστάτου ἐπισκόπου, τῆς Κρατι-
ηνῶν. Εὐσταθίου τοῦ θεοφιλεστάτου ἐπισκόπου, τῆς
Φιλαδελφέων. καὶ Πελαγίου τοῦ θεοφιλεστάτου ἐπι-
σκόπου, τῆς Ἀζανιτῶν. καὶ ἑτέρων θεοφιλεστάτων 637.
ἐπισκόπων. τῶν καὶ συναινούντων τῷ ἁγιωτάτῳ
καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ
πατριάρχῃ Ἰωάννῃ, προσεφωνήθη ταῦτα. ὅτι Σευῆρος
χωρίσας ἑαυτὸν τῆς ἁγίας ταύτης ἐκκλησίας, ἑαυτὸν
κρίματι ὑπέβαλε, πρόδηλον πᾶσιν· ἑπόμενοι τοί-
νυν καὶ ἡμεῖς τοῖς θείοις κανόσι καὶ τοῖς ἁγίοις πα-
τράσιν, ἀλλότριον τοῦτον ἡγούμεθα. καὶ ὑπὸ τῶν θεί-
ων κανόνων, διὰ τῆς αὐτοῦ βλασφημίας κατακριθέν-
τα, ἀναθεματίζομεν καὶ ἡμεῖς. τούτων παρακο-
λουθησάντων, τῇ κυριακῇ τῇ ἑξῆς· ἥ τις ἐστὶν ἑξκαι-

δεκάτῃ τοῦ Ἰουλίου μηνός· ἡμέρᾳ δευτέρᾳ· ἐπιτελου-
μένης τῆς μνήμης τῶν προλεχθέντων ἁγίων πατέρων· πά-
λιν τῆς εἰσόδου γινομένης παρὰ τοῦ ἁγιωτάτου καὶ μακα-
ριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου
Ἰωάννου, εὐθέως ἅμα τῷ γενέσθαι αὐτὸν πλησίον τοῦ
ἄμβωνος, φωναὶ ἦλθον ἀπὸ παντὸς τοῦ λαοῦ, οὕτως·
πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· πολλὰ τὰ ἔτη τοῦ βασιλέως·
πολλὰ τὰ ἔτη τῆς αὐγούστης· τοῦ νέου Κωνσταντίνου,
πολλὰ τὰ ἔτη· τῆς νέας Ἑλένης, πολλὰ τὰ ἔτη· τὸ
λείψανον Μακεδονίου, τῇ ἐκκλησίᾳ· Ἰουστινιανὲ αὔ-
γουστε τυινκας· εὐφημία αὐγούστα ζυινκας· τοὺς
ἐν ἐξορίᾳ διὰ τὴν πίστιν, τῇ ἐκκλησίᾳ· ἀνασκαφῇ
τὰ ὀστᾶ τῶν νεστοριανῶν· ἀνασκαφείη τὰ ὀστᾶ τῶν
εὐτυχιανιστῶν· τίς ἔνι Νεστόριος· ἐγὼ οὐκ οἶδα· ἀνά-
θεμα αὐτῷ ἀπὸ τῆς τριάδος· τίς ἔνι Νεστόριος· ἐγὼ
οὐκ οἶδα· ἀνάθεμα αὐτῷ, μετ' Εὐτυχέος· ἀνασκα-
φείη τὰ ὀστᾶ τῶν νεστοριανῶν· ἀνασκαφείη τὰ ὀστᾶ
τῶν εὐτυχιανιστῶν· τοὺς μανιχαίους, ἔξω βάλε·
Ἰουστινιανὲ αὔγουστε ζυινκας· Σευῆρον τὸν Ἰουδαῖον, ἔξω
βάλε· τοὺς μανιχαίους τῆς ἐκκλησίας, ἔξω βάλε·
τοὺς δυοστεφάνους, ἔξω βάλε· τὸ λείψανον Μακεδο-
νίου, ἄρτι φέρε· τὸ ὄνομα Μακεδονίου, ἄρτι ταγῇ·
δεόμεθα τὰς ὅλας φωνάς, τῷ βασιλεῖ· τὸν νέον



ζουμᾶν, ἔξω βάλε· ὁ νέος ζουμᾶς, ἀμαρπισεστί· τὸν
λῆρον, τοῦ παλαποῦ ἔξω βάλε· εὐφήμιον καὶ Μακε-
δόνιον, τῇ ἐκκλησίᾳ· τὰ συνοδικά, εἰς Ῥώμην ἄρτι
ἀπέλθωσι· πολλὰ τὰ ἔτη, τοῦ πατριάρχου· τοῦ νέου
Ἰωάννου, πολλὰ τὰ ἔτη· αὔξει τῆς τριάδος· Ἰουστινιανὲ
αὔγουστε ζυινκας· πολλὰ τὰ ἔτη τῆς αὐγούστης· τὸ
λείψανον Μακεδονίου, τῇ ἐκκλησίᾳ· ἐν τούτοις, ἀεὶ
νικήσεις· Εὐφημίου καὶ Μακεδονίου τὰ ὀνόματα,
ἄρτι ταγῇ· τελείαν ἑορτὴν τῇ ἐκκλησίᾳ· τοὺς ψευδο-
μάρτυρας Μακεδονίου, ἔξω βάλε· τὰς τέσσαρας
συνόδους, τοῖς διπτύχοις· Λέοντα τὸν ἐπίσκοπον
Ῥώμης, τοῖς διπτύχοις· ἡ ἁγία Μαρία, θεοτόκος ἐστί· τού-
του ἡ σύνοδος εἶπε· τὰ δίπτυχα τῷ ἄμβωνι· ὁ μὴ
λαλῶν, μανιχαῖός ἐστι· τὰ δίπτυχα, τῷ ἄμβωνι
ἄρτι· τὸν θεόν σοι Ἰουστινιανὲ αὔγουστε ζυινκας· κουρά-
τωρα οὐκ ἔχεις· τὰ δίπτυχα ἄρτι φέρε· Ἰουστινιανὸς
βασιλεύει· τὰ δίπτυχα ἄρτι φέρε· τοῦ ὀρθοδόξου
βασιλέως, πολλὰ τὰ ἔτη· τῆς νέας Ἑλένης, πολλὰ
τὰ ἔτη· οὕτως ἔχεις τὸν δεσπότην, ἄρτι φέρε τὰ
δίπτυχα· οὕτως ἔχεις τὴν αὔγουσταν, τὰ δίπτυχα
ἄρτι φέρε· οἱ κανόνες τοῦτο οὐκ ἐξέβαλον· ἐξέ-
ταξον· ἐξέταξον· ἐξέταξον· καὶ προσεφωνήθη
ταῦτα· καὶ κατὰ τὴν χθὲς ἡμέραν, ἀρκούτως ἐπλη

ροφορήσαμεν τὴν ὑμετέραν ἀγάπην· καὶ νῦν δὲ τὸν ζῆ-
λον ὑμῶν σαφῶς ἐπιστάμενοι, ἐκεῖνα ἐσπουδάσαμεν
καὶ σπουδάζομεν ποιῆσαι, ὅσα καὶ τὸν θεὸν θεραπεύει,
καὶ ὑμᾶς διὰ πάντων ἐν πᾶσι πληροφορεῖ· ὅτι δὲ
μέλλει ἡμῖν τοῦ μηδὲν παρασαλευθῆναι τῆς ὀρθῆς
πίστεως, οἶμαι κατὰ διαφόρους χρόνους καὶ τρόπους,
πεῖραν παρειληφέναι τὴν ὑμετέραν ἀγάπην· διὸ καὶ
τὸν θεμέλιον τῆς πίστεως κατὰ τὴν τῶν ἁγίων πατέρων παρά-
δοσιν, σφραγίσαμεν ἐν τῇ χάριτι τοῦ δεσπότου
ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, ἐσπουδάσαμεν· ἐλπίσαντες δι᾽
αὐτῆς, καὶ τὰς διεστώσας ἐκκλησίας ἑνῶσαι· παν-
ταχοῦ τὴν τάξιν τῶν θείων κανόνων, ἐνθέσμως
κρατοῦντες· οὐδὲ γὰρ συγχωρεῖ τι παρασαλεῦσαι· ἢ
περὶ κενοφωνίας καὶ λεπτολογίας ἀπασχολεῖσθαι
τοὺς πιστούς· ἀλλὰ προσέχειν τῷ ἁγίῳ συμβόλῳ
ἐν ᾧ πάντες ἐβαπτίσθημεν· ὅπερ ἐξεφώνησεν ἡ
ἐν Νικαίᾳ τῶν ἁγίων πατέρων σύνοδος· καὶ ἐκύρωσεν ἡ
ἐν Κωνσταντινουπόλει τῶν ἁγίων πατέρων συνέλευσις·
καὶ ἐβεβαίωσεν ἡ ἐν Ἐφέσῳ ὁσία σύνοδος· καὶ ἐπε-
σφράγισεν ὁμοίως ἡ ἐν Χαλκηδόνι μεγάλη ἁγία σύ-
νοδος· ἣν κατ᾽ οὐδένα τρόπον ἢ λόγον, παρασαλεῦσαι
τὶς δυνήσεται· πᾶσαν ἀναιροῦσαν τοῖς κακοδόξοις
πρόφασιν· ταύτην τοίνυν τὴν πίστιν ἀσάλευτον



κρατοῦντες, πρὸς ἀλλήλους μὴ ἀμφιβάλλητε· ἀλλὰ
πᾶσαν κενοφωνίαν· καὶ πᾶσαν καινοτομίαν· καὶ
πᾶσαν λεπτολογίαν ἀπωθούμενοι, ἐνὶ στόματι τὴν
ἁγίαν καὶ ὁμοούσιον τριάδα, δοξάσωμεν· ἥτις
φυλάττοι ἐν εἰρήνῃ τὴν ζωὴν, τῶν εὐσεβεστάτων
καὶ φιλοχρίστων ἡμῶν βασιλέων, καὶ πάντων ἡμῶν.
τῷ γὰρ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, πρέπει ἡ δόξα· νῦν
καὶ ἀεὶ· καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:-
Ταύτης τῆς προσφωνήσεως γενομένης, ἐπέμειναν
κράζοντες· ἐὰν μὴ ἀρθῇ, οὐδεὶς ἐκβαίνει· μαρτύ-
ρομαί σε· τὰς θύρας κλείω· ἀδελφοὶ ὀρθόδοξοι·
μία ψυχή· ἀδελφοὶ διὰ πίστιν· μία ψυχή· Ἰουστῖνε
αὔγουστε ζηνδίκας· ὁ μὴ λαλῶν, μανιχαῖος ἐστίν·
ἅγιος· ἅγιος· ἅγιος· ἡ τριὰς ἐνίκησεν· ἀπάρτι οὐ
φοβῆσαι ἀμάν την τὸν μανιχαῖον· Ἰουστῖνος βασιλεῦ·
ἀμάν την τί φοβῆσαι· ἄξιε τῆς τριάδος· καὶ τοῦτο
τὸ καλὸν σοὶ ἐτηρεῖτο· ὁ φιλῶν τὴν σύνοδον, οὕτω
τιμᾶται· πολλὰ τὰ ἔτη τοῦ βασιλέως· πολλὰ τὰ ἔτη
τῆς αὐγούστης· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· νικᾷ ἡ
πίστις τῶν ὀρθοδόξων· καὶ πάλιν ἐπιμενόντων αὐτῶν
ἐπὶ πολὺ ταῖς αὐταῖς φωναῖς, προσεφωνήθη αὐτοῖς
ταῦτα· ὅτι διὰ πάντων σπουδὴν ἐθέμεθα θεραπεῦ-
σαι ὑμᾶς· καὶ ἀσκανδαλίστους φυλάξαι, σαφῶς

ἐπίστασθε. ἐπειδὴ δὲ δεῖ πάντα κανονικῶς καὶ μετὰ
εὐταξίας γενέσθαι, συγχωρήσατε ἡμῖν συναγαγεῖν τοὺς
θεοφιλεστάτους ἐπισκόπους. ἐφ' ᾧτε κατὰ τοὺς θεί-
ους κανόνας πάντα προβῆναι. γνώμῃ καὶ κελεύσει τοῦ
εὐσεβεστάτου ἡμῶν βασιλέως. τὰς γὰρ ἐκβοήσεις ὑμῶν,
πάσας ἀνοίσομεν ἐπὶ τὴν αὐτοῦ γαληνότητα. καὶ κλει-
σάντων αὐτῶν τὰς θύρας. καὶ ἐπιμενόντων ταῖς
αὐταῖς ἐκβοήσεσι, λαβὼν τὰ δίπτυχα ὁ ἁγιώτατος
καὶ μακαριώτατος ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς
πατριάρχης Ἰωάννης, ἐκέλευσε τὰς ἁγίας τέσσαρας
συνόδους ταγῆναι. τῶν τε ἐν Νικαίᾳ συνελθόντων
ἁγίων πατέρων. καὶ τῶν ἐν Κωνσταντινουπόλει ὡσαύ-
τως συναχθέντων ἐπὶ Νεκταρίου τοῦ τῆς ὁσίας μνή-
μης. καὶ τῶν ἐν Ἐφέσῳ ἐπὶ τῇ ἐκβολῇ Νεστορίου.
καὶ τῶν ἐν Χαλκηδόνι ἐπὶ τῇ ἐκβολῇ Εὐτυχοῦς. καὶ
τοῦ αὐτοῦ δυσσεβοῦς Νεστορίου. καὶ τὰ ὀνόματα
τῶν τελευτησάντων ἐν ὁσίᾳ τῇ μνήμῃ. γενομένων
ἀρχιεπισκόπων ταύτης τῆς βασιλίδος πόλεως.
Εὐφημίου καὶ Μακεδονίου. καὶ μέντοι καὶ Λέοντος
τοῦ γενομένου ἀρχιεπισκόπου Ῥώμης. τότε φωνῇ
μεγάλῃ πάντες οἱ τοῦ λαοῦ, ὡς ἐξ ἑνὸς στόματος
ἐβόησαν. εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ. ὅτι ἐπεσκέ-
ψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. ἐπὶ



πολλὴν δὲ ὥραν ἀντιφωνούντων ἑκατέρων τῶν
μερῶν. καὶ ψαλλόντων τὴν ψαλμῳδίαν ταύτην, οἱ
ψάλται ἐπετράπησαν ἀνελθόντες, εἰπεῖν τὸ τρισά-
γιον. καὶ αὐτῶν ἀρξαμένων, πᾶς ὁ λαὸς ἐπαύσατο.
καὶ ἐπήκουσε τοῦ τρισαγίου. καὶ μετὰ τὴν ἀνά-
γνωσιν τοῦ ἁγίου εὐαγγελίου. ἐξ ἔθους τῆς θείας λειτουρ-
γίας ἐπιτελουμένης. καὶ τῶν θυρῶν κλεισθεισῶν.
καὶ τοῦ ἁγίου μαθήματος κατὰ τὸ σύνηθες λεχθέντος, 690.
τῶν ἱερῶν τῶν διπτύχων μετὰ πολλῆς ἡσυχίας συνέ-
δραμον ἅπαν τὸ πλῆθος, κύκλῳ τοῦ θυσιαστηρίου
καὶ ἠκροῶντο. καὶ ὡς μόνον ἐλέχθησαν αἱ προση-
γορίαι τῶν εἰρημένων ἁγίων τεσσάρων συνόδων
παρὰ τοῦ διακόνου. καὶ τῶν ἐν ὁσίᾳ τῇ μνήμῃ ἀρχι-
επισκόπων. Εὐφημίου. καὶ Μακεδονίου. καὶ
Λέοντος, μεγάλῃ φωνῇ ἔκραξαν ἅπαντες. δόξα
σοι κύριε. καὶ μετὰ τοῦτο, μετὰ πάσης εὐταξίας ἐπλη-
ρώθη σὺν θεῷ, ἡ θεία λειτουργία:-

Τοῖς συμψύχοις καὶ ὁμοδόξοις τὸν σὸν δεσπότην τῆς ἀγά-
πης ἐν εἰρήνῃ Χριστὸς ὁ θεὸς ἡμῶν ἄνωθεν δεδωκὼς, κοινὰ
καὶ τὰ παρ' αὐτῶν πραττόμενα εἶναι δίκαιοι· ἐπεὶ
τοίνυν ὡς θεία τις οὐρανόθεν γέγονε κίνησις τοῦ φιλοχρίστου
λαοῦ τῆς βασιλίδος ταύτης πόλεως· καὶ πάντα τὰ ἐκ-
βοηθέντα παρ' αὐτοῦ καὶ ἐκφωνηθέντα παρ' ἐμοῦ δῆλα
τῷ κόσμῳ γεγένηται, ἀναγκαῖον ἐλογισάμην σημᾶναι
τῇ σῇ θεοφιλείᾳ· ἵνα τῇ συνεργίᾳ τοῦ ἁγίου πνεύματος ταῦτα
γνοῦσα, ἐπισφραγίσῃς τῷ λόγῳ τῆς ἀληθείας· ἐπειδὴ
μάλιστα ἡ ἐνδημοῦσα ἁγία σύνοδος· τῇ αἰτήσει παντὸς
τοῦ μοναχικοῦ τάγματος, ἐγγράφως τε ὥρισε· καὶ
ἃ προώρισε τῇ σῇ ἁγιότητι, διὰ τάχους ἐκπέμψαι
ἐσπουδάσαμεν:–

Ἄλλη ἐπιστολὴ τοῦ αὐτοῦ τῆς ἁγίας μνήμης οἰκουμενι-
κοῦ πατριάρχου Ἰωάννου, ἰδική· γραφεῖσα ἐπι-
φανίῳ τῷ τῆς θεοφιλοῦς μνήμης γενομένῳ ἐπι-
σκόπῳ Τύρου:

Ὁ πάντα πρὸς τὸ συμφέρον ὁ θεὸς ἄνωθεν οἰκονομῶν, καὶ
νῦν τὴν σὴν θεοσέβειαν ἐν θλίψει κατὰ τὸν προφήτην
πλατυνθῆσαν, ἐπὶ τὴν σεμνὴν πύλην τῆς βασιλείας
τῶν οὐρανῶν, ἀνέτως ἀσφαλίσασθαι παρεσκεύασεν·
ἰδοὺ γὰρ τοῦ ὁσίου κινήματος κατὰ τῶν ἀποστατῶν
τῆς ἐκκλησίας παρὰ θεοῦ γενομένου· ὅσοι μὲν ἀνάξιοι



ὤφθησαν τῆς ἀχράντου ὑπηρεσίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ, κρίματι αἰωνίῳ ὑπεβλήθησαν· ὅσοι δὲ τῆς
ὀρθοδόξου πίστεως ἐρασταὶ ἐφάνησαν, πολλῷ μᾶλλον
διὰ τῆς τοιαύτης κινήσεως, ἐλαμπρύνθησαν· τοιγαροῦν
τῆς ἐνδημούσης ἁγίας συνόδου τῇ φιλοχρίστῳ καὶ βασι-
λίδι πόλει ἐκ διαφόρων ἐπαρχιῶν· δῆλα ποιησάσης
τὰ πραχθέντα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας, πάσῃ
τῇ ἐφ' ἡμῶν, ἀναγκαῖον ἔκρινα καὶ τῇ σῇ πεμφθῆναι
θεοφιλείᾳ· ἵνα τὰ παρ' αὐτῶν καὶ δι' αὐτῶν τυπωθέντα·
ἀναγνοὺς καὶ γνοὺς ὁσιώτατε, σύμψηφος καὶ ὁμόψυ-
χος ἔσῃ· καὶ καὶ αὐτὸς ὁ γέ ποτε τῶν κυκλωσάντων σε ἐχθρῶν,
λυτρωθείης· ἅπαντα τοίνυν τὰ πεπραγμένα κατὰ
τῶν ἐχθρῶν τῆς ἀληθείας, δῆλα ποίησαι τοῖς ὁμοδόξοις
εὐλαβεστάτοις συλλειτουργοῖς καὶ μοναχοῖς· καὶ φιλο-
χρίστοις λαοῖς· καθὼς αὐτὸς συνείδῃς, σπούδασον θεο-
φιλέστατε:–

Ἀντίγραφον Ἰωάννου Ἱεροσολύμων καὶ τῶν σὺν αὐτῷ
ἐπισκόπων, πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως:

Τῷ δεσπότῃ μου τῷ θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ συλ-
λειτουργῷ, Ἰωάννῃ· καὶ τῇ ἐνδημούσῃ κατὰ τὴν φιλό-
χριστον Κωνσταντινούπολιν ἁγίᾳ συνόδῳ· Ἰωάννης·
ἐλέῳ θεοῦ ἐπίσκοπος Ἱεροσολύμων· καὶ ἡ κατὰ τὰς
τρεῖς Παλαιστίνας τελοῦσα ὑπὸ τοῖς ἁγίοις Χριστοῦ τοῦ ἐπι-

πάντων θεοῦ τόποις ἁγία σύνοδος, ἐν κυρίῳ χαίρειν. ἔστι δὴ διπλῆ τις ἐστὶν ἡ τῶν δακρύων κίνησις. ἡ μὲν, πρὸς ὀδύνην φέρουσα. ἡ δὲ, πρὸς εὐφροσύνην. ἰωσὴφ γὰρ ὁ πρὶν ἀρχῆς ἀναγνωριζόμενος τοῖς ἀδελφοῖς, μεγάλα ἐξ εὐθυμίας ἐδάκρυσε. καὶ παῦλος φησὶ τὸ σκεῦος τῆς ἐκλογῆς. ὁ ἐπὶ τοῦ κόσμου λύπη, θάνατον κατεργάζεται. ἡ δὲ κατὰ θεὸν, σωτηρίαν. ἐντυχόντες οὖν καὶ δακρυτὶ τοῖς ἐπεσταλεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης καὶ πραχθεῖσι, θυμηδίας ἐπλήσθημεν. ὡς πάλιν μὲν εἰπεῖν μετὰ τοῦ μεγάλου προφήτου δαβίδ, εὐφράνθημεν ἐπὶ τοῖς εἰρηκόσιν ἡμῖν εἰς οἶκον κυρίου πορευσόμεθα. καί, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. καὶ ἐξομολογεῖσθε τῷ θεῷ τῶν θεῶν. τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ, τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου. ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ. ἰδοὺ γὰρ ὁ θεός φησι διὰ τοῦ σαμουὴλ, ποιῶ τὰ ἔργα μου ἐν ἰσραήλ. ὥστε παντὸς ἀκούοντος, ἠχήσαι ἀμφότερα τὰ ὦτα αὐτοῦ. ταῦτα καὶ ἐπὶ τῶν χρόνων τῶν ἡμετέρων, ἔργῳ προῆλθε.
692 τὸ γὰρ βδέλυγμα τῆς ἐρημώσεως. τὸ τέρας τὸ ἀνερυθρίαστον. σεβῆρον φαμὲν τὸν ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντα, διὰ τῶν βλασφήμων αὐτοῦ λόγων. τῶν κατὰ τῆς ἁγίας μεγάλης καὶ



οἰκουμενικῆς συνόδου τῆς ἐν χαλκηδόνι, λεχθέντων. οὐδὲ τὴν ἀρχὴν γινωσκόμενον ἡμῖν. οὐδὲ ὅστις εἴη. τὸν τῆς ἀντιοχέων ἀδίκως καὶ τυραννικῶς καὶ παρὰ τὸν ἐκκλησιαστικὸν κανόνα, ὑφαρπάσαντα θρόνον. τὸν κατὰ τὸν αἰγύπτιον ἐκεῖνον. τὸν ἐν ταῖς πράξεσιν ἀναστατώσαντα καὶ ἐξαγαγόντα εἰς τὴν ἔρημον τοὺς σικαρίους, ἀναθέματι ὑποβέβληκε. καὶ ἀλλότριον παντὸς ἱερατικοῦ συλλόγου. καὶ ἀξίας καὶ πράγματος, πεποίηκε. διὰ τῆς ὑμετέρας μισοπονήρου ἁγιωσύνης. ὁ γὰρ παρέσχηκας ἱερεμίᾳ τῷ προφήτῃ. τὸ ἀνοικοδομεῖν καὶ κατασκάπτειν. καὶ ἐκριζοῦν καὶ καταφυτεύειν. καὶ πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων. τὸ λύειν καὶ δεσμεῖν, καὶ τῇ κοινῇ τοῦτο ἐφιλοτιμήσατο ἱερωσύνῃ. τοῖς μὲν ὁσίοις θεοφιλεστάτοις καὶ ὁσιωτάτοις μοναχοῖς. τοῖς ὑπὸ τὴν μεγάλην ἐκείνην καὶ βασιλίδα πόλιν οἰκοῦντας. οὐ μὴν ἀλλὰ καὶ τὸν φιλόχριστον ταύτης λαόν, τοὺς κατὰ θεὸν ζήλου ἐμακαρίσαμεν. καὶ ὅτι μέχρι θανάτου διανέστησαν. ὥστε τὸν λύκον τῆς ἀντιοχέων, τῆς νομῆς ἀπελάσαι τῶν προβάτων. τὸν λαθόντα ἑαυτὸν, καὶ μείζοσιν ἐγχειρήσαντα ἢ κατ' αὐτόν. καὶ κατὰ τὸν βαλαὰκ ἐκεῖνον, ἀράσασθαι παραθέντα, ὃν οὐ καταρᾶται ὁ κύριος. τοιγαροῦν εἰς κεφαλὴν αὐτοῦ,

τὰ τῆς γραφῆς ἅπαντα ἐκβέβηκε· καὶ ἡ ὑλόσπαστος ὅμοιος τοῦ
ἰσραήλ· καὶ ἀπόλλυται μὲν ὁ βαλάκ· τὸν ὅμοιον δὲ τρόπον,
καὶ βαλαὰμ ὁ μάντις τὰ ἐπίχειρα τῶν αὐτοῦ πράξεων,
ἐδέξατο καὶ ἀνατεθεμάτισται· καὶ τὴν ἐκεῖσε πορι-
μένει μετὰ τοῦ δούλου τοῦ ὀκνηροῦ καὶ πονηροῦ, ποιῶν·
ἀλλὰ ταῦτα μὲν, ἐκεῖνοι· ὑμεῖς δὲ τοῖς πραχθεῖσι
καὶ ἐπισταλεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, ὁμό-
φρονες καὶ ὁμόψηφοι τυγχάνομεν· καὶ ἀναθεματί-
ζομεν πᾶσαν αἵρεσιν· καὶ νεστόριον τὸν ἀνθρωπολά-
τρην· καὶ εὐτυχέα τὸν ματαιόφρονα· καὶ τὸν μάνην·
καὶ σευῆρον τὸν ἀλιτήριον· οὐ μὴν, ἀλλὰ καὶ τὰ
τούτου συγγράμματα· ἐν ταῖς ἑαυτῶν διανοίαις ἔχον-
τες καὶ ἀσπαζόμενοι, τὰς τέσσαρας ἁγίας συνόδους·
τήν τε τῶν τιη̅ ἁγίων πατέρων τῶν ἐν νικαίᾳ συναχθέντων
κατὰ ἀρείου τοῦ δυσωνύμου· τῶν ἐκθεμένων τὸ
ἅγιον σύμβολον καθ' ὃ ἐβαπτίσθημεν καὶ βαπτιζόμεν·
693 καὶ τὴν τῶν ρν̅ τῶν ἐν κωνσταντινουπόλει· κατὰ εὐνο-
μίου τοῦ πνευματομάχου· τῶν τὸ εἰρημένον ἅγιον
σύμβολον βεβαιωσάντων· καὶ τὴν τῶν διακοσίων
τῶν ἐν ἐφέσῳ· τῶν καθελόντων νεστόριον τὸν ἀνθρωπο-
λάτρην· τὸ δὲ αὐτὸ ἅγιον σύμβολον περιπτυξαμένων·
καὶ τὴν μεγάλην καὶ οἰκουμενικὴν σύνοδον τῶν χ̅λ̅
φαμὲν τῶν ἐν χαλκηδόνι συνελθόντων· καὶ βεβαιω-



σάντων καὶ κρατυνάντων, τὸ αὐτὸ ἅγιον σύμβολον·
ἐπισφραγισάντων δὲ τὰ κατὰ νεστορίου τοῦ ἀνθρωπο-
λάτρου· καὶ ἀποβαλόντων, εὐτυχέα τὸν ματαιόφρονα·
δεχόμενοι καὶ τὰς θεοφράστους ἐπιστολὰς τοῦ τῆς ὁσίας
καὶ θεοφιλοῦς μνήμης, λέοντος· τοῦ γενομένου τῆς
ῥωμαίων ἀρχιεπισκόπου καὶ πατριάρχου· συνευφραι-
νόμενοι τοίνυν ἐπὶ τοῖς τῇ ὑμετέρᾳ ἁγιωσύνῃ·
καὶ συναινοῦντες τοῖς παρ' ὑμῶν ἐπισταλεῖσι καὶ πρα-
χθεῖσι· καὶ κοινωνικοὶ ὄντες ὑμῖν, τὸ προφητικὸν
ἐκεῖνο λεγόμενον λόγιον· ἑόρταζε ἰουδαία τὰς ἑορτάς
σου· ἀπόδος τῷ κ(υρί)ῳ τὰς εὐχάς σου· διόπερ οὐ μὴ προσ-
θήσει τοῦ εἶναι εἰς παλαίωσιν· καὶ ἡμεῖς οὖν τὰ αὐτὰ
ταῦτα συνεύχεσθε ἁγιώτατοι· κοινὰ γὰρ τὰ τῶν ἱερέων·
καὶ τὴν ἁγίαν καὶ δεδοξασμένην παρθένον καὶ θεοτόκον
μαρίαν, σὺν ἡμῖν ἱκετεύσατε πρεσβείαν ποιήσασθαι
ὑπὲρ τῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν· καὶ
νίκης καὶ διαμονῆς τοῦ εὐσεβεστάτου καὶ γαληνοτά-
του ἡμῶν βασιλέως:-

ὑπογραφαί:-

Ἰωάννης· ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς καισαρέων· ἐρρῶ-
σθαι με καὶ τῷ κ(υρί)ῳ εὐαρεστεῖν εὔχεσθε θεοφιλέστατοι
καὶ ὁσιώτατοι πατέρες:-

Θεοδόσιος· ἐπίσκοπος τῆς σκυθοπολιτῶν, ἐρρῶσ-
θαι με, καὶ τὰ λοιπά:-

Ζηνόβιος ἐπίσκοπος ἰαμνίας, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Ἰωάννης ἐπίσκοπος τιβεριάδος, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Πολυχρόνιος· ἐπίσκοπος δόρεω πόλεως, ἐρρῶσθαί με κ:-
Εὐστάθιος· ἐπίσκοπος σύθηδόνος, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Προκόπιος ἐπίσκοπος τῆς νεαπολιτῶν, ἐρρῶσθαί με καὶ τὰ λοιπ:-
Στέφανος· ἐπίσκοπος τοῦ μαϊουμᾶ ἀσκάλωνος, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Πέτρος· ἐπίσκοπος ἐλούσης, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Μαρκελλῖνος· ἐπίσκοπος ἐνδοκαισαρείας, ἐρρῶσθαί με κ τά:-
Γρηγόριος· ἐπίσκοπος ἐλευθεροπόλεως, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Ἰωάννης· ἐπίσκοπος ἱεριχουντων, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Ἀντωνῖνος· ἐπίσκοπος τῆς ἀσκάλωνος, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Ἰω· ἐπίσκοπος μονοΐδος, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Παῦλος· ἐπίσκοπος πέλλης, ἐρρῶσθαί με κ τὰ λοιπά:-
Ἀλφεῖος· ἐπίσκοπος συκομαζόνος, ἐρρῶσθαί με καὶ τὰ λοιπ:-
Βαάνος· ἐπίσκοπος καπετωλιάδος, ἐρρῶσθαί με καὶ τὰ λοιπ:-
Προκόπιος· ἐπίσκοπος μαϊουμᾶ γάζης, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
Ἰσίδωρος· ἐπίσκοπος τῆς ζωορηνῶν, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-



υάλης· ἐπίσκοπος τῶν παρεμβολῶν, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
έτρος· ἐπίσκοπος φενουῶ, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
πιφάνιος· ἐπίσκοπος ῥαφίας, ἐρρῶσθαί με κ τὰ λοιπά:-
λίας· ἐπίσκοπος ἰόππης, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
βιεςζηζηςεπίscoposζηαβι ιόρηςζιαδόρερ κοςζιαεμε· καὶ τὰ λοιπὰ διὰ ῥωμαϊκῶν γραμμάτων:-
ροκόπιος· ἐπίσκοπος ἀμαθουντων, ἐρρῶσθαί με κ τὰ λοιπά:-
ολομῶν· ἐπίσκοπος ἀβίλης, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
όμων· ἐπίσκοπος ἵππων, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
εόντιος· ἐπίσκοπος σωζούσης, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
υριλλος· ἐπίσκοπος γαζαίων, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
τέφανος· ἐπίσκοπος ὀραίων, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
έγας· ἐπίσκοπος τῆς μαξιμιανουπολιτῶν, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
ρηγόριος ἐπίσκοπος βακάθας, ἐρρῶσθαί με καὶ τὰ:-
δρώγιος· ἐπίσκοπος σώρων, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-
πολλώνιος· ἐπίσκοπος τῆς διοσπολιτῶν, ἐρρῶσθαί με καὶ τὰ λοιπά:-

ἐπιστολὴ ἐπιφανίου, ἐπισκόπου τύρου· καὶ τῶν ὑπ' αὐτόν, πρὸς τῶν ἐν δημοσίᾳ ἐν κωνσταντίνου πόλει σύνοδον:-

οῖς πανταθῦ φιλεστάτοις καὶ ὁσιωτάτοις ἀδελφοῖς

καὶ συλλειτουργοῖς· Θεοφίλῳ· Βασιλίσκῳ· Μαρκιανῷ·
καὶ πάσῃ τῇ ἐνδημούσῃ κατὰ τὴν βασιλίδα καὶ φιλό-
χριστον πόλιν θεοῦ χάριτι, ἁγίᾳ συνόδῳ, Ἐπιφάνιος καὶ
οἱ ὑπ' αὐτὸν ἐπίσκοποι, ἐν κυρίῳ χαίρειν. εὐλογητὸς ὁ θεὸς
ὁ τῆς εἰρήνης κύριος· ὁ ἐπέστησεν ἡμῖν, τὸ τίμιον γράμμα
τῆς ὑμῶν ἁγιωσύνης· οὕτω πανταχόθεν διαλάμπον τῷ
τε τὸν πνευματικὸν ζῆλον· καὶ τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγῶνας·
καὶ περὶ τὸ κήρυγμα τῆς ὀρθοδόξου πίστεως· ἃ δεῖ πάντα
λαβεῖν ἐν αὐτῷ συνηγμένα προσθεμέλιον καὶ βάθρον
ἀρραγὲς, τῆς εἰρήνης τῶν ἀπωτάτων ἐκκλησιῶν· καὶ
τῶν ἐν αὐταῖς ἀρχιερέων· καὶ τῶν ἑκάστῃ πόλει πιστῶν·
καὶ τὴν ὀρθὴν ὁμολογίαν περιπτυσσομένων· ὅσην δὲ
ποιεῖται καὶ τῶν θείων κανόνων ἐπιμέλειαν· ἐξ ὧν
τὸν κατ' οὐδένα τρόπον ἢ χρόνον ἀσπασάμενον τὴν
πρὸς τὴν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησί(ας)
κοινωνίαν· ἢ τὴν ὀρθόδοξον τιμήσαντα πίστιν· τῶν δὲ
θρόνων τῆς ἀρχιερέων ἀποστολικῆς ἐκκλησίας ἐπιπη-
δήσαντα τυραννικῶς, ἀναθέματι προσηλῶσαι· [illegible]
εἶναι ἀποφηνάμενον παντὸς πράγματος· ὀνόματος·
ἀξίας· ἐνεργείας· χριστιανῶν ἢ αἱρετικῶν ἁρμοζούσης,
ἢ ἁρμόσαι δυναμένης· καὶ ἀλλότριον τῆς θείας κοι-
νωνίας κατὰ τοὺς θείους κανόνας αὐτὸν καταστῆσαι·
καὶ γὰρ ἦν ἀκόλουθον, συνέπεσθαι τῇ τῶν ἀχράντων





εὐαγγελίων θείᾳ διδασκαλίᾳ· καθ' ἣν φησὶν ὁ κύριος· τοὺς
δοκοῦντας μὲν αὐτοὺς ἔχειν τι· καὶ τοῦτο πάντως ἀφαι-
ρεῖσθαι· καὶ τοῖς ἔχουσιν ἐκ δικαιοσύνης, προστίθεσθαι·
τῆς οὖν δικαίας ἐξ ὑμῶν κατακρίσεως, ἐπαξίως ὤφθη
Σευῆρος ὁ δυσσεβής· πρὸς βλασφημίαν ἅμα καὶ συκο-
φαντίαν, ὀξύνας ἣν ἔχει γλῶτταν· κατὰ τῆς ἁγίας
μεγάλης καὶ οἰκουμενικῆς συνόδου, τῆς ἐν Χαλκηδόνι
συνελθούσης· καὶ δικαίως ἑαυτόν, ἐξ ἀσεβοῦς φρονή- 505
ματος καὶ πονηρᾶς προαιρέσεως· ἀλλὰ τοῦ δεσπότου
θεοῦ· καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμις, τοῦ τῆς ἐκκλησίας
λειμῶνος αὐτὸν ἐξήλασε δικαίᾳ ψήφῳ· τῆς ἐν ὑμῖν
τοῖς θεοφιλέσι διαλαμψάσης πνευματικῆς χάριτος· πρὸς
ἣν συγκατατιθέμενοι, καὶ σύμψηφοι γινόμεθα· τοὺς
αὐτοὺς δεσμοὺς ἐπιφέροντες ἐπ' ἐκεῖνον, οὓς καὶ τὸ
τίμιον γράμμα τῆς ὑμετέρας ὁσιότητος, ἐπάγει κανο-
νικῶς· τίς γὰρ ἀρκέσει λόγος, εἰς ἀπαρίθμησιν ὧν
ἐκεῖνος ἡμάρτεν εἰς ἐναντίωσιν τῶν θείων κανόνων
καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας τὴν ὀφρῦν ἀνασπά-
σας εἰς ἀλαζονείαν· καὶ κόμπος ἐν τοῖς ἀναθέμασι
φαινόμενος· ἐν ὁμιλίαις καὶ συγγράμμασιν ἀσεβέσι
κατὰ τῶν ἁγίων πατέρων· τὸ δέ γε ἀληθέστερον, κατ' αὐτῆς
τῆς πνευματικῆς διδασκαλίας τῶν θεσπεσίων ἀποστόλων·
αὐτὸς καθ' ἑαυτὸν πρὸς ἔλεγχον καθιστάμενος ἐν

ἅπασιν οἷς γέγραφε ματαίοις λόγοις· καὶ γὰρ προσή-
κει τοῖς ἐγκειμένοις αἱρέσει δυσσεβεῖ, καὶ τὸν νοῦν τε-
ταράχθαι· καὶ μηδὲ διαρκεῖν ἄχρι παντὸς συγκαλύπτειν
ὅπερ ἔχουσι νόσημα, κατεσθίον αὐτῶν τὴν διάνοιαν·
ἀλλ' οὐκ ἦν οὕτως τολμηρός, ὥστε καὶ δεσμὸν ἔξωθεν
πίας ἐπιθεῖναι· χωρίζοντα τῆς θείας κοινωνίας κληρι-
κοὺς ἄλλων πόλεων· μηδὲ γνώμης μηδὲ συναινέσεως
μετεχόντων αὐτῶν ἐπισκόπων· τί δ' οὐ τεθάρρηκε
τοὺς καταδεδεμένους κανονικῶς ἀλλοτρίοις κληρικοῖς
ἐκ τῶν οἰκείων ἐπισκόπων προσρρυέντας αὐτῷ· καὶ
πρὸς τὸ ψυχοφθόρον ὑπαλειφθέντας παρ' αὐτοῦ κη-
ρυσμα· προσληφθέντας πρὸς τὴν ἑαυτοῦ κοινωνίαν·
καὶ διὰ τῆς παρὰ τοῦ καταδήσαντος ἀφέσεως, ἐπι-
τρέψαι ταῖς ἐκκλησιαστικαῖς λειτουργίαις ὑπηρετεῖν·
ἑκάτερον δὲ τούτων, πέπραχε κατὰ τῶν Τυρίων· ἀλλὰ
καὶ τοὺς μετειληφότας ἀξίας πρεσβυτέρων· ἀντιτι-
θέντας μὲν αὐτῷ τὴν ἀρχήν· κενοφωνοῦντι τὴν ἀσεβῆ
διδασκαλίαν· ὕστερον δὲ συμπεσόντας αὐτῷ, παρε-
σκεύασεν ἐν τῷ σχήματι τῆς διακονίας λειτουργεῖν·
ἀθέσμως αὐτοὺς τῆς τῶν πρεσβυτέρων τιμῆς ἀφε-
λόμενος· ἐπειδὴ μὴ τότε τὸν αὐτοὺς χειροτονήσαντα
σκελίσας ὤν, συγκατατίθεσθαι ταῖς ἀσεβέσιν αὐτοῦ
διδασκαλίαις· καὶ προφάσει τούτου, τὴν ἐπιτεθεῖσαν



παρ' αὐτοῦ χειροτονίαν, ἐξελόμενος· ὃ δὴ γεγένηται
παρ' αὐτοῦ κατὰ τὴν Ἀρκηνῶν· πρὸς δὲ τούτοις, οὐκ ἦν
ἐπεκτείνων τὰ τῆς αὐτοῦ θρασύτητος· καὶ παραχαράτ-
των τοὺς θείους κανόνας, ἐν ἀλλοτρίαις παροικίαις
προχειριζόμενος ποτὲ μὲν χωρεπισκόπους· ἄλλοτε δέ, 697
παραμοναρίους· πιστεύων ἱκανῶς ἔχειν ἀπομάχεσθαι
καὶ διαλύειν τὰ παρὰ τῶν θείων κανόνων ὡρισμένα
δίκαια τοῖς ἐπισκόποις· τούτων φησὶ μαρτυρίαν ἔστι λα-
βεῖν, τὴν Τριπολιτῶν· καὶ πάλιν τὴν Ἀρκηνῶν· φαί-
νεται δὲ τολμήσας ἐπιτρέψαι χειροτονεῖν ἐπισκόπῳ,
κατὰ τὴν ἐνορίαν ἑτέρας πόλεως· ἧς ἔτι περιῆν, ὁ
ταύτης ἐπισκοπῶν· ὑπουργὸς δὲ γέγονε τούτῳ, Στέφανος
ὁ τῆς Ὀρθωσιαίων ἐπίσκοπος· τολμήσας χειροτονίαν
ἐπιθεῖναι, κατὰ τὴν ἐνορίαν τῆς Ἀνταραδίων· ἔτι
περιόντος Θεοδοσίου τοῦ τῆς θεοφιλοῦς μνήμης ἐπι-
σκοπήσαντος τὴν εἰρημένην πόλιν· τί δ' ἂν φαῖμεν
καὶ πρὸς τὸ διαβοηθὲν καθόλου ὡς εἰπεῖν τὸν κύκλον
τῆς γῆς· εἴ γε δὴ ἄρα πρὸς ἀλήθειαν ἐστὶν ὅτι περιείλετο
τὴν αὐτῷ δεδομένην χειροτονίαν πρεσβυτέρου παρὰ
τῶν σχισματικῶν, ἐξ ἑτέρων πάλιν αὐτῆς μετασχὼν
τῆς χειροτονίας· τὸ δέ, πέπραχεν ἐν σπουδῇ· κατε-
πειγόμενος δράξασθαι τοῦ λοιποῦ ποιμνίου τῆς Ἀντιο-
χου· καὶ πάσης ἄλλης ἐκκλησίας ὀρθοδόξου· καὶ

μεταγαγεῖν ἐπ᾽ ἀπειλείᾳ τῇ βδελυκτῇ καὶ μυσαρᾷ φω-
νῇ φερούσῃ σκώληκας ἐξ ὧν αὐτὸς ἐθησαύρισε καθ᾽ ἑαυτοῦ·
μηδὲν ὑπείκειν ἢ γοῦν ὀρθὸν πρὸς τὴν ὀρθόδοξον πίστιν φθεγ-
γόμενος· ἀλλ᾽ ἐπὶ τῶν ἐπαλωμένων αὐτῷ πράξεων·
καὶ πρὸς τοὺς ἐρανισθέντας παρ᾽ αὐτοῦ τὸ φιλότιμον·
δι᾽ ἁπλῆς ἐντεῦθεν ἐξυφαινομένης τῆς ἁμαρτίας· καὶ
πρὸς τὴν χείρω κατάκρισιν αὐτὸν παρισώσης· πρῶτον
μὲν γὰρ ἡ συλλογὴ τοῦ χρυσίου τῶν ἐκκλησιαστικῶν
πραγμάτων τῆς ἀντιόχου· λυμαινομένων καὶ σαθι-
ζομένων· καὶ πρὸς ἀνίατον ἐπανόρθωσιν καθισα-
μένων ἐγίνετο· δεύτερον ὅτι τοῖς ἐκ τῶν ἐρανῶν
σιτιζομένοις, ἐπετάττετο πᾶσαν ἐξανιστᾶν ταραχήν·
καὶ πάντα θόρυβον διασκεδάζειν ἔν τε ταῖς τῶν πόλεων
ἐκκλησίαις, καὶ τοῖς ἐγκεκλεισμένοις ἐν μοναστηρί(οις)·
καὶ σπέρματα σχισμάτων, διερραίνετο παρ᾽ αὐτῶν·
πρὸς ὃ δὴ λαβεῖν ἐστι μὲν ἐναργῶς ἀπομαχόμενον αὐτὸν
καὶ ταῖς προσφωνητικαῖς ἐν τοῖς ἄχρι αὐτοῖς εὐαγγε-
λίοις θείαις διδασκαλίαις, τοῦ μεγάλου θεοῦ καὶ σωτῆ-
ρος ἡμῶν Ἰησοῦ Χριστοῦ· κηρύττοντος μὲν αὐτοῦ τὴν εἰρήνην,
καὶ ταύτην ἐπιζητεῖν· τὰ σκάνδαλα δέ, βδελύττε-
σθαι· καὶ τὸν τούτων αἴτιον, εἰς αἵρεσιν λαβεῖν
τὸ καταδῆσαι πρὸς τῷ τραχήλῳ λίθον μυλίτην,
καὶ βυθίσαι κατὰ τὸ γραφικόν, ἑαυτόν· ἀλλ᾽ ὁ



ταῦτα μὲν ἐρασμία Σευήρῳ τῷ δυσσεβεῖ· τὸ δὲ τῆς
εἰρήνης χρῆμα, παντελῶς ἀποφεύγει· καὶ τὸ μὲν 698
καθ᾽ ἕκαστον εἰ διεξελθεῖν πειραθείημεν, ἀπλα-
τής τις ἡμῖν ὁ λόγος ἔσται· πλὴν ταῦτα καταλέξαντες·
καὶ τὸ πλῆθος τῶν παραλελειμμένων ἄλλοις ἀφη-
γεῖσθαι συγχωρήσαντες, καθάπερ εἰρήκαμεν, ὁμό-
φρονες ὑμῖν τοῖς θεοφιλέσι γεγόναμεν· ἔφαπαξ
τοῖς ἐπιτιμίοις οἷς αὐτὸν εἰκότως κατεδήσατε·
ἐπιτεθείκαμεν δὲ τὸν ἴσον ὅρον· καθελόντες καὶ
ἀναθέματι καταδήσαντες, καὶ Ἰωάννην τινὰ ἀπρα-
μονδρίον· κατὰ τὸν πάνσεπτον οἶκον τῆς ἁγίας ἐν-
δόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τὸν διακείμενον
κατὰ τὴν τῶν Τυρίων παρὰ Φοινίκην μητρόπολιν· εὑρηκότες
αὐτὸν ἐν ὑποκρίσει καὶ κατὰ δόλον ἡμῖν συλλειτουρ-
γήσαντα· καὶ τῆς θείας μετασχόντα κοινωνίας· ἐξ ὧν
τοῦτο δὴ πράττων καὶ συλλειτουργὸς ἡμῖν τυγχάνων,
κατὰ τὸ λεληθὸς τοῖς σχισματικοῖς διαλεγόμενος
ἀμέσως, ἔδραμεν ἐκόντι κατὰ τὴν ἀντιόχου· καὶ
Σευήρῳ τῷ δυσσεβεῖ προσρίψας ἑαυτόν, ἀπέστη μὲν
τῆς ὀρθοδόξου πίστεως· ἐκαίνωσε δὲ ὅσον ἐκοινώνησε
περὶ τὸ δαιμονιῶδες αὐτοῦ φρόνημα· καὶ τοῖς ἀσε-
βέσιν ἀναθεματισμοῖς κατὰ τῶν ἁγίων ἡμῶν πατέρων·
καὶ τῆς τιμίας ἐπιστολῆς τοῦ τῆς ὁσίας μνήμης Λέοντος·

τοῦ τῆς Ῥωμαίων γενομένου ἀρχιεπισκόπου· οἷς ἀχάρι-
τα ταῦτα συγγραψάμενοι· καὶ κατασφαλισάμενοι ἐκεῖνον.
πρὸς δὲ τούτοις, ὅτι κατὰ τὴν Τυρίων ἐπανελθών, παρα-
δέδωκε τοῖς σχισματικοῖς, τὸν εὐκτήριον οἶκον τῆς
θεοτόκου καθεστῶτα τοῖς ἀπὸ τῆς πόλεως· ἐκκλησίαν
ἐν αὐτῷ τολμήσας καὶ παρασυνάξεις· καὶ παραφω-
τίσματα, πληρῶσαι· καὶ δύναιτο τοῦτο σπέρμα μεγάλης
ταραχῆς, τῷ πιστοτάτῳ λαῷ τῆς πόλεως· ὁρῶντι τὸ
κατὰ μηδένα χρόνον γεγονὸς ἐκ δύο τόπων τῶν ἐνδ
φωτίσων φαίνεσθαι ταῖς προελεύσεσι· ἐναντίως ἐχόντ
ἀλλήλοις· καὶ πολέμοις καὶ θορύβοις διασκευάζων.
κατά τε τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας, καὶ τοῦ
πιστοτάτου λαοῦ τῆς πόλεως· ὧν ἔλεγχος, τὰ πεπραγ-
μένα κατὰ τὸ δικαστήριον· ἐφ᾽ οἷς ὁ τίμιος πρεσβύτερος, ἐλι-
θάσθη παρὰ τῶν ἐμφωλευόντων σὺν αὐτῷ, κατὰ
τὸν εἰρημένον εὐκτήριον οἶκον τῆς θεοτόκου· καί τινες
τοῦ πλήθους τῶν χριστιανῶν καὶ τῶν εὐλαβεστάτων
κληρικῶν, πληγάδες γεγόνασι· συνέβη δὲ καὶ
τὸν τῆς Τυρίων ἐπίσκοπον, ἄχρι θανάτου κινδυ-
νεῦσαι· δι᾽ ὧν αὐτὸς μετά γε τῶν συνόντων αὐτῷ, θανα-
599 τηφόρους ἐξήρτυεν ἐπιβουλάς· ὥστε δὲ μηδὲν ἐλ-
λεῖψαι τῶν δεόντων, καὶ τὰ πεπραγμένα παρὰ τῆς
ὑμῶν ὁσιότητος δηλώσομεν ἐπ᾽ ἐκκλησίας τοῖς



ἀπὸ τοῦ κλήρου καὶ τῷ πιστοτάτῳ λαῷ τῆς πόλεως.
καὶ πνευματικὴν ἀναδησάμενοι πανήγυριν, εὐχαριστήριον
ἀφήκαμεν φωνήν, τῷ δεσπότῃ θεῷ, καὶ σωτῆρι τῶν ὅλων
Ἰησοῦ Χριστῷ· καὶ τῷ πανευσεβεῖ καὶ κρατίστῳ ἡμῶν βασιλεῖ.
καὶ τῇ πιστοτάτῃ βασιλίδι· καὶ τῷ ὁσιωτάτῳ πατριάρχῃ
τῆς βασιλευούσης· καὶ τοῖς θεοφιλέσιν ὑμῖν· ὧν τὴν
κοινωνίαν ἀσπαζόμενοι· καὶ πρὸς ἣν ἔχετε πίστιν
ὁμόφρονες καθεστῶτες, ἀποστρεφόμεθα σὺν ὑμῖν.
ἐπιφέροντες τὸν ἔγκριτον ἀναθεματισμὸν κατὰ
παντὸς μὲν αἱρετικοῦ· διαφερόντως δέ, κατὰ Νεστο-
ρίου· φανέντος ἀνθρωπολάτρου· προσέτι δέ, καὶ
κατὰ Εὐτυχοῦς· καὶ Σευήρου τοῦ πρὸς βλασφη-
μίαν καὶ συκοφαντίαν, ἐνόχου καταστάντος· ταῦ-
τα γὰρ κατεπράξατο, κατὰ τῆς ἁγίας μεγάλης καὶ
οἰκουμενικῆς συνόδου τῆς ἀθροισθείσης ἐν Χαλκη-
δόνι· ἔτι δέ, καὶ κατὰ Ἰωάννου τοῦ γεγονότος προσ-
μοναρίου τοῦ πανσέπτου οἴκου τῆς θεοτόκου· τοῦ διακει-
μένου κατὰ τὴν Τυρίων περιφανῆ μητρόπολιν· διὰ
τὰς ἀφηγημένας αὐτοῦ, κακίστας πράξεις· ἐξ ὧν
ἀποδέδεικται τοῖς θείοις κανόσιν, ἐναντίως ἐλθών.
καὶ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην, ἐπι-
κυρῶσαι τὸ κατ᾽ αὐτοῦ τεθὲν κανονικῶς ἐπιτίμιον.
περιπτυσσόμεθα δὲ καὶ τιμῶμεν τὴν ἐν Νικαίᾳ συνελ

θοῦσαν ἱερὰν σύνοδον τῶν τιη΄· πρὸς ἔλεγχον καὶ
καθαίρεσιν ἀρείου· καὶ τὸ παρ' αὐτῆς ἐκτεθειμένον
ὀρθόδοξον σύμβολον, ὁμολογοῦμεν ἐν παρρησίᾳ καὶ
κηρύττομεν ἐπ' ἐκκλησίας· ἐν αὐτῷ βαπτισθέντες
καὶ βαπτίζοντες· καὶ τὴν τῶν ρν΄ τῶν συνελθόντων
κατὰ τὴν βασιλίδα πόλιν, πρὸς καθαίρεσιν μακε-
δονίου τοῦ πνευματομάχου· καὶ τὴν ἐν ἐφέσῳ τῶν δια-
κοσίων προσυνδραμοῦσαν ἁγίαν σύνοδον, πρὸς
καθαίρεσιν νεστορίου τοῦ δυσσεβοῦς· καὶ τὴν μεγάλην
ἁγίαν σύνοδον τὴν ἀθροισθεῖσαν ἐν χαλκηδόνι τῶν
χλ΄ κυρώσασαν κατὰ τὸ προοίμιον, τὸ σύμβολον
τῶν τιη΄· καθελοῦσαν δὲ νεστόριον τὸν ἀνθρωπο-
λάτρην· καὶ τὸν ἀσεβέστατον εὐτυχῆ· καὶ διόσκορον
τὸν τούτῳ γενόμενον ὁμόφρονα· καὶ πᾶσαν αἵρεσιν
διελέγχουσαν· ὅθεν καὶ πάντας τοὺς ἑαλωμένους
τοῖς αἱρετικοῖς δόγμασιν ἐπιλαβεῖν ἀεὶ μὲν ὡς
ἔχοντας πρὸς αὐτὴν τὴν ἁγίαν μεγάλην οἰκουμενι-
700. κὴν σύνοδον. τοῦτο γὰρ ἐμπέπηγε κατὰ φύσιν τοῖς
κακοδόξοις ἐκπεπολεμῶσθαι κατὰ τῶν αὐτοὺς
διελεγχόντων· σὺν αὐτῇ δὲ τῇ ἁγίᾳ συνόδῳ, δεχό-
μεθα καὶ πάσας τὰς ἐπιστολὰς τοῦ τῆς ὁσίας μνή-
μης ἀρχιεπισκόπου γενομένου τῆς πρεσβυτέρας
ῥώμης, λέοντος· ὀρθῶς καὶ ἀνεπιλήπτως ἐχούσας.



καὶ καταγωνιζομένας πάσας ὡς εἰπεῖν τὰς αἱρέσεις·
ἐξαιρέτως δέ, τὴν νεστορίου καὶ εὐτυχοῦς τῶν δυσσε-
βῶν· παρακαλοῦμεν τοίνυν τὴν ὑμετέραν ὁσιό-
τητα· μαθοῦσαν τὸν ἡμέτερον σκοπόν· καὶ ὅπως
ἐν πᾶσιν ἀκολουθοῦμεν τοῖς ὑμετέροις καταθεοῖς
βουλεύμασι, τὰς ὑπὲρ ἡμῶν ποιεῖσθαι πρεσβείας
πρὸς τὸν τῶν ὅλων δεσπότην καὶ θεὸν ἰησοῦν τὸν χριστόν· ὥστε
τὴν ἐν ἡμῖν κρατοῦσαν εἰρήνην ἐπαυξῆσαι· καὶ πρὸς
τὴν ἠγαπημένην αὐτῷ δικαίαν ἕνωσιν, συνάψαι
τὰς ἁγιωτάτας ἐκκλησίας, εἰς δόξαν αὐτοῦ τοῦ
δεσπότου θεοῦ· καὶ καύχημα τῶν εὐσεβεστάτων καὶ
φιλοχρίστων ἡμῶν βασιλέων· καὶ κόσμον τοῦ
ὁσιωτάτου τῆς βασιλίδος ἀρχιεπισκόπου· καὶ πνευματι-
κὴν ἀγαλλίασιν, πάντων ἡμῶν· καὶ τοῦ πρὸς
ἑκάστην πόλιν πιστοτάτου καὶ ὀρθοδόξου λαοῦ·
τὰς δὲ παρὰ τοῦ πλήθους τῶν χριστιανῶν τῆς τυρίων
ἀφεθείσας ἐπὶ τῆς ἐκκλησίας φωνάς· ὅτε μεμα-
θήκασι τὰ πεπραγμένα παρὰ τῆς ὑμῶν ὁσιότητος·
εὐφροσύνης ἐμφορηθέντες, καθυπετάξαμεν τῷ
προκειμένῳ γράμματι· τὸν ἔνθεον αὐτῶν ζῆλον
ἐντεῦθεν παριστῶντες, τῇ ὑμετέρᾳ θεοφιλίᾳ· κἀ-
κείνῳ δὲ προσεσχηκότες τὸν νοῦν· καὶ τὴν διάνοιαν
ὁδηγηθέντες, ἐκ τῶν ἐκκειμένων κεφαλαίων ταῖς

ὑμετέραις δικαίαις κρίσεσι· περὶ τῆς ἀνακλήσεως τῶν
σωμάτων τῶν γενομένων ἡμῶν ἁγίων πατέρων· εὐφη-
μίου καὶ μακεδονίου· καὶ τῆς καταγραφῆς τῶν αὐτῶν
προσηγοριῶν ἐν τοῖς ἱεροῖς διπτύχοις· ὅπερ δὴ συνεῶ
φιλόθεον ἔχοντες, τὴν ψῆφον ἐξηγάγετε δοκιμάζουσαν
αὐτοὺς ἀνακληθῆναι· καὶ ταῖς προσηγορίαις ἐγγραφῆναι
ταῖς ἱεραῖς δέλτοις· μηδὲν καθάπαξ τῶν ἐπ' αὐτοῖς
ἀδίκως πεπραγμένων κατὰ τὸν φθάσαντα χρόνον·
ῥυπωσάντων τὴν ἔνθεον αὐτῶν πολιτείαν, τὴν
ὁμοίαν ἐπὶ τούτοις παράκλησιν ἐπιτείνομεν· ἔκ τε
κρίσεως τοῦ παναγίου πατριάρχου τῆς βασιλευούσης
πόλεως, καὶ τῆς ὑμετέρας ὁσιότητος· καὶ τῆς πρὸς
τὸν εὐσεβῆ καὶ φιλόχριστον ἡμῶν βασιλέα γενομένης
ἱκετείας λαβεῖν ἐν φιλοτιμίᾳ, καὶ τὸ σῶμα τοῦ γεγο-
νότος ἡμῶν πνευματικοῦ πατρὸς καὶ πατριάρχου τῆς ἀντιοχέ(ων)
φλαβιανοῦ, ἀποκαταστῆναι τῷ καταλόγῳ τῶν
προκοιμηθέντων ἁγίων πατέρων κατ' αὐτὸν τὸν ἀποστο-
λικὸν θρόνον, ἐνταγῆναι δὲ καὶ τὴν τιμίαν αὐτοῦ
προσηγορίαν, ταῖς ἱεραῖς δέλτοις· δίκαιον γὰρ τὸν
ὑπὲρ χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ τῆς εἰς αὐτὸν ὀρθῆς ὁμολο-
γίας κεκμηκότα, καὶ τῶν αὐτὸν συκοφαντησάντων
ὑπομείναντα τὴν μοχθηρὰν ψῆφον, μετασχεῖν ὧν
κατὰ κρίσιν τῆς ὑμετέρας θεοφιλίας μετέσχον



οἱ γεγονότες αὐτοῦ συλλειτουργοὶ καὶ συναγωνισταὶ πατρι-
άρχαι τῆς βασιλευούσης πόλεως, εὐφήμιος καὶ μακε-
δόνιος· φάμενοι τῆς ὁσίας μνήμης· ὥς γε τὸν εὐσεβῆ
καὶ γαληνὸν ἡμῶν βασιλέα καταξιῶσαι θεσπίσαι
τοῦτο δὴ προελθεῖν ὡς τάχος· εἰς δόξαν τῆς ἀχράντου
καὶ ὁμοουσίου τριάδος· φυλαττούσης τὴν εὐσεβῆ
καὶ φιλόθεον αὐτῶν βασιλείαν ἐν γαλήνῃ· καὶ πρὸς
ἀναίρεσιν πάσης βαρβαρικῆς ἀπονοίας· καὶ τὸν
ὁσιώτατον πατριάρχην τῆς βασιλευούσης ἐν εἰρήνῃ μετὰ
τῆς ὑμετέρας ὁσιότητος· ἐξ ὑμῶν γὰρ καὶ τὰ πρὸς
εὐχαριστίαν ἔχοντα τοῦ κρείττονος ἐρριζῶνται· καὶ
τὰ διαβολικὰ σκάνδαλα, παντελῶς ἐξελήλαται:-

ὑπογραφαί:-

Ἐπιφάνιος· ἐπίσκοπος τῆς τυρίων μητροπόλεως, ὑπ(έγραψα):-
Ἀνδρέας· ἐπίσκοπος τῆς σιδωνίων πόλεως, ὑπ(έγραψα):-
Ἰωάννης· ἐπίσκοπος τῆς πτολεμαΐων, ὑπέγραψα:-
Θεόδωρος· ἐπίσκοπος τῆς πορφυρεῶνος, ὑπ(έγραψα):-
Ἠλίας· ἐπίσκοπος τῆς ζηνοπολιτῶν, ὑπέγραψα:-
Εἰσὶν αἱ βληθεῖσαι φωναὶ ἐκ τοῦ χριστιανικωτάτου
πλήθους· ἐν τῇ ἀρχαίᾳ ἁγίᾳ ἐκκλησίᾳ μετὰ τὴν ἀνά-
γνωσιν τοῦ ἁγίου εὐαγγελίου· καὶ δύο ἐπιστολῶν·
μιᾶς μὲν παρὰ ἰωάννου τοῦ ἁγιωτάτου ἀρχιεπι-
σκόπου τῆς βασιλίδος πόλεως· τῆς δὲ ἑτέρας, παρὰ

τοῦ ὁσιωτάτου θεοφίλου ἐπισκόπου ἡρακλείας, πρὸς
τὸν ὁσιώτατον ἐπίσκοπον ἐπιφάνιον· ὁμοίως δὲ
καὶ τρίτης γεγραμμένης ἐπιστολῆς παρὰ τῶν συνελ-
θόντων κατὰ τὴν βασιλίδα πόλιν, ὁσιωτάτων ἐπι-
σκόπων· πρὸς τὸν ἀπομνημονευθέντα τῆς τυρίων
702 θεοφιλέστατον ἀρχιεπίσκοπον· ἀναγνωσθείσης δὲ,
οὐδὲν ἧττον παραχρῆμα διαφορᾶς γενομένης
παρὰ τῶν προειρημένων ὁσιωτάτων ἐπισκόπων
τῶν κατὰ τὴν βασιλίδα· πρὸς τὸν ὁσιώτατον καὶ
μακαριώτατον οἰκουμενικὸν πατριάρχην τῆς αὐτῆς
βασιλίδος πόλεως· ἐν ᾗ ἀνεθεματίσθη σευῆρος
ὁ ἐπίσκοπος τῆς ἀντιοχέων· κατὰ τὰ περιεχόμενα
τῷ αὐτῷ ἀναγνωσθέντι χάρτῃ· διὰ στεφάνου τοῦ εὐλα-
βεστάτου διακόνου· ἐν μηνὶ κατὰ τυρίους, λώῳ
εἰκάδι ὀγδόῃ· ἤτοι σεπτεβρίου ἑξκαιδεκάτῃ· τοῦ
τρίτου τεσσαρακοστοῦ ἑξακοσιοστοῦ· ἰνδικτιῶνος
δωδεκάτης, αὗται· τοῦ αὐγούστου, πολλὰ τὰ ἔτη·
τῆς αὐγούστης, πολλὰ τὰ ἔτη· τῆς συγκλήτου, πολλὰ
τὰ ἔτη· τῶν ἐπάρχων, πολλὰ τὰ ἔτη· ἰωάννου
κόμητος, πολλὰ τὰ ἔτη· ἐπιφανίου τοῦ πατριάρχου,
πολλὰ τὰ ἔτη· εἷς θεὸς ὁ τοῦτο ποιήσας· ὁ μέγας θεὸς,
τοῦτο παράσχοι· εἷς θεός· ἡ δὲ πίστις· ἅγιος θεός· μία
πίστις· ἅγιε εἰρήνην τῶν ἐκκλησιῶν· ἅγιε εἰρήνην



τῶν ὀρθοδόξων· ἰωάννου πατριάρχου, πολλὰ τὰ
ἔτη· ἐπιφανίου ὀρθοδόξου, πολλὰ τὰ ἔτη· ἀεὶ ἐποί-
ησεν ἡ σύνοδος, καὶ σὺ ποίησον· ἀεὶ ἐποίησεν ἡ
σύνοδος, ταῦτα ποίησον· ἰωάννου ὀρθοδόξου,
πολλὰ τὰ ἔτη· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο· νικᾷ
ἡ πίστις τοῦ αὐγούστου· ἐκ θεοῦ τὸ βασίλειον τοῦτο·
νέου κωνσταντίνου, πολλὰ τὰ ἔτη· ὀρθοδόξου
πατρὸς, πολλὰ τὰ ἔτη· ὁ μὴ λαλῶν, οὐκ ἔνι πιστός·
ἀεὶ ἐποίησεν ἡ σύνοδος, ἔμβα ποίησον· ἀπὸ πραχ
ἡ ἁγία τοῦ θεοῦ σύνοδος, ἔμβα ποίησον· νικᾷ ἡ
πίστις τοῦ αὐγούστου· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο·
βιταλιανοῦ πατρικίου, πολλὰ τὰ ἔτη· βιταλιανοῦ
ὀρθοδόξου, πολλὰ τὰ ἔτη· ἐπιφανίου ὀρθοδό-
ξου, πολλὰ τὰ ἔτη· ἔμβα ἀνάθεμα ποίησον καθὼς
καὶ οἱ πατέρες· ἔμβα ἀνάθεμα ποίησον καθὼς καὶ ἡ
σύνοδος· ἔμβα ἀνάθεμα ποίησον σευῆρον καὶ τὸν
μανδρίτην· ἔμβα ἀνάθεμα ποίησον σευῆρον καὶ
ἰωάννην· καὶ ἀνελθόντος τοῦ ἁγιωτάτου ἀρχι-
επισκόπου ἐν τῷ ἄμβωνι, ἐξεβόησαν· καλῶς
ὁ θεὸς ἦν καὶ ἔστι· ἅγιος θεός· μία πίστις· ἅγιος θεὸς ὁ τοῦτο
ποιήσας· ἀνώβαλε τοὺς ἐπισκόπους· ἀνώβαλε
τοὺς ὀρθοδόξους· καὶ ἀνελθόντων τῶν θεοφιλε-
στάτων· ἰωάννου ἐπισκόπου τῆς πτολεμαΐδος·

καὶ θεοδώρου ἐπισκόπου τῆς πορφυρεώνος· καὶ
ἠλίου ἐπισκόπου τῆς ῥαχληνῶν, πάλιν ἐξεβόησαν·
ἐπιφανίου πατριάρχου, πολλὰ τὰ ἔτη· ὡς οἱ ἅγιοι ἐμαρ-
τύρησαν, ἐμαρτύρησας καὶ ἐνίκησας· πέμψον
φέρετους ἐπισκόπους· πέμψον φέρετους ὀρθοδόξους·
οὗτος μόνος διὰ πίστιν ἀπέθανεν· οὗτος μόνος ἀπέ-
λαβε καμάτους· ἐμαρτύρησας καὶ ἐνίκησας· οὗτος
μόνος διὰ πίστιν ἐνίκησεν· ἐμαρτύρησας, καὶ ἡ
πίστις σου ἐνίκησεν· ἔβαλεν αὐτοὺς τὸ τρισάγιον·
ἔβαλεν αὐτοὺς, ὁ θεός· ἔβαλε σευῆρον, ὁ θεός·
ἐτάραξε τὰς ἐκκλησίας· ἔβαλεν αὐτοὺς, τὸ μυστή-
ριον· ἔβαλεν αὐτοὺς, ὃν ἐλίθασαν· ἔβαλεν αὐτοὺς,
ὃν ὕβρισαν· τούτους, ἔξω τῆς πόλεως· ποία πόλις
τῶν ἀποσχιστῶν· τοὺς αἰγυπτίους, ἔξω βάλε· ὁ
βασιλεύς, ὀρθόδοξος ἐστί· εἰς αἰῶνας τὸ βασίλειον
τοῦτο· τὸ σπήλαιον τῶν ληστῶν, ἔξω βάλε· τὸ σπή-
λαιον τῶν ἀποσχιστῶν, ὅρον· καῦσον· ἔξω βάλε
τὸν πρικηπίας· ὅλους τοὺς δολίους, ἔξω βάλε·
τὸν ῥωμαϊκόν, ἔξω βάλε· ἄνω βάλε οὓς ἠλένας·
ἔξω βάλε τὸν σωθηκάριον καὶ μανιχαῖον· ὁ ῥω-
μαϊκός, δόλιος ἐστί· τὸν ῥωμαϊκόν, ἔξω βάλε·
τὸν μανιχαῖον, ἔξω βάλε· καθαρίσον τὰς ἐκκλησί-
μετὰ ἴσου ἐστὶ καὶ σωθηκίζει τοὺς ἐπισκόπους· πέμ-



ψον φέρετους ἐπισκόπους· ἀνάθεμα σευήρῳ· καὶ
τοῖς φρονοῦσι τὰ αὐτοῦ· καὶ τῷ μανδρίτῃ· ἀνάθεμα
σευήρῳ· εὐτυχεῖ· καὶ νεστορίῳ· καὶ τῷ μανδρίτῃ·
τὸ ἐργαστήριον ἐν τολίου, διὰ τί ἤνοιξε· ἐμβάλω ἀνά-
θεμα πισον ὡς ὁρῶ μανῆς πατριάρχης, ἠλίαν τὸν βο-
τρυηνόν· τὸν δευτεροκόπον, δεῖ πάντα ἀναθεματίσον·
ἐπίσκοπον αὐτὰ αὐτοῦ ἐκεῖ πέμψον· ἐπισκόπους
αἱρετικούς, ἔξω βάλε· ἰουστῖνος βασιλεύς· οὐκ ἔνι
φοβηθῆναι· ὀρθόδοξος ἔνι· τοῦ αὐγούστου, πολλὰ
τὰ ἔτη· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο· νέος ἐστὶ
κωνσταντῖνος· οὐκ ἔνι φοβηθῆναι· νέας ἑλένης,
πολλὰ τὰ ἔτη· βιταλιανοῦ πατρικίου, πολλὰ τὰ ἔτη·
βιταλιανοῦ στρατηλάτου, πολλὰ τὰ ἔτη· τῶν ἐπάρ-
χων, πολλὰ τὰ ἔτη· τοῦ μαγίστρου, πολλὰ τὰ ἔτη·
τῆς ὅλης συγκλήτου, πολλὰ τὰ ἔτη· ἠλία κουρά-
τωρος, πολλὰ τὰ ἔτη· ἐπιφανίου ἀρχιεπισκόπου·
πολλὰ τὰ ἔτη· τὴν νίκην τοῦ αὐγούστου, κάθελε τὸν
βοτρυηνόν, ὡς μανιχαῖον· αἰγυπτίους ξυλεμ-
πόρους, οὐ θέλει ἡ πόλις· ἔξω βάλε τοὺς ἀκεφά-
λους· εἰ ἐνίκησαν, ἀποθνήσκομεν· φλαβιανὸν
πατριάρχην, τοῖς διπτύχοις· ἡ τριὰς, ἐνίκησε· λα-
βετήν θκόν· ὁ βασιλεὺς ἐκέλευσεν· ὡς εἶπεν ἡ
σύνοδος· ὁ βασιλεὺς ἐκέλευσε καὶ ὅλη ἡ σύνοδος·

ἀπὸ σχίσης οὐκ ἔνι. λάβε τὴν θεοτόκον. εἴσβα καὶ καθα-
ρισον τὸν οἶκον τὸν ἅγιον. ὁ μὴ λαλῶν, οὐκ ἔνι πιστός.
εἰς τὴν θεοτόκον ἄγωμεν. κήρυξον καὶ ἄγωμεν. τοῦ αὐ-
γούστου, πολλὰ τὰ ἔτη. εἷς θεός· μία πίστις. τὸ λείψανον
Φλαβιανοῦ, πέμψον φέρε. εἰς τὴν ἁγίαν Μαρίαν
ἄγωμεν. ἴδε δεύτερον ἔφραξαν τὰ ἔσω. τὸ σταυρίον
ὁδηγεῖ ἡμῖν. τὸν σταυρὸν ἐλίθασαν. καὶ ἀνέφραξαν τὰ ἔσω.
εἰς ποίαν πόλιν ταῦτα γίνονται. μία πίστις γέγονεν.
οὐκ ἔνι ἀταξία. ὁ σταυρὸς ἐνίκησε, καὶ οὐκ ἔνι ἀταξία.
ἡ τριὰς ἐνίκησε, καὶ οὐκ ἔνι ἀταξία. ἡ τριὰς
ἐνίκησεν. ἀπῆλθεν ὁ ἀκέφαλος. ὁ αὔγουστος ἐνί-
κησεν. ἄγωμεν εἰς τὴν θεοτόκον. νικᾷ Ἰουστῖνος. ἄγω-
μεν εἰσέλθωμεν. νικᾷ Ἰουστῖνος. ἄρτι ἔσω ἄγωμεν.
νικᾷ Ἰουστῖνος. κήρυξον τὴν σύναξιν. νικᾷ Ἰου-
στῖνος. τὴν ἡμέραν κήρυξον. Ἰωάννου πατριάρχου,
πολλὰ τὰ ἔτη. Ἐπιφανίου πατριάρχου, πολλὰ τὰ ἔτη.
τοῦ αὐγούστου, πολλὰ τὰ ἔτη. Εὐφημίας αὐγούστης,
πολλὰ τὰ ἔτη. Ἐπιφανίου ἀρχιεπισκόπου, πολλὰ
τὰ ἔτη. ὅπου ἐμαρτύρησας, κήρυξον τὴν σύνα-
ξιν. ἄγωμεν. εἰσέλθωμεν ἔσω εἰς τὴν θεοτόκον. ἐνί-
κησεν ὁ αὔγουστος. κήρυξον τὴν σύναξιν. κασέλλιον
ἐγένετο. λάβε τὴν θεοτόκον. συναγωγὴ ἐγένετο. λάβε
τὴν θεοτόκον. ἄγωμεν εἰσέλθωμεν κἀκεῖ ἀνάθεμα





πισον. ἄγωμεν εἰσέλθωμεν. ἀπῆλθεν ὁ ἀκέφαλος.
ἄγωμεν εἰσέλθωμεν. καθῃρέθη ὁ ἀκέφαλος. κέ-
λευσον καὶ ὑπάγωμεν τὸν σταυρὸν βαστάζοντες. νικᾷ ὁ
αὔγουστος. ἄγωμεν εἰσέλθωμεν. νικᾷ ὁ αὔγουστος.
ἔσω ἀνάθεμα πίσον. τί ἀναμένεις; ὀρθόδοξος εἶ. λι-
τανείαν κἀκεῖ στῶμεν. νικᾷ Ἰουστῖνος. ἔνθεν,
ἔσω ἄγωμεν. μαρτύρομαί σε. οὐδένα ἀφῆκαν ἔσω.
τὰ κειμήλια ἔλαβεν, ὁ τοῦ μοναστηρίου. κήρυξον
τὴν σύναξιν τὴν νίκην τοῦ αὐγούστου. μηδεὶς ἄλλος
τῇ πόλει. μίαν ἄρ πάντοις ὀρθοδόξοις. εἴσβα-
λυσον τὸ οἰκοδόμημα. ὁ ἀκέφαλος, οὐκ ἔχει
ὧδε τόπον. οὐκ ἔχει ὧδε τόπον ὁ μανιχαῖος. Ἐπι-
φανίου ἀρχιεπισκόπου, πολλὰ τὰ ἔτη. εἷς θεός, ὑ-
γείαν αὐτῷ. καὶ προσφωνήσαντος τοῦ αὐτοῦ
ἁγιωτάτου ἀρχιεπισκόπου. παρακαλῶ τὴν ὑμε-
τέραν ἀγάπην ἀνέξει καὶ ἡσυχῶς ἐνδέχειν. καὶ συγ-
χωρῆσαι κἀμὲ καὶ τοὺς θεοφιλεστάτους ἐπισκόπους
ἀναθεματίσαι τὸν ἀκέφαλον. καὶ ἐνταῦθα ἄρτι.
καὶ ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς ἁγίας θεοτόκου καὶ ἀει-
παρθένου Μαρίας. καὶ ἐν ὅλοις τοῖς εὐκτηρίοις
οἴκοις. καὶ ἐν ὅλαις ταῖς ἐκκλησίαις. καὶ ἐν ὅλαις
ταῖς πόλεσι. καὶ ἐν ὅλῳ τῷ κόσμῳ ἀναθεματίζεται
ἕως τοῦ αἰῶνος. καὶ πάλιν ἐξεβόησαν. ἡσυχίαν

τῷ κυρῷ ἡμῶν. καὶ λοιπὸν, εἶπε πρὸς τοὺς ἀπὸ τοῦ
πλήθους ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ἐπιφά
νιος, ταῦτα. τὴν ὀρθὴν καὶ ἀμώμητον καὶ ἀληθινὴν
πίστιν. ἣν παραδεδώκασιν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται
καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. καὶ ἐδίδαξαν ἡμᾶς
οἱ θεσπέσιοι καὶ πανάγιοι ἀπόστολοι. καὶ ἐξ αὐτῶν
705 λαβόντες οἱ τρισμακάριοι ἡμῶν ἅγιοι πατέρες. οἱ ἐπὶ
τῇ ὀρθῇ διαλάμψαντες πίστει. οἵ τε ἐν νικαίᾳ τιη,
καὶ οἱ ἐν τῇ βασιλευούσῃ κωνσταντινουπόλει, ρν.
καὶ οἱ ἐν ἐφέσῳ, σ. καὶ οἱ ἐν χαλκηδόνι, χλ.
οἱ λοιποὶ δὲ πάντες ὅσοι καὶ ὁμόφρονες αὐτῶν
ὀρθόδοξοι πατέρες. παραλαβόντες. καὶ ἀεὶ ἐν ἑαυτοῖς
ἐσχηκότες καὶ ἔχοντες. καὶ ταύτην ἄτρωτον φυλά
ξαντες. ἣν ἀεὶ καὶ ἐκηρύξαμεν ἐπ᾽ ἐκκλησίας. καὶ
κηρύττομεν ὑμῖν ἀγαπητοί. καὶ ἀναθεματίζομεν.
καὶ ἀνεθεματίσαμεν ἀεί, πάντας μὲν τοὺς αἱρετικοὺς
μετὰ τῶν δυσσεβῶν αὐτῶν φρονημάτων. καὶ τῶν
φρονούντων τὰ ὀλέθρια αὐτῶν δόγματα. ἐξαιρέ
τως δὲ, καὶ ὀνομαστὶ ἀναθεματίζομεν. ἄρειον. ἀ
νόμιον. μακεδόνιον τὸν πνευματομάχον. ἐβίωνα.
φωτεινόν. μάρκελλον. θεόδοτον. ἀρτεμᾶν. παῦ
λον τὸν σαμοσατέα. νεστόριον τὸν ἀνθρωπολάτρην
καὶ δυσσεβῆ. οὐαλεντῖνον. σκυθιανόν. μάνην.



μαρκίωνα. βαρδισάνην. ἀπολινάριον. εὐτυχέα.
μετὰ τούτων πάντων τῶν αἱρετικῶν. καὶ ὁμοίως
τούτων πάντων. ἀναθεματίζομεν καὶ τὸν δυσσεβῆ
σευῆρον τὸν ἀκέφαλον. καὶ ἀποσχίστην καὶ ἀεὶ
ἀλλότριον γενόμενον τοῦ δεσπότου ἡμῶν καὶ κυρίου
ἰησοῦ χριστοῦ. καὶ τῆς ἁγίας αὐτοῦ καθολικῆς καὶ ἀποστο
λικῆς ἐκκλησίας. καὶ τὸ δυσσεβὲς αὐτοῦ φρόνημα.
ὡς ἀναθεματίσαντα τοὺς ἁγίους ἡμῶν ὀρθοδόξους
πατέρας. καὶ σχίσματα καὶ ταραχὰς ἐμποιήσαντα
ταῖς ἁγίαις ἐκκλησίαις τῶν ὀρθοδόξων χριστιανῶν,
πανταχοῦ ὡς εἰπεῖν τοῦ κόσμου. καὶ διακούσαντες
αὐτὸν οἱ ἀπὸ τοῦ πλήθους, ἐξεβόησαν. ἅγιος θεὸς ὁ
τοῦτο ποιήσας. εἷς θεός. μία πίστις. ἡ εἰρήνη τῶν
ἐκκλησιῶν. ἐπιφανίου ἀρχιεπισκόπου, πολλὰ
τὰ ἔτη. ἡ εἰρήνη τῶν ὀρθοδόξων. ἡ εἰρήνη
τοῦ βασιλέως. ἀναθεμάτισον, καὶ τὸν μανδρίτην.
πληρῶν δὲ ὁ αὐτὸς ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος
τὰ λοιπὰ τῆς προσφωνήσεως καὶ τοῦ ἀναθέ
ματος, ἔφη πρὸς αὐτούς, ταῦτα. ὡσαύτως δὲ
ἀναθεματίζομεν, καὶ ἰωάννην τὸν μανδρίτην.
τὸν ἀποστάτην, καὶ ἀρνησίθεον. ἀφ᾽ οὗ καὶ προ
σέλαβε τὸ δυσσεβὲς φρόνημα. παρὰ τοῦ αὐτοῦ
ἀσεβεστάτου σευήρου. ἔστωσαν τοίνυν οἱ ᾑρημένοι.

σευῆρος ὁ ἀκέφαλος· καὶ ἰωάννης ὁ μανδρίτης· καὶ
τὸ δυσσεβὲς αὐτῶν φρόνημα μετὰ τῶν κοινωνούντων
αὐτοῖς, ἀνάθεμα καὶ κατάθεμα ἀπὸ τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ· καὶ τοῦ ἁγίου πνεύματος· ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ·
ἐν τῷ αἰῶνι τούτῳ, καὶ ἐν τῷ μέλλοντι· ἀμήν: ἐξε
106 βόησαν οἱ ἀπὸ τοῦ πλήθους· ἀμήν· ἀμήν· ἀμήν.
εἷς θεός, ὁ τοῦτο ποιήσας· ἐπιφανίου ἀρχιεπισκόπου,
πολλὰ τὰ ἔτη· ἰωάννου κόμητος, πολλὰ τὰ ἔτη·
ὅλους τοὺς αἱρετικούς, ἀναθεμάτισον· μία ἀνδρεία
τῇ θεοτόκῳ· ἡ τριὰς ἐνίκησε· τὴν σύναξιν κήρυξον·
ὁ σταυρὸς ἐνίκησε· τὴν σύναξιν κήρυξον· ἔξω βάλε
τὸν πριγκηπίας· ἔξω βάλε τοὺς μεταβάτας· ἔσω
εἰς τὴν θεοτόκον, τὴν σύναξιν κήρυξον· ὁ μὴ λαλῶν,
οὐκ ἔνι πιστός· αὕτη ἡ ὥρα θεῷ ἀρέσκει καὶ τοῖς
πράσιν· αὕτη ἡ ὥρα, θεῷ ἀρέσκει καὶ τῷ αὐγούστῳ·
νικᾷ ἰουστῖνος· τὴν σύναξιν κήρυξον· σταυρὲ βα· ἄ
νοιξον τὴν θεοτόκον· εἰς βα ἄνοιξον ὃν παρέλαβες·
οἱ ἰουδαῖοι, χαίρονται· τὴν θεοτόκον ἄνοιξον· οἱ ἰου
δαῖοι χαίρονται, ὅτι ἠσφάλισται ἔσω· σταυρὲ βα·
ἀπάσσομεν ὧ ἐκοινώνησαν· οὐκ ἔστιν ἀναστάσιος·
ἰουστῖνος βασιλεύει· ὀρθόδοξος ἐστίν· οὐκ ἔστι μανι
χαῖος· ὀρθόδοξος ἐστίν· ἰουστῖνος βασιλεύει· ὁ νέος
κωνσταντῖνος· οὐκ ἔστι μανιχαῖος, ὡς ἀναστάσιος·



ἰωάννου πατριάρχου, πολλὰ τὰ ἔτη· ἐπιφανίου ὀρθο
δόξου, πολλὰ τὰ ἔτη· τὸν ἀνεψιὸν τοῦ μανδρίτου, ἀνάθε
μάτισον· τοὺς κατὰ σοῦ, ἀναθεμάτισον· μία ἀνδρεία
τῇ πόλει· ἄνοιξον ἣν ἥρπασαν· σταυρὸς θεός· μία πίστις· ἀπέ
θανεν ἀμάρτης ὁ ἀντάρτης τῆς τριάδος· σταυρὲ βα· ἔνδυ
σον ὃν ἐγύμνωσαν· νικᾷ ἰουστῖνος· τὴν σύναξιν κή
ρυξον· τὸ λυχνικὸν ἔσω ποίησον· τὴν σύναξιν
κήρυξον· ἀπάτριαι, τὴν ὑγείαν δὸς αὐτῷ· εἷς θεός·
μία πίστις· ὅλων ὀρθοδόξων, πολλὰ τὰ ἔτη· πέμ
φον φέρε τοὺς ἄλλους ἐπισκόπους· ἡλίαν τὸν βο
στρηνόν, ἀναθεμάτισον· ἰωάννου πατριάρχου, πολλὰ
τὰ ἔτη· ἐπιφανίου πατριάρχου, πολλὰ τὰ ἔτη· τοῦ
αὐγούστου, πολλὰ τὰ ἔτη· εὐφημίας αὐγούστης, πολ
λὰ τὰ ἔτη· τὴν νίκην τοῦ βασιλέως, εἴσελθε ἔσω·
εἰς αἰῶνας τὸ βασίλειον τοῦτο· ἀπελάτα τοῦ ἀκε
φάλου· ἀπελάτα τῶν αἱρετικῶν· καὶ λοιπὸν
ἰωάννης ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς πτολεμαΐ
δος, εἶπε πρὸς τοὺς ἀπὸ τοῦ πλήθους, ταῦτα· ἀνα
θεματίζομεν πάντας μὲν οὓς ἀνεθεμάτισεν ὁ ἁγιώ
τατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος
καὶ μητροπολίτης· καὶ πάσας τὰς αἱρέσεις· ἐξαιρέ
τως δέ, τὸν δυσσεβῆ καὶ θεομάχον σευῆρον τὸν
ἀκέφαλον· καὶ μανιχαῖον· καὶ ἰωάννην τὸν δυσσεβῆ

καὶ θεομάχον, τὸν μανδρίτην· καὶ ἀποστρεφόμεθα τὴν
πρὸς αὐτοὺς κοινωνίαν· καὶ ἀλλοτρίους αὐτοὺς καλοῦμεν,
καὶ αὐτοὺς τοῦ ὀνόματος τῶν χριστιανῶν· ἔστωσαν οὖν
ἀνάθεμα ἀπὸ τοῦ πατρὸς· καὶ τοῦ υἱοῦ· καὶ τοῦ ἁγίου πνεύματος·
ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ
727 μέλλοντι, ἀμήν. εἶπε δὲ καὶ Θεόδωρος ὁ θεοφιλέστα-
τος ἐπίσκοπος τῆς Πορφυρεωνιτῶν, ταῦτα· πάντας
ὅσους προανεθεμάτισεν ὁ ἁγιώτατος καὶ μακα-
ριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ μητροπολίτης,
ἀναθεματίζομεν σὺν αὐτῷ· σὺν αὐτοῖς δὲ ἀναθεμα-
τίζομεν καὶ Σευῆρον τὸν ἀκέφαλον· καὶ Ἰωάννην
τὸν μανδρίτην· ὡς συναινέσαντα τούτοις αἱρε-
τικοῖς καὶ ἀσεβέσιν αὐτοῦ δόγμασιν· ἔστωσαν τοί-
νυν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς· καὶ τοῦ υἱοῦ· καὶ τοῦ ἁγίου
πνεύματος· ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· ἐν τῷ αἰῶνι τούτῳ καὶ
ἐν τῷ μέλλοντι, ἀμήν. ἔφη δὲ καὶ Ἠλίας ὁ θεο-
φιλέστατος ἐπίσκοπος τῆς Ῥαχληνῶν, ταῦτα· καὶ
ἡμεῖς κατ' ἴχνος βαίνοντες τοῦ ἁγιωτάτου καὶ μα-
καριωτάτου ἡμῶν ἀρχιεπισκόπου καὶ μητροπολί-
του· καὶ πειθόμενοι τῇ αὐτοῦ ἀγαθῇ διδασκα-
λίᾳ· καὶ ὡς ὀρθῶς καὶ κατὰ τὰ δίκαια καὶ τὰ ἀληθῆ
ταῖς ἁγιωτάταις ἐκκλησίαις πραγματεύεται, τοῦ-
του χάριν ἀναθεματίζομεν, τοὺς οὓς ἅπαξ οὗτος



ἀναθεματισθέντας· ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν
ἀναθεματιζομένους· τὸν ἀκέφαλον καὶ μανιχαῖον
Σευῆρον· καὶ τὰ δυσσεβῆ αὐτοῦ φρονήματα· καὶ
Ἰωάννην τὸν μανδρίτην· καὶ τὰ δυσσεβῆ αὐτοῦ δό-
γματα· μετὰ καὶ τῶν κοινωνούντων αὐτοῖς· περὶ
γὰρ τῶν λοιπῶν, περιττόν ἐστι καὶ λέγειν· ἔστωσαν
τοίνυν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς· καὶ τοῦ υἱοῦ· καὶ τοῦ
ἁγίου πνεύματος· ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· ἐν τῷ αἰῶνι
τούτῳ καὶ ἐν τῷ μέλλοντι, ἀμήν. καὶ ἐξεβόησαν
οἱ ἀπὸ τοῦ πλήθους· εἷς θεὸς, χριστὸς βασιλεύει· τῶν ἐπι-
σκόπων, πολλὰ τὰ ἔτη· τῶν ὀρθοδόξων, πολλὰ
τὰ ἔτη· εὐλογητὸς κύριος ὁ θεὸς ὁ βασιλεύς· ὅτι ἐπεσκέ-
ψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ· καὶ
ἐπιμεινάντων τῶν ἀπὸ τοῦ πλήθους· καὶ ἐκ-
βοώντων περὶ τοῦ γενέσθαι ἁγίαν σύναξιν ἐν τῷ
εὐκτηρίῳ οἴκῳ τῆς ἁγίας ἐνδόξου καὶ θεοτόκου παρ-
θένου Μαρίας, προσεφώνησεν αὐτοῖς ὁ ἁγιώ-
τατος ἡμῶν ἀρχιεπίσκοπος, ταῦτα· ἐπειδὴ πολλή
ὥρα ἐστί· καὶ δίκαιόν ἐστι ποιῆσαι ἡμᾶς τὴν θείαν
λειτουργίαν· δι' ἧς θεραπεύεται ὁ θεὸς καὶ ὠφέλεια ἂν
τῶν ἡμετέρων ψυχῶν, ἀρκεσθῶμεν τούτοις· πολλὰ
γάρ ἐστι τὰ ἔχοντα ἀναγνωσθῆναι· τῇ οὖν σὺν θεῷ
ἁγίᾳ κυριακῇ τῇ ἐπιούσῃ· ἐν τῷ εἰρημένῳ αὐτῇ

ρίῳ οἴκῳ τῆς δεσποίνης ἡμῶν τῆς ἐνδόξου καὶ θεοτόκου παρ-
θένου μαρίας, τὰ λοιπὰ ἀναγινώσκομεν· καὶ πάλιν
ἀναθεματίζομεν τὸν ἀκέφαλον καὶ πάντας τοὺς μετ'
108 αὐτοῦ· καὶ λοιπὸν ἐκήρυξε τὴν τοιαύτην ἁγίαν σύναξιν,
ζαχαρίας ὁ εὐσεβέστατος ἀρχιδιάκονος· γνωρίζομεν
τῇ ὑμετέρᾳ ἀγάπῃ· ὅτι περ τῇ ἐπιούσῃ κυριακῇ· εἰς
δόξαν τοῦ δεσπότου χριστοῦ τοῦ θεοῦ ἡμῶν· καὶ τῆς ἁγίας ἐν-
δόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου μαρίας·
καὶ ὑπὲρ σωτηρίας· νίκης καὶ διαμονῆς τοῦ φιλοχρίστου
ἡμῶν βασιλέως ἰουστίνου· καὶ τῆς εὐσεβεστάτης βασι-
λίδος εὐφημίας· καὶ τῶν μειζόνων ἐξουσιῶν· καὶ
τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς βασιλίδος πό-
λεως, ἰωάννου· καὶ τῆς αὐτόθι ἐνδημούσης ἁγίας
συνόδου, ἐν τῷ οἴκῳ τῆς ἁγίας μαρίας τῷ ἐν ἰδμ-
ψούφοις, τὴν ἁγίαν σύναξιν ποιούμεθα· τῇ δὲ αὐτῇ
ἁγίᾳ κυριακῇ, ἕωθεν ἐνταῦθα συνερχόμεθα· ἵνα
ἐντεῦθεν μετὰ ψαλμῳδιῶν καὶ κηρῶν καὶ θυμια-
μάτων· ἐν τῷ αὐτῷ ἁγίῳ οἴκῳ καταντήσαντες, τὴν
λιτὴν καὶ τὴν ἁγίαν σύναξιν πληρώσωμεν· πάντες
καὶ πᾶσαι, μετὰ σπουδῆς συνέλθωμεν· καὶ μετὰ ταῦτο ν,
καὶ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος ἡμῶν, εἶπεν οὕτως·
γνωρίζομεν τῇ ὑμετέρᾳ ἀγάπῃ· ὡς ὅτι περ τῇ ἐπι-
ούσῃ ἁγίᾳ κυριακῇ, ἐνταῦθα συνερχόμεθα· ἵνα



ἐντεῦθεν μετὰ ψαλμῳδιῶν· καὶ κηρῶν· καὶ θυμιαμάτων
λιτανεύοντες, καταντήσωμεν ἐν τῷ εὐκτηρίῳ οἴκῳ
τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου μαρίας, κἀκεῖσε
τὴν ἁγίαν σύναξιν, πληροῦμεν· καὶ ἐξεβόησαν
οἱ ἀπὸ τοῦ πλήθους· τὸν ἔφορον, ἔξω βάλε· ὅλους
ἀποσχίστας, ἔξω βάλε· ἀνάθεμα τοῖς ἀποσχίσταις·
ἀνάθεμα τοῖς δεχομένοις ἕνα ἐκείνων· κληρικοὺς
ἀποσχίστας, μηδεὶς δέξηται· τοὺς ἀποστάτας, μηδεὶς
δέξηται· τοὺς πολεμήσαντας τὸν σταυρόν, μηδεὶς δέξη-
ται· καὶ λοιπὸν προσεφώνησεν αὐτοῖς ὁ ἁγιώτατος
ἡμῶν ἀρχιεπίσκοπος, ταῦτα· τὸ μέντοι λυχνικὸν
τῷ σαββάτῳ ἑσπέρας ἐν τῷ αὐτῷ εὐκτηρίῳ οἴκῳ τῆς
ἁγίας θεοτόκου καὶ ἀειπαρθένου μαρίας, σὺν θεῷ ποιού-
μεθα· καὶ ἡσυχασάντων, ἐπετελέσθη ἡ ἁγία σύ-
ναξις:—

ἐπιστολὴ τῶν ἐν δευτέρᾳ συρίᾳ ἐπισκόπων, πρὸς
ἰωάννην πατριάρχην, καὶ τὴν σύνοδον:—

Τῷ δεσπότῃ ἡμῶν τῷ πάντα ἁγιωτάτῳ καὶ μακαριω-
τάτῳ πατρὶ πατέρων· ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ
πατριάρχῃ, ἰωάννῃ· καὶ τῇ κατὰ τὴν βασιλίδα τῶν
πόλεων ἐνδημούσῃ ἁγίᾳ καὶ θεοτιμήτῳ συνόδῳ,
οἱ ἐλάχιστοι ἐπίσκοποι συρίας δευτέρας:—
ταν ἀποβλέψωμεν πρὸς τὴν φορὰν τῶν παριστοι χῦ

ὄντων ἡμᾶς χαλεπῶν. καὶ λογισώμεθα τὴν ἐπενε-
χθεῖσαν σύγχυσιν ἀπροσδοκήτως ταῖς ἐκκλησίαις
τοῦ θεοῦ. τὸ παρεικότως ταῖς οἰκείαις ἐπιγράφοντες
ἁμαρτίαις, τὴν τοῦ κυρίου μακροθυμίαν θαυμάζομεν.
ὅταν δὲ πάλιν τὴν πρὸς τὸ κρεῖττον ἐνθυμηθῶμεν
εὐκταίαν μεταβολήν, τὴν ἀποστολικὴν ἐκείνην προ-
αγόμεθα λέγειν φωνήν. χάρις τῷ θεῷ ἐπὶ τῇ ἀνεκ-
διηγήτῳ αὐτοῦ δωρεᾷ. οὐ γὰρ περιεῖδεν εἰς τέλος ἡμᾶς.
ἀλλ' ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.
ἵνα τοῖς μὲν καὶ τοῖς λίαν ἀπίστοις τῆς ἀληθείας ἐπί-
γνωσις γένηται. καὶ διὰ τῶν πραγμάτων φανῶσιν
ὡς ἀληθῶς ἀψευδεῖς αἱ τοῦ κυρίου φωναί. καὶ πρὸς ταῖς
ἄλλαις, αἳ διαρρήδην βοῶσαι. ἰδοὺ ἔρχονται πρὸς
ὑμᾶς ἐν ἐνδύμασι προβάτων. ἔσωθεν δέ εἰσι λύκοι
ἅρπαγες. ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐ-
τούς. καὶ λοιπὸν περισωθῶσι καὶ ἐγκαταλεγῶσι
τῇ ἱερᾷ ποίμνῃ χριστοῦ τοῦ θεοῦ ἡμῶν. τὰ παρ' αὐτῶν δια-
σπασθέντα πρόβατα, δέδωκε καὶ ἐφήπλωσεν ὁ θεὸς
ἐπὶ τῇ τῶν ἐκκλησιῶν εὐκοσμίᾳ κατὰ πᾶσαν τὴν
οἰκουμένην, εἰρήνης ἄφατον δωρεάν. βασιλέως
γὰρ πιστοῦ χρηματίζοντος. καὶ τὴν καρδίαν ἐλλαμ-
πομένου προμηθείᾳ τοῦ κρείττονος. καὶ ἀρχιερέως
ὁσίου. τῇ φωτεινείας χάριτος ἀναφανέντος κατὰ



τὴν βασιλίδα τῶν πόλεων. καὶ τῶν ἀποστολικῶν
ὑπερμαχοῦντος δογμάτων, πῶς ἔνεστι μὴ λίαν τὸν
λογισμὸν ὑπεραίρεσθαι. καὶ εὐφραίνεσθαι τῇ τῶν
ἀρίστων ἀπὸ τῶν χειρόνων ταχείᾳ μεταβολῇ. καὶ
ἀπορρίπτειν ἀνειμένως. καὶ ὡς ἔνι μάλιστα τοῦ
φθονεροῦ διαβόλου τὰ κέντρα. καταστάντες γὰρ
εἰς γνῶσιν ἡμεῖς ὧν ἐνθέσμως καὶ κανονικῶς
ἔπραξεν ἡ ἁγία σύνοδος τῶν ὁσιωτάτων ὑμῶν.
μηδ' ὅλως ὑπομείνασα τὴν ἄθεον καὶ παράνομον
σευήρου προπέτειαν. ποία γὰρ δύναμις λόγου καὶ
πρὸς ὀλίγον ἐφικέσθαι δυνήσεται τῶν ἐκείνου
κακῶν. καὶ ὧν τὸ θεῖον ἐβλασφήμησε. τὸν ἅπαντα
χρόνον ἀναθεματίζων τήν τε ἁγίαν μεγάλην καὶ
οἰκουμενικὴν ἐν χαλκηδόνι σύνοδον. καὶ τὴν
ἐπιστολὴν τοῦ ἐν ἁγίοις λέοντος. γενομένου τῆς
πρεσβυτέρας ῥώμης, ἀρχιεπισκόπου. συνεργὸν
καὶ παραπλήσιον ἐν ἅπασιν ἔχων, πέτρον τὸν ἀσε-
βῆ. τὸν τῆς ἀπαμέων τὴν προεδρίαν παρὰ πάντα
θεσμὸν ἐκκλησιαστικὸν ὑφαρπάσαντα, ἥσθημεν
εἰκότως. πῶς γὰρ οὐκ ἐμέλλομεν. εὐχαρίστοις τε
ἀνεπέμψαμεν ὕμνοις, κυρίῳ τῷ θεῷ ἡμῶν. ἐφ' οἷς
καὶ νῦν θεραπείαν ἀνὰ καιρόν. καὶ λύσιν τῶν δυσχερῶν
ἐδωρήσατο πᾶσιν ἡμῖν. ἤδη μὲν οὖν εὐθὺς ἐν

προοιμίοις· ἐν γνώσει τῶν ἐκείνοις ἐπταισμένων γενό-
μενοι· καὶ μὴ φέροντες τὴν ὀλεθρίαν εἰσήγησιν τῶν
πονηροτάτων κατανοεῖν, φθάσαντες ἠλευθερώσαμεν
τὰς ἑαυτῶν ψυχάς· καὶ τὰς πιστευθείσας ἡμῖν ἐκκλησίας,
τῆς Σευήρου καὶ Πέτρου κακίας· καὶ ἀπεκηρύξαμεν
ὡς αἱρεσιάρχας· καὶ ἀναθέμασιν ὑπεβάλομεν· χω-
ρίσαντες ἑαυτοὺς τῆς πρὸς ἐκείνους κοινωνίας· ἀλλ'
ἐπειδήπερ· οὐ μόνον ἡ τῶν ἐλαχίστων ἡμῶν γέγονε
δικαία κατ' ἐκείνων ἀπαγόρευσις· ἀλλ' ἤδη καὶ τῶν
μακαριωτάτων ὑμῶν· οἷς καὶ ἡμεῖς ἀκολουθεῖν
ἐπειγόμενοι· καὶ φέρειν οὐ δυνάμενοι τῶν τηλικού-
των ἀτοπημάτων τὸ μέγεθος· στένοντες δὲ καὶ δα-
κρύοντες ἐπὶ τῇ τῶν ἀσεβῶν ἀναλγησίᾳ· καὶ βουλό-
μενοι μένειν ἐπὶ τοῖς προτέροις, συνεχωρήθημεν
οὐδαμῶς· διὰ λιβέλλων ἡμῖν ἐπιδοθέντων, ὑπὸ
τοῦ θεοφιλοῦς τῆς Ἀπαμέων κλήρου· καὶ τοῦ συστή-
ματος τῶν εὐλαβῶν μοναχῶν· δι' ὧν διεξῆλθον,
φόνους· παροινίας· πράξεις τολμηράς· πολυ-
ορκίας μοναστηρίων εὐαγῶν· γυναίων ἀσέμνων
ἐπισαγωγὰς ἐν τοῖς ἱεροῖς καὶ ἀσύλοις σηκοῖς· ἐπι-
ορκίας· βλασφημίας· δόσεις χρημάτων, χειρο-
τονίας· τὰ γὰρ τούτων φρικωδέστερα καὶ μείζονα
ἢ κατὰ φύσιν ἀνθρωπίνην ἐστὶν εἰπεῖν, περίεργον

ἂν εἴη διακωδωνίζειν· συγχωρεῖν δὲ διὰ τῆς τῶν ἐγ-
γεγραμμένων λιβέλλων καταγραφῆς, γνῶσιν παρα-
λαμβάνειν τοὺς ἐντυγχάνοντας· ἀφορμὴν καὶ δίκαια
σπέρματα τῆς κατ' ἐκείνων ἐνθέσμου πάλιν κατα-
κρίσεως ἀρπάζοντες καὶ νῦν· ἀφ' ὧν ἐκεῖνοι μάλιστα
καὶ πληττόμενοι τῷ οἰκείῳ συνειδότι· καὶ πάντα
παρὰ κανόνας πράττοντες· δελεάσαντες ἐνίους τῶν
τελούντων ἐν τοῖς ἡμετέροις κλήροις· καὶ διὰ
σωφρονισμὸν ἐκκλησιαστικὸν πρὸ ὀλίγου ἐκ-
βληθέντας, εἰς ἑαυτοὺς εἵλκυσαν καὶ ἀπηνέγκαντο·
καὶ ταῖς ὑπ' αὐτῶν πορθουμέναις ἐκκλησίαις, ἀ-
θέσμως ἀπεγράψαντο· πανταχοῦ τοῖς θείοις κανό-
σι μαχόμενοι· τούτου χάριν ἡμεῖς· παιδαγωγού-
μενοι τῇ ὁσίᾳ τῶν ὑμετέρων δογμάτων ἐπικρί-
σει, ἀναθεματίζομεν καὶ ἐπὶ τοῦ παρόντος, Σευῆρον
καὶ Πέτρον, τοὺς φρενοβλαβεῖς· καὶ τῇ κρίσει τοῦ
μεγάλου βήματος καὶ φοβεροῦ, παραδίδομεν τὰς
ἐκείνων ἀνοσίας ψυχάς· ἀπαλλοτριοῦντες αὐ-
τοὺς παραπλησίως καθάπερ ὑμεῖς μακαριώ-
τατοι, παντὸς πράγματος· τιμῆς· ἀξίας· ἐνεργείας
ἱερατικῆς· τῆς σεπτῆς κοινωνίας· καὶ γυμνοῦντες,
οὐ μόνον ἱερωσύνης, ἧς ἔχειν ἐφαντάζοντο μάτην,
ἀλλὰ καὶ πάσης μετουσίας· πρὸς τὴν τῶν ὀρθοφρονούντων

ἐγνωκότων, διὰ κρίσιν. δέος γὰρ μὴ τοὺς ἀκεραιοτέρους
ἐπὶ πλεῖον μιμηταὶ, τῶν οἰκείων βλασφημιῶν καθελ-
711 κύσωσι· πάντα γὰρ τολμῶσιν ὡς ἔτυχε. καὶ δεόμεθα
τῶν ἁγιωτάτων ὑμῶν· διὰ ταύτης ἡμῶν τῆς μετρίας
ἐπιστολῆς· ἣ καὶ ἐντέτακται τὰ ἐπιδοθέντα διδασκα-
λικά· γνῶσιν ἀληθῆ παρειληφότας τῶν Σευήρου
καὶ Πέτρου πλημμελημάτων, ἐπικυρῶσαι καὶ τὴν
παρ' ἡμῶν νῦν ἡγησαμένην διοίκησιν· τοῖς θείοις
ἐγνωσμένην κανόσιν. εἰ καὶ μηδὲν ἔχειν αὐτοὺς
ἔνθεσμον ἱερωσύνης ἐγνώκαμεν πώποτε· ἀναγαγεῖν
δὲ καὶ ἐπὶ τὸν εὐσεβέστατον καὶ ὀρθόδοξον ἡμῶν
βασιλέα· ἐφ' ᾧ τε μανθάνοντα τὰ περιεχόμενα τοῖς
λιβέλλοις· καὶ τὰ παρ' ἡμῶν κριθέντα· καὶ δὴ καὶ
εἴδησιν ἔχοντα τῶν παρ' ὑμῶν ἤδη καλῶς καὶ ὁσί-
ως ἐψηφισμένων, θεσπίσαι ταῖς ἡμῶν ἱκεσίαις πειθό-
μενον, τέλεον ἐλευθερῶσαι τῆς ἐκείνων ψυχοφθό-
ρου βλάβης, τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. οὕτω γὰρ
ἂν ὁ καθαρὸς σῖτος ἐπὶ τῆς εὐσεβοῦς αὐτῶν βασιλείας
ἀδιάφθορος μένοι· τῶν ζιζανίων χωρισθέντων· ὡς
εἴθε πάλαι καὶ πρὸ πάλαι. προσ[illegible] τῶν
μακαριωτάτων ὑμῶν, καὶ τὰ ἴσα τῶν παρὰ τοῦ
μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος γνωρι-
σθέντων τοῖς ἐνδοξοτάτοις ἄρχουσιν, ἐνετάξαμεν



τῇ δὲ τῇ συνοδικῇ τῶν ἐλαχίστων ἡμῶν ἐπιστολῇ:-

Ὑπογραφαί:-

Κῦρος ἐλέῳ θεοῦ ἐπίσκοπος Μαριάμμης, ἐρρῶσθαι
με ἐν κυρίῳ καὶ αὐτῷ δουλεύειν ἀπερισπάστως, ὑπερεύ-
χεσθε κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι
πατέρες:-
Ζωΐλος ἐλέῳ θεοῦ ἐπίσκοπος Ῥεφανέας, ἐρρῶσθαί με:-
Σευηριανὸς ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀρεθούσης, ἐρρῶ:-
Κοσμᾶς ἐλέῳ θεοῦ ἐπίσκοπος Ἐπιφανείας τῆς φιλο-
χρίστου, ἐρρῶσθαί με:-
Εὐσέβιος ἐλέῳ θεοῦ ἐπίσκοπος Λαρίσσης, ἐρρῶ:-

Ἀντίγραφον πράξεως συναχθείσης κατὰ Πέτρου τοῦ Ἀπαμείας·
ἐπὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος:-
[illegible]
ΕΝΤ:-

Ἐπειδήπερ κατὰ τὸ διελθὸν ἅγιον πάσχα τῇ μεγάλῃ
κυριακῇ· ἀνελθόντος τοῦ κλήρου παντὸς ὡς ἔθος 712
ἐστίν· εἰς προσηγορίαν τοῦ γενομένου ἡμῶν ἐπισκό-
που Πέτρου· ἀκηκόαμεν παρ' αὐτοῦ ἀγανακτήσαν-
τος κατὰ τῶν ἀναγνωστῶν· τότε γὰρ ἀναγνῶσαι ἐτυγ-
χάνομεν· καὶ λέγοντος ἡμῖν· ὅτι διατί κοινοποιεῖ-
τε κατ' ἐμοῦ. ὅτι ἐποίησα Κωνσταντῖνον ἀπολαϊ-
κῶν διάκονον, καὶ ὑμᾶς παρεῖδον·, μὰ τὸν Ἰησοῦν·

ὅπερ ἐδοκίμασα τὴν νύκτα ταύτην ποιῆσαι ὑμᾶς ἀπὸ ἀναγνωστῶν, ὑποδιακόνους· ἵνα αὐτὸς ὁ Σεβῶ θεὶς κατελθὼν, μὴ ἐλυτρώσατο ὑμᾶς ἐκ τῶν χειρῶν μου. Ταῦτα δὲ καὶ ἐπὶ παντὸς τοῦ κλήρου, εἶπε. κἀγὼ δὲ Στέφανος ὁ διάκων καὶ τὸ τῆς στολῆς γινόμενον ἐν τῷ μαρτυρίῳ Ζαβδάλης· ἐπειδὴ δὲ διδασκαλικὸν συνέταξαν οἱ παρόντες θεοφιλέστατοι κληρικοί· ὅπερ καὶ ἐπέτρεψαν ἡμῖν ἐπιδοῦναι, παρακαλοῦμεν τοῦτο ἀναγνωσθῆναι· καὶ ἕκαστον διασαφηνίσαι ἅπερ οἶδε κεφάλαια τῷ προκειμένῳ διδασκαλικῷ: F∠sιonánnesρa∠∠aδ ιηsεηζηcΗιάνηηsηβc∠aβissιmηsιonesεζppaεses διχιτ :-

Τὸ ἐπιδιδόμενον διδασκαλικὸν, ἀναγινωσκέσθω· οὕτω τε κατὰ τὴν αἴτησιν τῶν ἐπιδεδωκότων· παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι· διάκονοι· ὑποδιάκονοι· ἀναγνῶσται· καὶ λοιποὶ εὐλαβεῖς κληρικοί· βουλόμενοι, σαφῆ ποιεῖν τὴν οἰκείαν γνώμην, ἐφ' οἷς καὶ ἐπίστανται· τὸν ἐν κατανοῷ λαμβάνοντες καὶ τὸ οἰκεῖον πρόσχημα· ὡς οὐδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιήσονται· ἀλλὰ πάντα σὺν ἀληθείᾳ ἐκδιδάξουσιν: εζcηνοδζη∠ιsse ζεχοFFιcιoβεcιτaζaεcτ :-

Τοῖς πάντα ὁσιωτάτοις καὶ ἁγιωτάτοις πατράσι





καὶ ἐπισκόποις τῆς δευτέρας Συρίας ἐπαρχίας· παρὰ τοῦ κοινοῦ τῶν κληρικῶν τῆς ἐν Ἀπαμείᾳ τῇ μητροπόλει ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας:-

Δόξον ἱερωσύνης· καὶ τοῦ σεμνοῦ τῶν χριστιανῶν ἐπαγγέλματος, σωφροσύνη καὶ ἐπιείκεια· καὶ πρό γε πάντων, ὁ τῶν ὁσίων δογμάτων θεσμὸς καὶ ἡ θεσπεσία τῆς πίστεως παραφυλακή· ἐφ' ἧ καὶ ὁ τῶν μακαρίων πατέρων ἀοίδιμος τε καὶ σεβάσμιος χορός· ἄνωθεν ἔκ τινος ἀδιαλείπτου διαδοχῆς· ἀκηράτοις λογισμοῖς, ῥυθμὸν ἐναρμόνιον ἐθεσπίσατο ταῖς ἀγαθαῖς τῶν ἀνθρώπων ψυχαῖς, πρὸς ἁγιασμὸν τῆς θείας μυσταγωγίας· μεμαθήκαμεν γὰρ ὑπὸ τῶν θείων λογίων, βοώντων· μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. ἀλλὰ ταῦτα μὲν, οἱ σεβάσμιοι πατέρες· καὶ τῶν θεσπεσίων ἀποστόλων διάδοχοι, κρατύνοντες· καὶ φωτὸς καθαρὸν ταῖς ἐκκλησίαις πρυτανεύοντες· ὅθεν ἔμεινεν ἀδιάφθορα τὰ τεμένη τῶν ἐκκλησιῶν, καὶ οἱ τούτων 713. ὑπηρέται· δουλεύοντες ἀνυποθεύτως χριστῷ τῷ θεῷ ἡμῶν· καὶ τὸν τῆς θείας γραφῆς κατάξιον μισθὸν κομιζόμενοι· καὶ δεχόμενοι μὲν τὰς ἀμέμπτους ἀπαρχὰς, καὶ ἀπὸ τῆς πρεσβυτέρας ῥώμης· ῥυόμενοι δὲ τοὺς τῆς θείας χάριτος καρπούς, ζήλῳ θείῳ καὶ πυριπτικῷ· ἕως ὅτε πρὸ φανεροῦ τινος χρόνου· νεω

τερος κατὰ τῶν ἐκκλησιῶν καινισμὸς εἰσηνέχθη. ἀλλ'
εἰ μὲν ἔσχε μέχρι τῶν εἰρημένων τὰ κακά· εἰ καὶ δυσχε-
ρεῖ, ὅμως φορητῶς ἂν ἠνέγκαμεν. τοῦ παθήματος
δυναμένου ῥᾳδίως ἴασιν ὑποδέξασθαι. ἀλλ' ὅτε
καὶ στυγηρὸν ὁ τῆς ἀπὸ χέων εἰσεδέξατο δῆμος.
μηδέ πω ποτὲ τῇ καθολικῇ τῶν ὀρθοδόξων ἐκκλη-
σίᾳ κοινωνήσαντα, οὐκέτι τῶν χειρόνων ἐπὶ τὸ
βέλτιον μετασκευή. ἀλλ' ἢ δὴ τῶν ἠγησαμένων χαλε-
πῶν, ταχύτερα τὰ συμβαίνοντα. καὶ ὡς εἰπεῖν, ἀνί-
ατα τραύματα. καὶ δρᾶμα γέγονεν ἡ πιστὴ πόλις
ἀπάμεια, τὴν στυγηροῦ τοῦ κακόφρονος προβολὴν
δεξαμένη. καὶ μακάριοι μᾶλλον οἱ προκοιμηθέντες.
καὶ μὴ θεασάμενοι πέτρον τὸν κληθέντα τῆς ἡμετέρας
πόλεως, πρόεδρον. ὁσάκις γὰρ ἂν ἀνανεούμεθα τῇ
μνήμῃ τὰ παρ' ἐκείνου πραχθέντα, ἀναπιμπλά-
μεθα μὲν δικαίας ὀργῆς. ἐγκαλυπτόμεθα δέ. καὶ
τοῦ λέγειν τὰ πλημμεληθέντα, τὸν λογισμὸν ἀφελ-
κόμεθα. πλὴν ἡ ἀνάγκη βιάζεται. καὶ σιγᾶν τὸν
ἅπαντα χρόνον, οὐκ ἐᾷ. ἵνα μὴ ἀνάγκῃ τινὶ συ-
σκιαζόμενα τὰ μεγέθη τῶν κακῶν, χωρήσῃ καὶ ἐπὶ
τοὺς εὖ ἔχοντας ὡς εἰκός. καὶ σφρὰν ἑλκύσῃ γένους.
καὶ φρονήματος ἀθέσμου. πολλὰ οὖν κατὰ ταὐτὸν
συνελθόντα, λέγειν ἡμῖν ἐπιτρέπει, τὰ κατὰ τῶν

114

ἀνοσιώτατα τῆς ἡμῶν ἐκκλησίας τολμηθέντα. παραινεῖ
δὲ προσφόρως, καὶ ὁ τῆς φίλης θεῷ μετανοίας ἀσεβῆς
λογισμοί, ἐπὶ ταύτην ἡμᾶς τὴν τεταγμένην καὶ
λυσιτελῆ γνώμην χωρεῖν. φανεὶς γάρ. ὥσπερ εἰ θέμις
ποτὲ τῇ ἀπαμέων ὁ εἰρημένος πέτρος ἐξ ὑπογύου.
κατὰ τὸ βῆμα τῆς ἐκκλησίας ἀναβεβηκώς, ἀνα-
θεματίζει μὲν τοὺς ὁσίους ἡμῶν πατέρας. ἐξαλείφει
δὲ καὶ τῶν ἱερῶν διπτύχων, τὰς αὐτῶν προσηγορί-
ας ἀνδρῶν, σεμνῶς βεβιωκότων, καὶ ὁσίως. καὶ
ἱδρυσάντων σεβάσμια καὶ προσκυνητὰ τεμένη,
πάμπολλα. καὶ φιλοτιμησαμένων ἱερὰ σκεύη,
ταῖς θείαις λειτουργίαις. καὶ φωτισάντων τοὺς μακα-
ριωτάτους ἡμῶν πατέρας, καὶ ἡμᾶς αὐτούς. καὶ
χεῖρας ἐνθέσμους ἐπιτεθηκότων κατὰ πᾶσαν τὴν
ἐπαρχίαν. καὶ δίχα σκανδάλων οἰκονομησάντων,
τὰ δίκαια τῶν ἐκκλησιῶν. τὸ δὲ πάντων σχετλιώ- 114.
τερον, ὅτι δὴ καὶ τὰ τοιαῦτα τῆς ἀσεβείας ἀδική-
ματα, μικρὰ παρ' αὐτῷ νενομικώς, οὐ μόνον ἐξήλει-
ψε τὰς εἰρημένας προσηγορίας, ἀλλὰ καὶ ἀντάλ-
λαγμα τῶν ἀγαθῶν ἐκείνων ψυχῶν, ἀνατέθεικε
τοιχικῇ γραφῇ ἐν τοῖς τοῦ ἁγίου ἰωάννου, διόσκορον
καὶ τιμόθεον τοὺς κατακρίτους. καὶ τοὺς τοιούτους
παραπλησίους, ὧν ἡ μνήμη παγχάλεπος. εἰ καὶ

λέγειν τι κατὰ τεθνεώτων, βαρύ. Ταῦτα μὲν οὖν, ὅσα
πρὸς τὴν καθολικὴν ἐκκλησίαν, πεπλημμέληται παρ'
αὐτοῦ. ἃ δὲ καὶ ἴδια· προσμείνας τῷ θρόνῳ τῆς ἀπα-
μέων· διὰ ταῖς ἡμῶν ἁμαρτίαις δὴ ἥμαρτε Πέτρος, ἃ
λόγον μὴ θησαίμεθα διὰ βραχέων, ὡς ἐν εἴδει κεφαλαίω-
δέ, πρὸν ἀφηγήσασθαι· τῶν γὰρ εὐλαβεστάτων ἀνα-
γνωστῶν ἐστώτων μετὰ πρέποντος λογισμοῦ. καὶ αἰτούν-
των βαθμοῦ μείζονος κατὰ ἀκολουθίαν, τυχεῖν·
ὁ μάλιστα τῇ φύσει προσπέπηγε τῶν βελτιόνων ἐρᾶν,
ἐξενέγκαι μετὰ πολλῆς τῆς θρασύτητος ἀπὸ μηδενὸς
λόγου, τὴν ἀθέμιτον ταύτην ἀφῆκε φωνήν· ὡς φημὶ
σιωπήσατε φησίν, ὑποδιακόνων χειροτονίαν
ὑμῖν ἐπιθήσω. ἵνα αὐτὸς ὅσρωθεὶς κατελθών, μὴ
λυτρώσηται ὑμᾶς ἐκ τῶν χειρῶν μου. εἶτα συμ-
βέβηκεν Ἰουλιανὸν ὃς ἀποδέκτης γέγονε τῶν ἐκ-
κλησιαστικῶν χρημάτων, τελευτῆσαι· καὶ τὰ ἐκεῖ 18
διοικῆσαι δίκαια. ῥουφῖνον· ἐπὶ πολλοῖς καὶ ἀπα-
ροις χρόνοις οἰκονομήσαντα, τὰ τῆς ἁγιωτάτης
ἡμῶν ἐκκλησίας πράγματα. ὥστε μετὰ τὴν τούτου
τελευτήν, προσέκτησιν λόγων καὶ χρημάτων ἰθύ-
νεσθαι τοὺς ἐν κατοχῇ τῶν ἐκείνου γενομένων χρη-
μάτων· καὶ πολλῶν κινηθέντων, συμβιβασθῆναι
τὰ μέρη· καὶ πρὸς διάλυσιν ἐνεχθῆναι· καὶ λόγον·



εἰ τὸν ἐκείνου λόγον ἀποκαλεῖν χρή, προστεθῆναι φη-
σίν· ὡς ἀνάθεμα πᾶς ἀνόσιος ἔστω· καὶ Παῦλος ὁ ἀπόστολος
ἐγκαθίσῃ τῷ θρόνῳ τούτῳ πρὸς ἀνατροπὴν ἢ μὲν τῶν
ὅρων, τῶν ἤδη γεγενημένων διαλύσεων· καὶ ὁ ταῦτα
διαρρήδην εἰπών, φαίνεται τὴν οὕτω φρικτὴν ἀπό-
φασιν παριδών· καὶ εἰς πράξεις φανερὰν χρυσίου
ποσότητα· πάλιν ἐροῦμεν καὶ ἕτερόν τι τὸ πᾶσιν
ἐγνωσμένον· εἰπὼν γὰρ πρὸς τὸν θεοφιλέστατον
οἰκονόμον εὐστάθιον· ὠνηθῆναί τινα σκαμνάλια
φιλόγον τοῦ σεκρέτου τοῦ ἐπισκοπείου· καὶ μικρᾶς
ὑποθέσεως γενομένης· ὡσαύτως διαφημῶν κατὰ
τοῦ θείου, μεγάλῃ κέκραγε φωνῇ· πάσας τὰς ἐκ-
κλησίας καὶ τὰ θυσιαστήρια κατακαύσηθε· καὶ
ποιήσω βουνὸν ἕνα· ἵνα τοῖς ἐκείνου χρησώμεθα
ῥήμασι. τὸ δὲ καὶ γύναιον ἄσεμνον· μὴ ἀξιωθεὶν
τοῦ θείου φωτίσματος· παρεισαγαγεῖν καὶ στῆσαι
παρὰ τῷ σεπτὴν κολυμβήθραν. τῶν θείων κατὰ
τὸν εὐκτήριον τῆς θεοῦ οἶκον, ἐπιτελουμένων
μυστηρίων, ποῖος ἂν ἐξείποι λόγος· ἢ ποία χριστιανῶν
ἀκοὴ τοσαύτην ὑπομείνῃ λεγομένην μήτιγε δὴ
καὶ πραττομένην, ἀσέβειαν· μηδεὶς ἀπιστείτω
καὶ πρὸς τὴν ἐφεξῆς τῶν λεγομένων ἀλήθειαν· ὑπα-
γαγὼν γὰρ στεφάνην τινὰ ἀπὸ σκηνῆς· τῇ ἐπίκλην

περιβόλου· καὶ μοναστηρίῳ φησὶ παραδεδωκώς· ἰδίᾳ
τε καὶ οὐδενὸς ἑτέρου παρόντος, τὸ πολὺ μέρος ἑκάστης
ἡμέρας περὶ τὴν ἐκείνης ἄτοπον κολακείαν, διήνυ-
σκε· καὶ ποτε καὶ σεβῆρος ὑποτοπήσας ταύτην, κατὰ
τὴν αὐτὴν ὁ χοῦς τὰς διατριβὰς ποιεῖσθαι παρεσκεύασε·
καὶ ἐνδεξαμένης ἐπὶ τούτοις ὁ πέτρος, οὐκ ἀνέχεσθαι·
ἐλαχίστων δὲ διαδραμουσῶν ἡμερῶν· ἐκ τῆς ὑπο-
μονῆς δοκοῦσα καρτερία, τοῖς τοῦ σώματος βέλεσιν
ἐγυμνοῦτο προσέλεγχον· ὅθεν μὴ φέρων αὐτῆς τὴν
ἀπόληψιν, ἤγεται καὶ προφάσεως χωρίς, κατὰ
τὴν ἀντιοχέων· τὴν ἐκείνης ταχεῖαν ἐπάνοδον, παν-
των ἔμπροσθεν ἀσχηματίστως ποιούμενος· καὶ
δεινὸν μὲν ὡς ἀληθῶς καὶ ἐλεεινόν, ἀφηγεῖσθαι
τοσαῦτα δράματα συμφορῶν· πεποίηκε γὰρ καὶ
ἕτερόν τι τῆς αὐτοῦ προπετείας ὡς ἔοικε συγγενές·
ἐνδυσάμενος γὰρ τὴν οὐδαμόθεν αὐτῷ κατὰ λόγον
προσήκουσαν τῆς ἱερωσύνης στολὴν [illegible]· ὡς ἐν
τάξει τῶν θεοφόρων ἀποστόλων· ὁ πάσης ἀμαρ-
τίας ὑποβρύχιος· ἐν τῷ μαρτυρίῳ τῷ ζαβδάλης καὶ
μωσέως τοῖς χωρίοις· καταθέσει ὡς ἁγίων μαρτύρων
παρ' αὐτοῦ γενομένης· κατατεμὼν εἰς ἄπειρα μέρη
τὴν στολήν, διεδίδου τοῖς εὐχερῶς ἀπατωμένοις,
ὁ ἀσεβής· οὐκ ἀγνοῶν ὡς ἡλίκον ἐστὶ καὶ τοῖς μετὰ



τῆς ἀληθείας πορευομένοις, τοιούτοις τισὶν ἐγχαρ-
καὶ παρεκβαίνειν τὰ μέτρα τῆς ἀνθρωπίνης καταστά-
σεως· καὶ τὰ διατάγματα τοῦ δεσπότου καὶ σωτῆρος ἰησοῦ
χριστοῦ τοῦ θεοῦ ἡμῶν· τοσοῦτον γὰρ ἀπετυφλώθη τὸ τῆς
ψυχῆς ὄμμα, ὡς ἱστάμενος ἐπὶ θυσίᾳ ἀναιμάκτῳ·
ἢ τοῖς ἀξίοις προσφόρως ἐπιτυγχάνειν, οὐκ ἐκάμνω·
καὶ τὴν πᾶσαν διάνοιαν ἀπορρίπτων εἰς τὸν περὶ
τῶν γυναικῶν ἀπηνισμόν, πτύσμασι κατέχρωσε
τοῦ σεπτοῦ θυσιαστηρίου τὴν ἁλουργίδα· οὐκ ἀδεῶς
ὡς καὶ ἀπὸ μόνου βλέμματος, ἡ ἁμαρτία συνί-
σταται κατὰ τὴν θείαν γραφήν· ἀλλ' οὗτος ὁ μηνό- 716
τρησος οὐ μόνον ἑώρα· οὐκ ἐψηλάφα πικρῶς,
ἀλλὰ καὶ τῶν χαρόντων καθήπτετο· περαιτέρω
γὰρ τούτων, λέγειν τὰ ἀσχημονέστερα λίαν
εἰκότως ὀκνοῦμεν· τοσαύτη δέ τις ἦν ἡ ἄλογος
θρασύτης τῆς ἐκείνου νεότητος, ὡς οὐκ ἐπαύετο
τοὺς παρατυγχάνοντας παροινῶν, ἐναγῆ τινα καὶ
φρικωδέστατα τῷ καιρῷ τοῦ φωτίσματος· οὐχ ἧττον
μεθ' ἅπαντα διαλανθάνειν τῶν ἀξιωθέντων τῆς
θείας μυσταγωγίας, ὅσοι ἀγῶνι ἐπικρατεῖ τοὺς φο-
βουμένους τὸν κύριον, καθ' ὃν μέλλουσι προσιέναι καιρὸν
τῷ θείῳ βαπτίσματι, οἱ προκατασχεθέντες τῇ πλά-
νῃ· καὶ ἐπειδὴ σὺν ἀληθείᾳ φωσὶν ἐλεύθερον ἐπι

λαμπεταῖς τοιαύταις τύχαις· καὶ δουλείας ἐλευθε-
ροῦνται παγχαλέπου, ἱστάνται τὸ σχῆμα τοῦ ἀγῶνος
ἀποπληροῦντες· κατευνεύοντες· καὶ τὰς χεῖρας συμ-
πλέκοντες· καὶ τρέμοντες εὐκαίρως· καὶ αὐτίκα θι-
σάμενοι τῇ φθονερᾷ τοῦ διαβόλου περιεργίᾳ· ἀπαξ-
λύτρωσιν ἀληθῶς τοῦ ὀργίου φωτίσματος ἀπεκδε-
χόμενοι· καὶ ὅμως τοῦ τηνικαῦτα τούτων οὕτως, οὐκ
ὤκνησεν ἀπώσασθαι μὲν τοὺς μελλοφωτίστους· τῶν δὲ
μετέθει τοῦ τοιούτου θείου καὶ ἀγαθοῦ χρηματισμοῦ
ὄντι σηκῶσαι τὴν ἐπιθυμίαν, τοῦ συστάντος ὑπ' αὐτοῦ
τῶν ἀσκητηρίων φησὶν ἐργαστηρίου δεινοῦ· ὡς Στέφανος
ὁ θεῖος καὶ ἱερώτατος διάκονος, ἐπὶ μάρτυρι θεῷ·
ὁ καὶ τὰς προσηγορίας τῶν εἰς τὸ θεῖον βάπτισμα
προσιόντων, ἐγγράφειν τεταγμένος· καὶ ἀνοήτως
κατὰ τὴν οἰκείαν δόξαν, πρὸς τὸ κακὸν ἔρρεπε·
καὶ ἐν ἡ κατὰ τὴν σωματικὴν τῶν ἐπιτηδευμάτων
ἐπιθυμία· καὶ τοῦτο γὰρ, ἴδιον πέφυκε μανιχαϊκῆς
ἀταξίας· ἡγεῖσθαι καὶ τὸ κακὸν ἐνυπόστατον, καὶ
εἶναι διὰ τοῦτο πολλοὺς τοὺς δουλεύοντας καὶ τῆς
κατ' ἐκείνους τοὺς πονηροτάτους δόξης. τί δ' ἂν τις
καὶ ἐπιπλέον διέλθοι περὶ τῶν εἰρημένων
δειλαίων γυναίων· ὡς γὰρ ἐθεάσαντο τὴν δικαίαν
ἐκβολὴν προελθοῦσαν κατὰ πέτρου, οὐκέτι



λοιπὸν σιωπῆς ἐγένοντο· ἀλλ' ὑπεχώρουν οἴκαδε· δακρυ-
σι καὶ ὀδυρμοῖς ἀμέτροις θρηνοῦσαι τὴν ἀπώλειαν
καὶ τὸν χωρισμὸν τοῦ προειρημένου πέτρου· πρὸς
δὲ τούτῳ λοιπὸν, καὶ τὴν ἡδυπάθειαν τοῦ ἀνδρός·
καὶ τὴν ἄπληστον ὀψοποιΐαν· καὶ ὡς ἐπὶ νυμφίῳ
τεθνεῶτι κλαίουσαι καὶ κοπτόμεναι, τὸν ἐκείνου
βίον ἐπιπλέον κατέχραινον· δεικνῦσαι τὴν ἀσέ-
μνον τοῦ στηλιτευθέντος οὗ ποιμένος, ἱερατικῆς
ποίμνης ἀπώλειαν· ἃ μὴ περαιτέρω τοῦ ἡμετέρου
προσχήματος ἦν, καὶ ἕτερα τινα διεξῄειμεν.
περὶ γυναίων ἀδιαφόρων προσώπων καὶ σχηματιζομένων
πρὸς ἐλευθερίαν ἀνακηρύττεσθαι· ἵνα μὴ δὲ ἐν
τραχύτερον ἀποιμεν· τὸ ὅλον περιέχοντες τῶν κακῶν,
σωειδότι τῶν καταπληττομένων ταῖς ἡμετέραις
ἐναντίαις φωναῖς· εἰ καὶ μέτρια, ὅμως ἀρητά
τινα περὶ στεφάνης τῆς λεγομένης πτεροβόλου·
πρὸς ἣν ἀδιανοήτως ὥσπερ αὐτὴν, διημερεύετο·
καὶ ἦν ἐλέγχειν ἐκείνης ἐπὶ τὸ βέλτιον μεταβολήν·
ὑπὸ συλλῶν ἐπιθυμίας σώματος ἐπαισμένου,
μάρτυρες τυγχάνουσιν ὑπαλλημμένοι· τῆς σεμνῆς
διακονίας ὑπηρέται γεγονότες· οἳ πεφύκασιν
εἰς τὸ βέλτιον μέρος· προτρέποντες παρελθεῖν
ἐπὶ τὴν πολιορκίαν τοῦ εὐαγοῦς μοναστηρίου

τῶν Δωροθέου· ὅτε πλῆθος ἀτάκτων αὐτὸς παραλαβών,
ὥρμησε κατὰ τῶν ἀσκουμένων ἐν τῷ εἰρημένῳ εὐαγεῖ μονα
στηρίῳ· ἑταίρας καὶ ὀρχηστρίδας παρασυναγαγών, καὶ
πλῆθος ἐρανιζομένων· καὶ μηδὲν εἶδος παραλελοιπὼς
πρὸς καθαίρεσιν καὶ ἀναίρεσιν τῶν ἀσκουμένων αὐτόθι·
ὅτι δὲ καὶ τὴν γαμετὴν στρατιώτου τινὸς τὸ ἐπίκλην
Τζηφᾶ· ὥσπερ καὶ ἐπὶ μυρίαις ἄλλαις ὑπαγαγών· τὴν
ὀλισθηρὰν φύσιν τῆς γυναικός· τὴν ἐκείνης ἐλευθε
ρίαν ἐπολιόρκησεν, ἴσασι σχεδὸν ἅπαντες. καὶ κατὰ
τὸ γραφικόν· κἂν ἡμεῖς σιωπήσωμεν, οἱ λίθοι κε
κράξονται· ἣ μὴ δυνηθεῖσα τὴν ἄτοπον ἐπιθυμίαν
ὑπομεῖναι τοῦ ἀνδρός, εἰς φυγὴν ἀπεχώρησε· τρα
γῳδοῦσα τὰς ποικίλας· καὶ τὰς τοῦδε δράκοντος ἐπο
νειδίστους συμφοράς· καλὸν δ' ἂν εἴη, μηδὲ τὴν αἰτίαν
τῆς κατὰ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου λύπης, παρα
δραμεῖν· ἐπειδὴ γάρ τινες ἐκινήθησαν λόγοι ἐν τῷ
σεκρέτῳ τοῦ ἁγίου Στεφάνου, δογματικοί· καὶ ἀπε
κρίνατο ὁ εἰρημένος εὐλαβὴς ἀνήρ· καλῶς καὶ
ὁσίως πιστεύειν τὸν εὐσεβέστατον ἡμῶν βασιλέα·
ἀχθεσθεὶς ὥσπερ· καὶ κεντηθεὶς τὴν ψυχὴν ἐπὶ τῇ
δικαίᾳ ταύτῃ φωνῇ, ὑπὸ λόγον καὶ κατάκριμα
φησὶ τοῦτον πεποίηκε, Πέτρος· ὅτι ἧς ἀληθείας
ἐχθρός· ὁ μηδαμόθεν ἔχων εὔλογον λόγον· ἀλλὰ



μόνον κατὰ πάντα προπετὴς ἀντικρύς· κἀνταῦθα
μαχόμενος τῷ φιλοχρίστῳ καὶ ὀρθοδόξῳ λογισμῷ,
τοῦ τῆς ὅλης μετὰ θεὸν οἰκουμένης, δεσπότου· καὶ
ἀρκεῖν μὲν ἡγούμεθα καὶ μίαν τῶν εἰρημένων αἰτίαν,
καταγωνίσασθαι τὴν ἄσεμνον Πέτρου πολιτείαν·
τὸ δὲ καὶ χρήμασι χειροτονεῖν· ὃ δὴ μάλιστα φαίνεται
πεποιηκὼς ἐπ' αὐτῷ τῷ ὄχλῳ τῶν μυρεψῶν· τήν τε ἀκο 718.
λουθίαν τῶν θείων διατυπώσεων· καὶ τὴν ὁμοίαν
τῶν τοιούτων ὑποθέσεων κρίσει, φαίνεται μαχε
σάμενος· ὥστε πανταχόθεν, ἔκπτωσιν ὑπομένειν
ἧς ἔχειν ἐφαντάζετο μάτην ἱερωσύνης· ἐπιμνη
σθῆναι καὶ τοῦ δοχείου τῆς ὅλης ἀσεβείας, οὐκ ἔξω
λόγου καθέστηκε· τὸ γὰρ λεγόμενον μοναστήριον
τῶν Ῥωμανοῦ· ἀντὶ προσευχῶν· καὶ πολιτείας ἡμέρου·
καὶ ἧς προσήκει τοῖς ἀνακεχωρημένοις ἀσπάζεσθαι,
ψαλμοὺς ἀναθεμάτων κατὰ τῶν ὁσίων πατέρων οἱ
χρηματίσαι καὶ οὐ μοναχοὶ μᾶλλον, ποιεῖν ἐδιδά
χθησαν· ἔχοντες γὰρ Πέτρον τὸν ἡγεμόνα τῶν κακῶν
ταύτην τὴν ἐμπορίαν ποιοῦντα κατὰ τῆς ἐκκλησίας
τοῦ θεοῦ· πρεσβυτέρους δῆθεν χειροτονοῦντες ἐξ αὐ
τῶν· καὶ παραμοναρίους καὶ ξενοδόχους ἱστῶντες·
καὶ πανταχόθεν ὑποσυλῶντες τῶν πτωχῶν τὴν
ἀναγκαίαν τροφήν· ἀλλ' εἰ καὶ τὸ ἀληθὲς οὕτως

ἔχειν οὐκ ἂν ἀρνηθείημεν ποτέ, ἡμεῖς προσευχόμεθα
πρὸς τὴν φίλον θεῷ μετάνοιαν τούτοις ἰδεῖν· καὶ λύ-
σιν εὐπρόσδεκτον καὶ χριστιανοῖς πρέπουσαν λαβεῖν,
τῶν προηγησαμένων δυσκόλων· ἐπὶ τούτοις ἅπασι
τοῦ κακοῦ μειωθέντος· καὶ τοῦ θεοῦ τὴν ἐκείνων
ἀποστραφέντος ῥύμην· νῦν ὅτι τὴν χριστιανὴν παρρη-
σίαν δρεπόμεθα· δωρηθεῖσαν ἡμῖν ἀπό τε τῆς
αὐτοῦ φιλανθρωπίας· καὶ τοῦ εὐσεβεστάτου καὶ ὀρθο-
δόξου ἡμῶν βασιλέως· καὶ τῶν μεγάλων ἐξουσιῶν·
καθὰ καὶ μεγίστη πεφοίτηκε πρόσταξις· καὶ γέγονεν
ἐμφανὴς κατὰ τὸ λαμπρὸν ἡγεμονικὸν δικαστή-
ριον· πεισθέντες καὶ κατακολουθοῦντες τῷ εὐ-
σεβεῖ σκοπῷ τοῦ γαληνοτάτου ἡμῶν βασιλέως·
καὶ τῶν ἁγιωτάτων ἐνθέσμων πατριαρχῶν· συνοί-
δαμεν τὸ καθέκαστον τούτων διασαφηνίσαι, διὰ
τῶν δὲ τῶν λιβέλλων· καὶ ἀναγαγεῖν ἐπὶ τὴν ὑμε-
τέραν πατρότητα· πρὸς εὐμάθειαν ἀκριβῆ καὶ
γνῶσιν τῶν παρηκολουθηκότων· εὖ εἰδότας·
ὡς εἴ καί τις κατὰ συγχώρησιν δὴ χειροτονίαν
ἔνθεσμον προελθεῖν ἐπὶ πέτρῳ· τοσούτων ἤδη
γενησαμένων πλημμελημάτων, ἀλλότριος ἂν ἀπο-
φανθείη τῆς τῶν χριστιανῶν ἱερωσύνης· ἐφ' ὧ πεπο-
καθέκαστον τούτων ἐπισταμένοις τοῖς ὁσιωτάτοις



ἡμᾶς, κρίναντα τοῖς θείοις κανόσι δοκοῦντα· καὶ
πρὸς λυσιτέλειαν ὁρῶντα τῆς καθ' ἡμᾶς ἁγιωτάτης
ἐκκλησίας· σύμπαντα ταῦτα γνώριμα καθιστῶν-
τες εἰ συνειδῆτε, καὶ τοῖς ἁγιωτάτοις ἐνθέσμοις
πατριάρχαις· καὶ τῷ κρατίστῳ ἡμῶν βασιλεῖ· πρὸς
τὸ παριστάμενον καὶ ἀρέσκον τῇ τε αὐτῶν γαληνό-
τητι, καὶ τῇ ὁσίᾳ τῶν μακαριωτάτων ἀνδρῶν
ἐπικρίσει· ἵνα Χριστοῦ τοῦ θεοῦ ἡμῶν τὰ συμφέροντα
βραβεύοντος, πᾶσιν ἡμῖν εἰρήνη καὶ ἀνόθευτος
ἕνωσις γένηται, ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις·
καὶ ἐνιδρυνθείη τῇ Ἀπαμέων μητροπόλει, ὅσιος
λογικός· ἤπιος ἀνήρ· ἐπ' ἀγαθῷ χορηγῶν τῇ
καθ' ἡμᾶς ἐπαρχίᾳ, τὰ λυσιτελοῦντα· ταύτην γὰρ
ἔχοντες τὴν ἀγαθὴν ἐλπίδα· καὶ ἀφορῶντες εἰς
θεόν· καὶ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα· καὶ
τοὺς ἁγιωτάτους πατριάρχας· καὶ τὰς προσηγορί-
(ας) τῶν μακαρίων ἡμῶν ἐπισκόπων, ἐνεγράψα-
μεν τοῖς ἱεροῖς διπτύχοις· κατὰ τὴν ἀρχαίαν
τάξιν τῆς ἱερατικῆς καταστάσεως· καὶ προ-
σευχόμεθα Χριστῷ τῷ θεῷ ἡμῶν, ἀδιάσειστα φυλά-
ξαι τὰ ἀήττητα σκῆπτρα τοῦ γαληνοτάτου
ἡμῶν βασιλέως· τοσαύτην πρόνοιαν φιλοτι-
μησαμένου ταῖς ἁπανταχοῦ ἐκκλησίαις· καὶ

ἡμᾶς ἐλευθερώσαντος τῆς πικρᾶς καὶ μοχθηρᾶς προ-
αιρέσεως, Πέτρου. ταῦτα δὲ καὶ τῆς ἡμετέρας ἐκκλη-
σίας λυμηναμένου, κατὰ τὴν τῶν ἀφηγηθέντων
δύναμιν. ἵνα τὰ πολλὰ παρέντες, τοῖς ἐν τῷ πέρας ὡς
ἀφηγηθεῖσιν ἀρκεσθῶμεν. ταῦτα δὲ σύμπαντα
αἰτοῦμεν. καὶ ἐνορκοῦμεν γνωρισθῆναι διά τε τῆς
ὑμετέρας ὁσιότητος, καὶ τοῦ μεγαλοπρεπεστάτου
τῆς ἐπαρχίας ἄρχοντος. διὸ καὶ ἐμφανὲς τοῦτο
κατεστήσαμεν:-

Thalelaeus reverentissimus presbyter dixit:-

Παρήμην ὅτε εἴπερ ὁ γενόμενος ἡμῶν ἐπίσκοπος
Πέτρος, τὸ βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρω-
θέντος. ἀγανακτῶν τοῖς ἀναγνῶσαι. οἶδα δὲ καὶ
περὶ τοῦ εἰπεῖν αὐτόν, κατὰ τῶν ἐκκλησιῶν καὶ
τῶν θυσιαστηρίων, τὸ βλάσφημον ῥῆμα:-

Hesychius reverentissimus presbyter dixit:-

Ἐκ τῶν ἀναγνωσθέντων κεφαλαίων. φέρω ἐπὶ μνήμης
ἀκηκοέναι τὸ παρὰ Πέτρου τοῦ γενομένου ἐπισκό-
που ῥηθὲν βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος
Χριστοῦ τοῦ ἐπὶ πάντων θεοῦ, ὑπὲρ τῆς ἡμετέρας σωτηρίας. οἶ-
μαι κἀναγανακτῆσαι κατὰ τῶν ἀναγνωστῶν. οἶδα δὲ
τοτηνικαῦτα τυγχάνων ἐν τῷ εὐκτηρίῳ τῆς ἁγ
καὶ θεοτόκου Μαρίας, ἀκηκοέναι ὡς ὁ αὐτὸς ἐπίσκοπος



λαβών τινα μήπω τοῦ ἁγίου ἀξιωθεῖσαν φωτίσ-
ματος, εἶχεν ἐν τῷ βαπτιστηρίῳ πλησίον τῆς κολυμ-
βήθρας. διὸ καὶ οἱ τότε ὄντες ἐκεῖ, ἔφριττον:

Romanus reverentissimus presbyter dixit:

Εἰ μὲν ἐγὼ μόνος ἢ τεθέαμαι ἢ ἀκήκοα. γενόμενόν τι
ἢ ῥηθὲν παρὰ Πέτρου τοῦ γενομένου ἡμῶν ἐπισκόπου,
εἶχον ἂν παρασιωπῆσαι. μήπως ὡς κατήγορος κρι-
θείην. ἐπειδὴ τοίνυν τὴν ἐκ θυμοῦ ῥηθεῖσαν βλά-
σφημον φωνὴν παρ' αὐτοῦ κατὰ τοῦ σταυρωθέντος,
ἐπὶ πάντων τῶν εἰς προσηγορίαν συνελθόντων εὐλα-
βεστάτων κληρικῶν εἴρηκε, τούτου χάριν κἀγὼ
οἶδα ἀκηκοέναι. ὁμοίως δὲ καὶ τὸ κατὰ τὸν εὐκτή-
ριον τῆς ἀειπαρθένου θεοτόκου Μαρίας οἶκον, γενό-
μενον. ἐπεὶ γὰρ καὶ αὐτὰ γνωρίματα τοῖς πλείοσι
καθέστηκεν, ἐρῶ. ὡς τὴν ἐμὴν σύνευνον Μαρίαν φημὶ
τὴν ἀπὸ σκηνῆς. κατ' ἐπιτροπὴν αὐτοῦ, πολλάκις
εἰσήγαγον ἐν τῷ ἁγίῳ φωτιστηρίῳ. καὶ τῶν ἁγίων
μυστηρίων ἐπιτελουμένων. πρὸ τοῦ ἀξιωθῆναι
αὐτὴν τοῦ ἁγίου φωτίσματος, προσδὲ ἠνέχθη αὐτῇ
ἰδία. οἶδα δὲ ἀκριβῶς καὶ αὐτουργὸς γέγονα καὶ
τῆς κατὰ χώραν τομῆς, καὶ διανομῆς τῆς στολῆς:-

Anysius reverentissimus presbyter dixit:

Ὁ ὑποδιάκονος τυγχάνων μετεδίδων εἰς τὸ ἀπὸ φωτι-

σπήριον τοῦ εὐκτηρίου οἴκου τῆς ἁγίας Μαρίας· ἑβδο-
μάριος ὤν· καὶ ἦλθεν ὁ παραμονάριος καὶ ὁ πρεσβύτερος
ῥωμανὸς, λέγων· ὄντως σὺ ἐπαίρων τὴν κοινωνίαν ὦ
ἀπῆλθε μετὰ ὀδὲς εἰς τὸ ὑποδιακονικόν· ἐπειδὴ ὁ μέγας
διαλεχθῆναι θέλει σοι ὧδε Μαρία τῇ ἐμισηνῇ· οἶδα δὲ ὅτι
καὶ τοῦτο εἶπεν εἰς τὸ κατὰ τοὺς κληρονόμους Ῥου-
φίνου· ὅτι ποιήσατε τὰς διαλύσεις τοῖς κληρονόμοις
Ῥουφίνου· καὶ ἔνθετε τριακοσίων νομισμάτων πρόσ-
τιμον· καὶ εἴ τις δὲ θέλει παραβῆναι τὰς διαλύσεις
ταύτας· καὶ Παῦλος ὁ ἀπόστολος ἀναστῇ καὶ καθίσῃ
εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔσω:-
πελάγας ρευερέντισσιμ πρεσβ δίξιτ:
Ἐπειδὴ θεὸς πρόκειται καὶ δεῖ τὴν ἀλήθειαν ἐξειπεῖν,
παρέτυχον ἐν τῷ σεκρέτῳ τοῦ ἁγιωτάτου ἐπισκόπου·
εἰς τὸ δεύτερον πάσχα τῆς διελθούσης ἑνδεκάτης
ἐπινεμήσεως· ὅτε κινηθεὶς κατὰ τῶν ἀναγνωστῶν
ὁ προλεχθεὶς Πέτρος, ἐθυμώθη καὶ εἶπε τὴν φωνὴν
ταύτην· ὅτι τῇ νυκτὶ ταύτῃ διενοήθην ἀπὸ ἀναγνω-
στῶν, ὑποδιακόνους ὑμᾶς ποιῆσαι· καὶ εἰ ἐπέθηκα
τινὶ ἐξ ὑμῶν τὴν χεῖρα· ὁ στρωθεὶς κατελθών, οὐκ
ἂν αὐτὸν ἐξείλετο τῆς χειρός μου· ὡσαύτως δὲ καὶ
πρὸ τούτου ὅτε ἐπέτρεψεν ἀγορασθῆναι τὰ λινᾶ
σκαμνάλια εἰς λόγον τοῦ σεκρέτου τοῦ ἐπισκοπείου·





ἀγανακτήσας κατὰ Εὐσταθίου τοῦ θεοφιλεστάτου οἰκο-
νόμου, εἶπεν· ὅτι κάλλιόν ἐστι τὸν θεὸν κατακαῦσαι
τὰς ἐκκλησίας καὶ ποιῆσαι βουνόμενα:-
ἀντονινους ρευς πρεσβ δίξιτ:-
Τελευτήσαντος Ῥουφίνου τοῦ μακαριωτάτου οἰκο- 721
νόμου γεγονότος τῆς κατὰ τὴν δευτέραν μητρόπολιν ἁγιω-
τάτης ἐκκλησίας· συναγαγὼν ἅπαντα τὸν εὐαγῆ
κλῆρον Πέτρος ὁ γενόμενος ἡμῶν ἐπίσκοπος, ἀ-
πῄτει ὡς ἐπὶ μαρτυρίῳ ἐπὶ πάντων θ(εο)ῦ, ἀπαγ-
γεῖλαι εἴ τι κατὰ τὸν καιρὸν τῆς αὐτοῦ οἰκονομίας,
ἔβλαψεν· ἢ παρεῖδεν· ἢ ἐσφετερίσατο ἐν τοῖς ἐκ-
κλησιαστικοῖς· κἀμοῦ πολλὰ ἐξειπόντος κεφάλαια·
εἰς πολλὴν χρυσίου ποσότητα συντείνοντα· μετὰ
πολλὰ τὰ κινηθέντα· ὁρίσαντος αὐτοῦ τινὰ παρασχ-
δή τι πολλῶν τοῖς κληρονόμοις τοῦ αὐτοῦ Ῥουφίνου,
ἔφη γενέσθαι αὐτοῖς διαλύσεις· καὶ ἐντεθῆναι
τριακοσίων νομισμάτων πρόστιμον· ἀπὼν ὡς
καὶ τὰς εἰρημένας διαλύσεις κρατύνεσθαι· ἀνα-
θέματι ὑποβαλὼν τοὺς μετὰ τὰς τοιαύτας διαλύ-
σεις, τι ὑπεναντίον διαπραττομένους· κἂν Παῦλος
ὁ ἀπόστολος ἀναστὰς καθίσῃ εἰς τὸν θρόνον τοῦτον·
Τῇ δὲ νέᾳ κυριακῇ τοῦ παρελθόντος ἁγίου πάσχα·
εἰς προσκύνησιν ἀνελθόντος τοῦ παντὸς κλήρου,

ἀκήκοα παρ' αὐτοῦ εἰπόντος αὐτοῦ πρὸς τοὺς εὐλαβεστάτους
ἀναγνώστας· τὸν περὶ τοῦ ὑπὲρ τῆς ἡμετέρας ζωῆς σταυρωθέν-
τος βλάσφημον λόγον· κατὰ τὰ καταπεθέντα ὑπὸ Στεφά-
νου καὶ Πέτρου καὶ Ἰουλιανοῦ τῶν τηνικαῦτα εὐλαβε-
στάτων ἀναγνωστῶν· νῦν δὲ διακόνων· γενόμενος δὲ ἐν
σαββάτῳ ἐν τῇ συνάξει· ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς ἀει-
παρθένου καὶ θεοτόκου Μαρίας, ἔγνων εἰσελθόντα αὐτὸν
ἐν τῷ φωτιστηρίῳ τῆς αὐτῆς ἁγίας θεοτόκου Μαρίας· καὶ
διαλεγόμενον γυναικί τινι· μήπω μετὰ Χριστὸν γενομένῃ·
οὐδὲ γὰρ τῶν ἁγίων μυστηρίων, ἀλλ' οὐδὲ αὐτῆς τῆς ἁγίας
σφραγῖδος· κἀκεῖθεν αὐτὸν πλειστάκις ἐδεξάμεθα
ἐξιόντα· διάκονος τότε τηνικαῦτα τυγχάνων· οὐκ ἔστι
δὲ μέσος οἶκος, εἰ μὴ τὸ τίμιον διακονικόν:~

STERIANUS ET CASTOR· STERIANUS PRESBYS DIXERUNT:~

(Ἐ)ν τῷ φωτιστηρίῳ ὄντες εἰς κατήχησιν τῶν νεοφωτίστων
ἀπὸ στιχαρίων καὶ ἀνυποδήτων ὄντων· ἐπορκιζόντων
αὐτοὺς τῶν διακόνων· ἐλθὼν ὁ γενόμενος ἡμῶν ἐπί-
σκοπος Πέτρος, ἔβαλεν ἡμᾶς ἔξω μετὰ καὶ τῶν νεο-
φωτίστων· καὶ εἰσήγαγε τὰς κανονικάς· καὶ διαλ
αὐταῖς ἐπὶ πολλὰς ὥρας· ἀκηκόαμεν δὲ καὶ ἡμεῖς
μετὰ τῶν ἄλλων, καὶ τὸν λόγον ὃν εἶπε πρὸς τοὺς ἀνα-
γνώστας κατὰ τοῦ σταυρωθέντος ὑπὲρ τῆς ἡμετέρας
ζωῆς:~



EUTYCHIANUS REUS DIACON DIXIT:~

(Κ)ατὰ τὸ ἔθος προσηγορίας γενομένης ἐν τῷ σεκρέτῳ τοῦ 722.
τιμίου ἐπισκοπείου, ἀκήκοα τὸ ῥῆμα τὸ παρ' αὐτοῦ
ῥηθὲν κατὰ τοῦ σταυρωθέντος:~

THOMAS DIACONOS DIXIT:~

(Ὁ)πηνίκα προσηγορίαν ἀνήλθομεν τῇ νέᾳ κυριακῇ τοῦ δευ-
τέρου πάσχα· τοῦ γενομένου ἡμῶν ἐπισκόπου Πέ-
τρου, ἤκουσα τὸν βλάσφημον λόγον ὅτι εἶπε κατὰ
τοῦ σταυρωθέντος· καὶ ὅτε δὲ ἐκινεῖτο τὸ κατὰ τοὺς
κληρονόμους τοῦ μακαρίου Ῥουφίνου τοῦ γενομένου
οἰκονόμου, ἤκουσα τοῦ αὐτοῦ ἐπισκόπου λέγοντος·
ὅτι ἀνάθεμα ἤτω, γινομένων τῶν διαλύσεων· καὶ
Παῦλος ἀναστὰς καθίση εἰς τὸν τόπον τοῦτον· ὁ ἀνα-
ζητῶν καὶ ἐρανῶν τοὺς λόγους τούτους· ἢ λέγων αὐ-
τῷ τί ποτε:~

LEONTIUS FILIUS PATRONIANI DIACONUS DIXIT:~

(Ο)ἶδα κἀγὼ ἀκηκοέναι παρ' αὐτοῦ· ἀγανακτήσαντος
κατὰ τῶν ἀναγνωστῶν τῇ νέᾳ ἁγίᾳ κυριακῇ· ὅτι ἐὰν
κρίνω καὶ ποιήσω ὑμᾶς ὑποδιακόνους ἀπὸ ἀναγνω-
στῶν, ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐὰν ἔλθῃ, οὐκ ἐπαίρει τοῦτο
παρ' ὑμῶν· ἤκουσα δὲ καὶ τοῦτο παρ' αὐτοῦ εἰς τὸ σέκρε-
τον τὸ χειμερινόν· ἀγανακτήσαντος αὐτοῦ περὶ τῶν
σκαμναλίων τοῦ ἐπισκοπείου, ὅτι εἶπε, κἂν ὁ θεὸς

ταῖς ἐκκλησίαις καὶ τὰ θυσιαστήρια καὶ ποιῆσαι αὐτὰ βωμὸμ
ἕνα. καὶ τοῦτο δὲ οἶδα ὅτι εἰσήρχετο πολλάκις ἐν τῷ μονα
στηρίῳ πρὸς τὴν πτεροβόλον. καὶ ἐπὶ πολλὰς ἰδίαζεν
αὐτῇ ὥρας:- ἰουλιανυς διάκονος διξιτ:-
συνάξεως ἐπιτελουμένης τῶν φώτων εἰς τὸν ἅγιον στέφανον.
συναγαγὼν τοὺς πρεσβυτέρους καὶ διακόνους. καὶ ἕκα
στον τῶν κληρικῶν τῶν εὑρεθέντων ἐκεῖσε ἐν τῷ σεκρέτῳ,
ἀπῄτει με. διατί μὴ ἀναθεματίζεις τὴν σύνοδον τῶν
χλ̄. καὶ ἐμοῦ εἰπόντος αὐτῷ ὅτι ὁ βασιλεὺς ὀρθόδοξός
ἐστι. καὶ οἷς πιστεύει αὐτῷ ἐξακολουθῶ. οὐ μόνον δὲ
τοῦτο. ἀλλὰ καὶ τοὺς ἀναθεματίζοντας τὴν σύνοδον
ἀναθεματίζω, μανείς, ἀνέστη. καὶ ἐκώλυσέ με ἐπὶ
παντὸς τοῦ κλήρου:-
μεγας πρεσβ. διξιτ:-
723 σρήμην τοῖς λεχθεῖσι παρὰ τοῦ παρόντος ἰουλιανοῦ
διακόνου. καὶ ἀληθείας ἔχεται τὰ παρ' αὐτοῦ εἰρημένα:-
ανυσιυς πρεσβ. διξιτ:-
σρήμην κἀγὼ τοῖς λεχθεῖσι παρὰ τοῦ παρόντος ἰουλι
ανοῦ διακόνου. καὶ ἀληθείας ἔχεται τὰ παρ' αὐτοῦ
εἰρημένα:- επιφανιυς διακονος διξιτ:
σρήμην κἀγὼ ἐν τῇ προσηγορίᾳ τῇ γενομένῃ ἐν τῷ
τιμίῳ ἐπισκοπείῳ. ὅτε εἶπε πέτρος τοῖς ἀναγνώσταις.
ὅτι εἰ ἐποίησα ὑμᾶς ὑποδιακόνους, αὐτοὶ ὀρθωθῆς



εἰ κατέβη, οὐκ ἐρρύετο ὑμᾶς ἐκ τῶν χειρῶν μου:-
συμεονες διάκονος διξιτ:-
ἀγὼ ἀκήκοα παρὰ πέτρου τοῦ γενομένου ἐπισκόπου,
τὸ περὶ τοῦ σταυρωθέντος κεφάλαιον. καὶ τὸ περὶ τοῦ
ἀναθέματος. ἔνθα εἶπεν. ὅτι καὶ ὁ παῦλος ὁ ἀπόστολος
καθίσῃ ἐν τῷ θρόνῳ τούτῳ:-
ιοhάννες διάκονος ε(τ) ισενιογραφ. διξιτ:-
ἀγὼ τὴν αὐτὴν φωνὴν λέγω ὧν περ ἀκήκοα, περὶ τοῦ
σταυρωθέντος. καὶ περὶ τοῦ ἀναθέματος τοῦ κατὰ τὸν
ἅγιον παῦλον:-
λεόντιυς διάκονος διξιτ:
ἀγὼ ἀκήκοα τὸ περὶ τοῦ σταυρωθέντος λόγον. καὶ τὸ
ἀνάθεμα τὸ κατὰ τὸν ἅγιον παῦλον:-
λεόντιυς διάκονος διξιτ:-
ἀγὼ ἀκήκοα τὸ περὶ τοῦ σταυρωθέντος. πάλιν δὲ καὶ
περὶ τοῦ ἀναθέματος, παύλου τοῦ ἀποστόλου:-
τheωνᾶς διάκονος διξιτ:
ἀγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος. καὶ
ὅτι εἰσῆλθεν εἰς τὸ φωτιστήριον τῆς ἁγίας μαρίας
πλησίον τῆς κολυμβήθρας γυμνιζούσης. ὅτι εἰσή
νεγκε μαρίαν πρὸ τοῦ φωτισθῆναι. μηδένα συγ
χωρήσας εἶναι ἔσω τῆς θείας κοινωνίας ἐπιτελου
μένης. ἐγὼ γὰρ ἄχρις ἑβδομάριος αὐτοῦ ἤμην. καὶ ἐκ

τούτου οἶδα· τοῦτο δὲ ἐποίησεν ἅπαξ καὶ δὶς καὶ τρίτον. οἶδα δὲ καὶ τὰ περὶ τοῦ ἀναθέματος, Παύλου τοῦ ἀποστόλου, καὶ τὸ κατὰ τῶν Πιροβόλον:-

ράνκος εὐσ διάκονος δι χτ:-

ἐγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος. οἶδα δὲ καὶ ὅτι ἐδίωξεν νεοφωτίστου. καὶ ἀσηγᾶς κανονικάς:-

Τιβεράριος διάκονος δι χτ:-

ἐγὼ ἀκήκοα τὸ περὶ τοῦ σταυρωθέντος. καὶ τὸ περὶ τοῦ ἀναθέματος, Παύλου τοῦ ἀποστόλου:-

ἰωάννης πρεσβύτερος δι χτ:-

ἐγὼ ἀκήκοα τὴν παρ' αὐτοῦ λεχθεῖσαν βλασφημίαν ἕνεκεν τοῦ σταυρωθέντος. καὶ πάλιν ὅτι εἶπε· κατακαύσει ὁ θεὸς τὰς ἐκκλησίας αὐτοῦ πυρί, καὶ ποιήσει βουλόμενα. καὶ πάλιν τοῦ πράγματος τοῦ κατὰ Ῥουφῖνον ἀκουομένου, ἔθηκεν ἀνάθεμα τῷ μετ' αὐτὸν ἐνάγοντι αὐτῷ. κἂν Παῦλος ᾖ ὁ ἀπόστολος:-

Συρῖνος εὐσ διάκονος δι χτ:-

ἐγὼ ἀκήκοα ὅτι εἶπε περὶ τοῦ σταυρωθέντος:-

ἰωάννης εὐσ διάκονος δι χτ:-

ἐγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος:-

ριανὸς διάκονος δι χτ:-

ν κυριακῇ ἀνελθὼν εἰς προσηγορίαν. τὸ πεῶν ἀπὸ διάκονος, ἤκουσα κἀγὼ τὸν περὶ τοῦ σταυρωθέντος λόγον:-



Ἀντωνῖνος λέκτωρ δι χτ:-

ἴδα κἀγὼ παρὼν ἐν τῷ σεκρέτῳ, ἀκήκοα ἐν αὐτῷ περὶ τοῦ γενομένου ἡμῶν ἐπισκόπου. παρόντος τοῦ ἁγίου κλήρου, ἀπόντος τὴν ἄθεσμον βλασφημίαν κατὰ τοῦ σταυρωθέντος χυ τοῦ θυ ἡμῶν. καὶ τὸν λόγον τοῦ ἀναθέματος τὸν παρ' αὐτοῦ ἐπιτεθέντα ἐν τοῖς κατὰ Ῥουφῖνον. εἰπόντος ὅτι κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσῃ μετ' ἐμὲ εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔσω ἀνατρέποντα ἃ ἐμοὶ δόξαντα. καὶ ὅτι ἰω ὁ τοῦτον κληρονομήσας, ἐπὶ πάντων ἔφη· ὡς μετὰ τὸ ἀνάθεμα ἀπῃτήθη παρ' αὐτοῦ γραμματεῖον νομισμάτων, πεντήκοντα. τὰ γὰρ περὶ τῆς Πιροβόλου, οὔτε ἄλλος τις τῶν οἰκούντων ταύτην τὴν μεγαλόπολιν ὡς οἶμαι ἀγνοεῖ:-

ομ πρεσβύτερος ἐτ διάκονος κὲ λέκτορες δι χερνητ:-

κλωρούσων τῶν προελθουσῶν καταθέσεων, αἰτοῦμεν καὶ ἐνορκοῦμεν τὴν ὑμῶν μεγαλοπρέπειαν κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος. καὶ νίκης καὶ διαμονῆς τοῦ δεσπότου ἡμῶν Φλαβίου Ἰουστίνου τοῦ αἰωνίου αὐγούστου. καὶ τῶν μεγίστων ἐξουσιῶν, γνωρίσαι ἅμα τῶν ὁσιωτάτων ἐπισκόπων. καθὰ καὶ ἀνταγεγόνασι παρὰ παντὸς τοῦ πλήθους. τῇ τε πρώτῃ καὶ ἀνεχούσῃ τῶν ἀρχῶν. καὶ τῷ πανευφημῷ

μαγίστρῳ τῶν θείων ὀφφικίων· καὶ τοῖς ἀνδρειοτάτοις
στρατηγοῖς τοῦ θείου πραισέντου ἑκατέρων δυνάμεων·
ὥστε καὶ διὰ τῆς αὐτῶν ὑπεροχῆς, καὶ εἰς τὰς θείας ἀνενε
χθῆναι ἀκοὰς τὰ παρακολουθήσαντα· ὡς γὰρ ἐπίστασθε,
πολὺ καὶ ἄπειρον πλῆθος· καὶ ἀδελφικὸν καὶ μονα
χικὸν ἐζήτησε καὶ ἐμαρκῶσε ταῦτα γνωρίσαι τῇ
ὑμῶν ἐξουσίᾳ· τὸ γὰρ μὴ καταθέσθαι τοὺς ἀδελφοὺς
καὶ μοναχούς, τοῦτο ἔθος ἄνωθεν κρατῆσαν· ἀλλ' ἀρκεῖ
σθαι μόνον ταῖς αὐτῶν ἐκβοήσεσιν:–
ομνεσσυπρασσcριπτι υ̃ ρελιγιοσ episcop δι χερρυντ:–
υχῆς ἡμῖν ἀξιοῦμεν ταῖς ἀποκληρωθείσαις ἡμῖν ἁγίαις
τοῦ θεοῦ ἐκκλησίαις, σχολάζειν· καὶ τὰς θείας πληροῦν
726 λειτουργίας· ἐπειδὴ δὲ πίστεως καὶ εὐσεβείας πρόκειται
λόγος, εὔλογον εἶναι ἐνομίσαμεν πειθαρχῆσαι ταῖς
αἰτήσεσι τῶν θεοφιλεστάτων κληρικῶν τῆς Ἀπαμέων·
ὅθεν ἀπὸ γραμμάτων ἡμῖν σταλέντων ἀπὸ τοῦ εὐαγοῦς
κλήρου τῆς Ἀπαμέων ἁγίας τοῦ θεοῦ ἐκκλησίας· τῶν
καὶ κομισθέντων ἡμῖν διὰ Ἀντωνίνου καὶ Ἰουλιανοῦ
τῶν θεοσεβεστάτων, παρεγενόμεθα ἐν τῷ ἀμβρο
δίκης· ἔνθα συμβέβηκε πολλοὺς τῶν θεοσεβεστάτων
κληρικῶν, ἐλθεῖν πρὸς ἡμᾶς ἐν τῷ ἀρημένῳ αὐτη
ρίῳ· καὶ αἰτῆσαι ἡμᾶς γενέσθαι εἰς τὰ εὐαγῆ μοναστή
ρια· τοῦ τε μακαρίου ἡσυχίου· καὶ τοῦ μακαρίου



δωροθέου· ἔξω τυγχάνοντα τῆς μητροπόλεως· διὰ
τὸ εὐχερέστερον τοὺς εὐλαβεστάτους κληρικοὺς δύνασθαι
ἐξιέναι πρὸς ἡμᾶς· καὶ διδάσκειν ἃ βούλονται· ὃ δὴ καὶ
πεποιήκαμεν· καὶ ἐπειδὴ λιβέλλους ἐπιδεδώκασιν
ἡμῖν· καὶ ἐνεφάνισαν τῇ ὑμετέρᾳ μεγαλοπρε
πείᾳ· καί τινας καταθέσεις ἐποιήσαντο, αἰτοῦμεν
καὶ ἡμεῖς τὴν σὴν μεγαλοπρέπειαν· καθὰ καὶ
ἐκβοήσεις γεγόνασιν ὡς ἐπίστασθε, ὑπὸ τοῦ πλή
θους τῶν εὐλαβεστάτων κληρικῶν· ἐντάξαι μὲν
καὶ τὰ γενόμενα· καταμηνῦσαι δὲ τῷ τε πρ αὐτῷ
καὶ ἀνέχοντι θρόνῳ· καὶ τῷ πανευφήμῳ μαγίστρῳ
τῶν θείων ὀφφικίων· καὶ τοῖς ἀνδρειοτάτοις
στρατηγοῖς τοῦ θείου πραισέντου ἑκατέρων δυνά
μεων· ἐφ' ᾧ τε διὰ τῆς αὐτῶν ὑπεροχῆς εἰς γνῶσιν
ἐλθεῖν πάντα τὰ προελθόντα τοῦ φιλοχρίστου καὶ
εὐσεβεστάτου ἡμῶν βασιλέως· καὶ γὰρ καὶ ἡμᾶς
γνωρίζομεν τῷ τε ἁγιωτάτῳ καὶ μακαριωτάτῳ
ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ πατριάρχῃ τῆς βασι
λίδος πόλεως· καὶ τοῖς ἐνδοξοτάτοις καὶ μεγαλο
πρεπεστάτοις καὶ μεγάλοις ἄρχουσι τοῦ εὐσεβεστά
του ἡμῶν βασιλέως:–
Fl ιοhαννες· ραccαδιοσεν τοcηιανησ s̃s ρcοη·
ετ πραεσες διχιτ:

ἐρρειμμένα καταπεσόντα ὑπὸ τῶν θεοφιλεστάτων κλη-
ρικῶν τῆς ἐν ἀποδημίᾳ ἁγίας τοῦ θεοῦ ἐκκλησίας· τῶν
ὑπομνημάτων ἡ πίστις, ἅπερ καὶ διεξῆλθον· παρου-
σίᾳ καὶ τοῦ δήμου· ἐκδικοῦντός τινα ἀπαμείωμ προ-
πολιν· ἐπειδὴ δὲ καὶ ἐντευκτικαὶ ἐποιήσαντο διδα-
σκαλίας· οἱ τελοῦντες φησὶ τὸν εἰρημένον εὐαγῆ κλῆρον.
τὸν ἴσον δὲ τρόπον, καὶ οἱ ὁσιώτατοι τῆς ἐπαρχίας
ἐπίσκοποι· ἥκοντες φαίνονται σύμπαντα τὰ προ-
εληλυθότα γνώριμα καταστῆναι τῷ πρώτῳ καὶ
αὖ ἔχοντι θρόνῳ· καὶ τῷ πανευφήμῳ πατρικίῳ καὶ μαγί-
στρῳ τῶν θείων ὀφφικίων· καὶ τοῖς ἀνδρειοτάτοις στρα-
τηγοῖς ἑκατέρων δυνάμεων· ἐφ᾽ ᾧ τε καὶ διὰ τῆς αὐτῶν
ὑπεροχῆς· καὶ φησὶ τὰς θείας ἀκοὰς ἐνεχθῆναι τὸ καθέκαστον
725. τῶν κεκινημένων, ἥκω εἰς τὸ δικαστήριον τοῖς παρ᾽
αὐτῶν μάλιστα· καὶ διὰ τοὺς προσενεχθέντας μοι σε-
βασμίους ὅρκους· συζεῦξαι πάντα τὰ ἐπὶ τῇ ὑποθέσει
πεπραγμένα· καὶ γνωρίσαι πρὸς τὸ παριστάμενον τῇ
αὐτῶν φιλαγαθίᾳ· ἐντάττων τοῖς ἐπὶ τοῦ παρόντος πεπραγ-
μένοις, καὶ τὰς προελθούσας ἐκβοήσεις ὑπὸ τοῦ πλή-
θους τοῦ εὐαγοῦς κλήρου τῆς εἰρημένης ἁγιωτάτης
ἐκκλησίας· τοῦ βασιλέως, πολλὰ τὰ ἔτη· τῆς
αὐγούστης, πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων, πολλὰ τὰ
ἔτη· τοῦ μαγίστρου, πολλὰ τὰ ἔτη· τῆς συγκλήτου,



πολλὰ τὰ ἔτη· πρόβου καὶ ὑπάτου, πολλὰ τὰ
ἔτη· τοὺς ἀντάρτας, ἔξω βάλε· τοὺς φαγόντας τὰ ἐκ-
κλησιαστικά, ἔξω βάλε· ὅλα τὰ ἐκκλησιαστικά,
σευῆρος καὶ πέτρος ἔφαγον· ὅλα, φιλέραμον ἔδωκαν·
τὸν βλασφημήσαντα τὸν σταυρόν, ἔξω βάλε· ποῦ τὰ
κτήματα τῆς ἐκκλησίας· ποῦ τὰ σκεύη τῆς ἐκκλησί(ας)·
ὅλα γυναῖκες ἔλαβον· ὅλα ἡ πτεροβόλος ἔλαβε·
τοὺς ἀξίους τοῦ ἀναθέματος, τῷ ἀναθέματι· σταυρὸν
βίαν τῆς ἐκκλησίας· ὅλας τὰς ἐκκλησίας ἐπραι-
δευσαν· φιλέραμον ὅλα ἔδωκαν· πιστοῦ βασιλέως,
πολλὰ τὰ ἔτη· βιταλιανοῦ στρατηλάτου, πολλὰ τὰ
ἔτη· μίαν ἐρώτησιν ταῖς κανονικαῖς· νικᾷ ἡ πίστις
τῶν ὀρθοδόξων· ὀρθοδόξων ἐπισκόπων, πολλὰ
τὰ ἔτη· ἀτυχιανοῦ τοῦ κόμητος, πολλὰ τὰ ἔτη· ἀνα-
παυθῆναι τὰ ὀστέα τοῦ πρέσσου· ὅλα τὰ ἐκκλησιαστικά,
αἱ γυναῖκες ἔλαβον· ταῦτα ἀκτὰ τῷ βασιλεῖ· τὰ
ὀστέα δήμου ἐπώλησαν· ἀποσχίσαντας κληρικούς,
ἔξω βάλε· τὰ κτήματα δήμου ἐπώλησαν· οἱ φα-
γόντες τὰ ἐκκλησιαστικά, ἀπέσχισαν· μαρτύρομαι
σε· ἐγὼ αὐτοὺς καίω· ὅλα τὰ ἐκκλησιαστικά, ἐπώ-
λησαν· ἐλθὲ ἡ πτεροβόλος, καὶ αὐτὴ λέγει· τοὺς
ἀντάρτας τοῦ βασιλέως, ἔξω βάλε· τὴν στάσιν τοῦ
βασιλέως γνώρισον· μάθωμεν τὰ χαμαιπάτια

πρὸς εἰσί· πατὴρ καὶ ἐν τῷ ἐπισκοπείῳ, πῶς εὑρέθη· ἐ-
μίανε τὰ θυσιαστήρια· ἐμίανε τὸ φωτιστήριον· μάθωμεν
τὰ πατήματα ποῦ εἰσίν· ἡμάτωσαν τὰ θυσιαστήρια· σευῆ-
ρον καὶ πέτρον, τῷ πυρί· πρόβου καὶ ὑπατίου, πολλὰ
τὰ ἔτη· ἄξιος πρόβος, τοῦ βασιλέως· ἄξιος ὑπά-
τιος, τοῦ βασιλέως· πρικίου τοῦ μαγίστρου, πολλὰ
τὰ ἔτη· τῶν ἐπάρχων, πολλὰ τὰ ἔτη· πάσης τῆς συγ-
κλήτου, πολλὰ τὰ ἔτη· πολλὰ τὰ ἔτη τῆς αὐγούστης· ἀ-
φημίας αὐγούστης, πολλὰ τὰ ἔτη· ἄξιος βιταλιανός,
τοῦ βασιλέως· ἰωάννου πατριάρχου, πολλὰ τὰ ἔτη·
72 ταῦτα ἄξια τῷ θεῷ· ὅλους τοὺς φόνους, φαῦστος ἐποί-
ησε· μυρίους φόνους ἐποίησε· τοὺς φονευθέντας ἐν
τῷ ἁγίῳ ἀντωνίνῳ, τῷ βασιλεῖ· ὁ βασιλεύς, ὀρθό-
δοξος εἶ· πέτρον τὸν μανιχαῖον, τῷ βασιλεῖ· σευῆρος
καὶ πέτρος, μανιχαῖοι εἰσίν· ἡ σύγκλητος, ὀρθό-
δοξος ἐστί· ἆρον φαῦστον· σῶσον πόλιν· εὐτυχιανοῦ
τοῦ κόμητος, πολλὰ τὰ ἔτη· δικαία ἡ ψῆφος τῶν
ἐπάρχων· δεόμεθα, γνώρισον· τὴν σωτηρίαν τοῦ βασι-
λέως, γνώρισον· τὴν σωτηρίαν τῆς αὐγούστης, γνωρίσον:-

Τοῦ θεοῦ δεδωκότος τοῖς πράγμασι· καὶ ταῖς ἁγίαις



τοῦ θεοῦ ἐκκλησίαις· ὀρθόδοξον καὶ εὐσεβέστατον βασι-
λέα· παρούσης τῆς ὑμετέρας μεγαλοπρεπείας, παραγ-
γενόμενοι οἱ ὁσιώτατοι ἐπίσκοποι τῆς ἡμετέρας
ἐπαρχίας, τὰ παλαιὰ ἔθη τῆς ἐκκλησιαστικῆς κατα-
στάσεως, κρατεῖν· τοῦτο καὶ τοῦ εὐαγοῦς κλήρου τῆς
ἀπαμέων, αἰτήσαντος· δι' ὃ ἐξαιτῶ τοὺς παρόντας
θεοφιλεστάτους πρεσβυτέρους· διακόνους· ὑποδια-
κόνους· καὶ ἀναγνώστας· καὶ λοιποὺς κληρικοὺς
τοῦ αὐτοῦ εὐαγοῦς κλήρου, ἕκαστον αὐτῶν φανε-
ρῶσαι ἐπὶ τῶν ὑπομνημάτων, τὴν οἰκείαν γνώμην:-
Fλ ιοhαnnηs ραccα α'sιos ευτυchιanos uiς ςοπετρ
ραεs διχιτ:-
Παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ οἱ λοιποὶ
κληρικοί· καὶ τῆς διδασκαλίας ἐπακούσαντες τοῦ
ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου, τὴν
οἰκείαν φανερούτωσαν γνώμην:-
εὐδόχιος ρεαὶς ρρεσδιχιτ:-
ὀρθὴ παντὸς τοῦ κόσμου ἐστὶν αὕτη· ἡ νῦν κρατοῦσα
ἀσεβὴς κατάστασις· διὸ κατὰ τὰ κατατεθέντα παρὰ
τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου, ἐπιτρέπομεν
πάντα καινισμὸν ἤδη προελθόντα· ὑπὸ τῶν γενο-
μένων αἱρετικῶν, ἀφαιρεθῆναι· ἐντεθῆναι δὲ τὰ
ὅσια ὀνόματα τῶν μακαριωτάτων ἡμῶν πατρῶν καὶ

ἐπισκόπων· ἀπὸ Δόμνου τοῦ μακαριωτάτου, ἕως
τοῦ τῆς θεοφιλοῦς μνήμης Ἰσαακίου τοῦ γενομένου
ἡμῶν ἐπισκόπου· κρατεῖν δὲ καὶ ἐπὶ τοῖς ἄλλοις ἅ-
πασι, τὴν ἀρχαίαν κατάστασιν τῆς ἁγίας ἐκκλησίας:–
Εὐστάθιος ῥεφέρρες δὲ τ(ῆς) θεοτόκου ὁ δι χτ:–
Καθὼς ἐδίδαξεν ὁ παρὼν θεοφιλέστατος ἀρχιδιάκονος·
πάντας τοὺς θεοφιλεστάτους πρεσβυτέρους· διακόνους·
καὶ λοιποὺς κληρικούς· τῆς ἁγιωτάτης ἡμῶν ἐκκλη-
σίας· αἰτήσαι τὰ ἀρχαῖα ἔθη κρατεῖν, τοῦτο κἀγὼ
725. κρατυνθῆναι παρακαλῶ:–
Στεριανὸς ῥεφέρρες ὁ δι χτ:–
Κἀγὼ συναινῶ τῇ καταθέσει τῇ γενομένῃ παρὰ τοῦ θεο-
σεβεστάτου Εὐσταθίου· πρεσβυτέρου καὶ οἰκονόμου
τῆς παρ' ἡμῖν ἁγίας τοῦ θεοῦ ἐκκλησίας· καὶ τῶν λοιπῶν
θεοσεβεστάτων κληρικῶν:–
Θαλέλαιος ῥεφέρρες ὁ δι χτ:–
Μόλις ποτὲ ἀπὸ ζάλης· ἐχαρίσατο ἡμῖν ὁ θεὸς, τὸν λιμένα
τοῦτον· τὸν ὀρθόδοξον λέγω βασιλέα· εἰς ὃν μετὰ
θεὸν καταφυγών· θεασάμενος δὲ καὶ τῶν ἐμῶν συν-
κληρικῶν τὸν ζῆλον· τὸν ὑπὲρ τῶν γενομένων ἡμῶν
ὁσίων ἀρχιερέων καὶ πατέρων, παρακαλῶ τὴν μὲν
γενομένην καινοτομίαν παρὰ τῶν αἱρετικῶν ἐν τῇ
ἁγιωτάτῃ ἡμῶν ἐκκλησίᾳ, ἀνατραπῆναι· κρατῆναι



δὲ τὸ παλαιὸν ἔθος τῆς ἐκκλησιαστικῆς καταστάσεως·
καὶ ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις, τὰς προσηγορίας
τῶν μακαριωτάτων ἡμῶν ἐπισκόπων· ἀπὸ τοῦ μα-
καριωτάτου Δόμνου, καὶ ἕως τοῦ μακαριωτάτου Ἰσα-
ακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου:–
Ἡσύχιος ῥεφέρρες ὁ δι χτ:
Κἀγὼ εὐχαριστῶ τῷ θεῷ· τῷ εἰρήνην καὶ ἕνωσιν ταῖς ἁγίαις
ἐκκλησίαις διὰ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως δεδω-
κότι, συναινῶ πᾶσι τοῖς αἰτηθεῖσι παρά τε τοῦ εὐαγοῦς
ἡμῶν κλήρου· καὶ βεβαιωθεῖσι παρὰ τῶν ὁσιωτάτων
τῆς ἐπαρχίας ἐπισκόπων· ὥστε ἀνατραπῆναι μὲν
ἅπαν καινὸν· ἐπισαχθὲν τῇ ἁγιωτάτῃ ἡμῶν ἐκκλη-
σίᾳ· ἀνανεωθῆναι δὲ καὶ κρατυνθῆναι, τὰ παλαιὰ
ἔθη· τὰ κρατήσαντα ἄχρι τῆς τελευτῆς τοῦ τῆς θεο-
φιλοῦς μνήμης Ἰσαακίου, τοῦ γενομένου ἡμῶν
ἀρχιεπισκόπου· ἐπί τε ταῖς θείαις λειτουργίαις· καὶ
τοῖς λοιποῖς ἅπασιν:–
Πέζας ῥεφέρρες ὁ δι χτ:–
Πάντα τὰ καινισθέντα ὑπὸ τῶν ἀκεφάλων, βούλομαι
παυθῆναι· καὶ κρατεῖν τὴν ἀρχαίαν κατάστασιν·
καὶ ἐντεθῆναι τὰ ὀνόματα τῶν ἁγίων ἡμῶν πατέρων·
καὶ τῶν ὁσιωτάτων ἐπισκόπων ἡμῶν· τῶν γενο-
μένων ἐν τῇ ἡμετέρᾳ μητροπόλει ἕως τῆς τελευτῆς,

729. Τοῦ μακαρίου Ἰσαακκίου :–

σέργιος ρεῦ ρρες ὁ δι χιτ :–

Εὐχῶν τοιαύτην εἶχον· καὶ παρεκάλουν τὸν δεσπότην ἡμῶν
ἰν̄ χν̄, ὡς πεπαρθῆναι τὰ ἔθη τὰ καινισθέντα παρὰ τῶν
κακῶς φρονούντων· ἐντεθῆναι δὲ τὰ ὀνόματα τῶν ἁγίων
729. ἡμῶν πρ̄ων· καθὼς καὶ ἐπὶ τοῦ μακαριωτάτου Ἰσαακ
κίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου ἐγένετο· καὶ
συναινῶ πᾶσι τοῖς καταπεθεῖσι παρὰ τῶν θεοφιλεστάτ
πρεσβυτέρων :–

σαββάτιος ρεῦ ρρες ὁ δι χιτ :–

ἀγὼ συναινῶ πᾶσι τοῖς καταπεθεῖσι παρὰ τῶν θεοφιλε
στάτων πρεσβυτέρων :–

ροηπανὸς ρεῦ ρρες ὁ δι χιτ :

ἀγὼ εὐχαριστῶν τῷ δεσπότῃ θεῷ· δεδωρημένῳ κόσμῳ
παντί· καὶ ταῖς ἁγίαις ἐκκλησίαις ὀρθόδοξον βασιλέα·
συναινῶ καὶ σοι χῶ πᾶσι τοῖς τε ὑπὸ τῶν θεοσεβεστάτ
μου συγκληρικῶν, αἰτηθεῖσι παρὰ τῶν πρὸ ἐμοῦ θεο
φιλεστάτων πρεσβυτέρων· ἐπὶ τῷ πᾶσαν καινοτομίαν
γενομένην ἀνατραπῆναι· κρατωθῆναι δὲ τὰ παλαιὰ
ἔθη τῆς ἁγιωτάτης ἐκκλησίας· καὶ ἐντεθῆναι τοῖς ἱ
εροῖς διπτύχοις, ταῖς προσηγορίας τῶν γενομένων
ἡμῶν ὁσιωτάτων ἐπισκόπων, ἄχρι τοῦ μακαριω
τάτου Ἰσαακκίου· τοῦ γενομένου ἡμῶν ἀρχιεπισκό :–





ἰωάννης ρεῦ ρρες ὁ δι χιτ :

ἀγὼ συναινῶ πᾶσι τοῖς καταπεθεῖσιν :–

ἀστέριος ἰωάννης ρεῦ ρρες ὁ δι χιτ :–

Γέγραπται· αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κς̄· διὸ καὶ
ἀγαλλιῶντες καὶ εὐφραινόμενοι ἐν αὐτῇ, μετὰ δακρύ
παρακαλοῦμεν τεθῆναι τοὺς ἁγιωτάτους ἡμῶν πρας̄·
ἄχρι τῆς τελευτῆς τοῦ τῆς ὁσίας μνήμης Ἰσαακκίου,
τοῦ γενομένου ἡμῶν ἐπισκόπου· καὶ κρατωθῆναι
τὸ παλαιὸν ἔθος :–

ἰωάννης ζαχαῖος ρεῦ ρρες ὁ δι χρυντ :–

αἱ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς δόξασιν :–

κυριακὸς ρεῦ ρρες ὁ ετ σοδοτηετ· δι χιτ :–

ἀγὼ παρακαλῶ τὴν ὑμετέραν ἐξουσίαν· ἐντεθῆ
ναι ἐν τοῖς ἱεροῖς διπτύχοις, τοὺς ὁσίους ἡμῶν καὶ
μακαρίους γενομένους ἐπισκόπους· τοὺς ἄχρι τοῦ
μακαριωτάτου Ἰσαακκίου· καὶ τοὺς ἐν τοῖς θρόνοις
αὐτῶν ἀποθανόντας· κρατωθῆναι δὲ καὶ τὰ
παλαιὰ ἔθη τὰ ἐκκλησιαστικά· ὑπερεύχομαι δὲ
καὶ ὑπὲρ τῆς νίκης τοῦ δεσπότου ἡμῶν· τοῦ εὐσεβε
στάτου Ἰουστίνου ὀρθοδόξου βασιλέως :–

ἀντωνῖνος ρρες ὁ δι χιτ :–

Εὐχὴ μὲν ἦν ἡμῖν, τὸ ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύ
χοις, τοὺς ὁσίους καὶ μακαρίους ἡμῶν πρας̄· τοὺς

γενομένοις ἡμῶν ἐπισκόποις ἄχρι τοῦ τῆς μακαρίας
μνήμης Ἰσαακκίου· καὶ αὐτοῦ γενομένου ἡμῶν ἐπι-
σκόπου· κρατωθῆναι δὲ καὶ τὰ ἔθη τὰ ἐκκλησιαστικά·
τὰ μέχρι τοῦ αὐτοῦ τῆς μακαρίας μνήμης Ἰσαακίου:—
ευτυχιανὸς διάκονος διχιτ:—
υχρισῶν τῷ τῶν ὅλων θεῷ· τῷ δεδωκότι ἡμῖν εὐσεβῆ
καὶ φιλόχριστον βασιλέα Ἰουστῖνον· ἐπὶ ἀρχηγὸν τῶν
ἁγιωτάτων αὐτοῦ ἐκκλησιῶν, καὶ δοθῆναι τῷ ἐντεθῆναι
ἐν τοῖς ἱεροῖς διπτύχοις, τὰς προσηγορίας τῶν γενο-
μένων ἡμῶν ὁσίων ἐπισκόπων· τῶν ἄχρι τοῦ τῆς
μακαρίας μνήμης Ἰσαακίου. τοῦ γενομένου ἡμῶν
ἐπισκόπου· κρατεῖν δὲ καὶ τὰ παλαιὰ ἔθη, τὰ ἐκκλησια-
στικά:—
σέρζιος ἐτ εὐγέδιος ἐτ ἰοάννης πρες ὁ διχερυντ:—
αἱ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς προ ἡμῶν κατατε-
θεῖσιν:—
Cασσιόριος fῖλος αfτονις λεόντιος fίλιος πατρονι
ἀναστάσιος· στεφανος ἐτ θεοδοσιος διάκονοι διχερυντ:—
συναινοῦμεν καὶ ἡμεῖς τοῖς καταπεθᾶσι παρὰ τῶν
εὐλαβεστάτων ἀνδρῶν:—
ηλιας fιλιος υρανι· ἀναστάσιος fίλιος θεοδοσίου·
μακεδόνιος ἰοάννης fίλιος fοντις ρηfιον λεόντιος
fίλιος· ἀνατόλιος· ἐπόννος fίλιος εορτασιος διάκονοι



διχερυντ:—
αἱ ἡμεῖς τοῖς συνδόξασι στοιχοῦμεν:—
στεφανος· ἀντώνιος· εὐλόγιος· ἀντωνῖνος λεον-
τιος· ηλιας· ειρηνάιος· συμεωνης· αἴτιος· fωτ-
εινος· ιουλιανὸς λεόντιος ιοάννης· ἰριλάνρσιος·
στεφανος πρεσβυτεροι διάκονοι διχερυντ:—
αἱ ἡμεῖς ἀκολουθοῦμεν τοῖς συνδόξασι παρὰ τοῦ
ἁγίου κλήρου:—
ραυλος· διογένης θεοπας· ιοάννης· στεφανος·
ἐτ ας τέριος ιοάννης· στεφανος διάκονοι διχερυντ:
αἱ ἡμεῖς ἀκολουθοῦμεν πᾶσι τούτοις:—
θεοδοσιο· ιοάννης· συμεωνης μάρκελλος ρομανος·
ιουλιανὸς· λεόντιος· ἐτ ας πρεσβ· ιουλιανός· ιοάννης·
συμεώνης· ναρας· θεοδοτης· θωμας· ειρηνανος· ιο-
άννης· λεόντιος· στεφανος fρονιος· διάκονοι διχερυντ:
αἱ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς συνδόξασι παρὰ
τοῦ εὐαγοῦς κλήρου:—
ειρηναιος· ρομανος· ζινδεος· ἐτ αfθονιος· διό-
δωρος· ιοάννης· ἀντωνῖνος· εὐάγριος· θωμας·
ιοάννης· θωμας· σάλλνος· στεφανος· ἀναστάσι-
ος· στρατήγιος· ειρηναιος· ἐτ θεοδοσιος· ρεγιν·
ἀναγνωστ· διχερυντ:—
αἱ ἡμεῖς ἀκολουθοῦμεν πᾶσι τούτοις:—

Fλ ἰωάννης· ῥακκάδιος· εὐτυχιανός· υςρ· conετρ
βαεsεs διχιτ:-

Δῆλα τὰ πεπραγμένα:- ἔδαντυρ:

λίβελλος τῶν μοναχῶν ἀπαμείας πρὸς τοὺς ἐπι
σκόπους:

Ἴσον λιβέλλων ἐπιδοθέντων παρὰ τοῦ κοινοῦ τῶν μονα
χῶν τῆς ἀπαμέων· τοῖς ὁσιωτάτοις ἐπισκόποις δεσπό
ταις ἡμῶν· τοῖς τὰ πάντα ὁσιωτάτοις καὶ ἁγιωτάτοις
πᾶσιν· ἐπισκόποις συρίας δευτέρας· παρὰ ἀλεξάν
δρου· ἰωάννου· συμεώνου· παλλαδίου· προκοπίου·
εὐγενίου· στεφάνου· καὶ λοιπῶν ἀρχιμανδριτῶν καὶ
μοναχῶν, τῆς ἀπαμέων ἐνορίας· διδάσκουσιν ἡμᾶς
αἱ θεῖαι γραφαί, ὡς μεμάθηκε καιρῷ δουλεύειν, καὶ ἐκ
τῶν πραγμάτων ἀνάγκη· ἐσιγήσαμεν οὖν τοὺς φθά
σαντας κύκλους, δυναστείᾳ τῶν τότε κρατούντων· ἀ
τῇ μανίᾳ τῶν αἱρετικῶν βιαζόμενοι· ἀλλὰ νῦν θεοῦ
βραβεύσαντος δικαίαν παρρησίαν· καὶ φιλοτιμη
σαμένου τοῖς πράγμασιν εὐκταίαν ἐλπίδα· καὶ ταῖς
ἐκκλησίαις τοῦ θεοῦ· καὶ ἐπανατείλαντος πᾶσι τὸν εὐ
φιλόχριστον καὶ ὀρθόδοξον βασιλέα, ἀνάγκη πᾶσα,
καὶ τοὺς ἐν ἀφωνίᾳ πιεζομένους βοᾶν· ἴστε γὰρ ὡς
καὶ τῶν ἀδυνάτων σχεδόν, ἡ τῶν ἀπαραιτήτων πραγ
μάτων, ἐφάπτεται βία· θεοῦ τοίνυν φιλανθρωπίαν πρυτα



νεύσαντος· ἀγαθοῦ βασιλέως χρηματίζοντος· ἀπο
χωρισάντων τῶν σκυλλάειν ἐπιχειρούντων τὴν εὐθεῖαν
τῆς ὀρθοδόξου πίστεως ὁδόν, λείπεται λέγειν ἡμᾶς
εἰ καὶ μέτρια φανῇ, τὸν σευήρου τοῦ κακοδόξου
πικρότατον βίον· εἶτα καὶ πέτρου τὸ αἰσχρὸν καὶ
πάσης βδελυρίας γέμον, πολίτευμα· ὅπερ γὰρ ἑπο
ραόμεθα κατὰ τὸ προκεραμέων χωρίον· οὐ πόρρω τοῦ
σεβασμίου τεμένους τυγχάνον, τοῦ μακαρίτου καὶ
ὁμολογητοῦ συμεώνου· πρὸς εἰρήνην καὶ ἕνωσιν
ἀγάπης καὶ δικαίαν ἄνευ χλιᾶ ἀποβλέποντες· μόνον
πρόσχημα καὶ τυχὸν περιφέροντες πρέπουσαν
μοναχοῖς, οὐκ ἴσμεν ὅπως τὸν ἀσεβῆ σευῆρον πο
λέμιον ἐσχηκότες· ὃν οὐκ οἶδεν· οὐκ ἐδέξατο πώ
ποτε τῶν χριστιανῶν ἡ κατάστασις· οὐδὲ κοινωνίας
ἀληθοῦς κατά τινα τρόπον ἢ χρόνον μετέσχεν· ὅσον
ἀπὸ γνώμης τοῦ ἐχθροῦ τῆς ἀληθείας, δι' ὃν ἅπαν
τες ἀπωλόμεθα· ἰουδαίων· ἢ καὶ ἄλλως κοσμι
κῶν τε καὶ δῆθεν μοναχῶν ἐπενεχθέντων ἡμῖν ἐκ 737
τινων ~ τηλῶν καὶ ὑποφόρων χωρίων· τί δὲ καὶ
ποιεῖν ἔμην· ἢ πῶς ἄν τι καθίστασθαι μανίᾳ τῶν
ἐπιπεμφθέντων καὶ τοῦ δεινοῦ τῆς ἀσεβείας στρα
τηγοῦ· τοὺς μὲν, ὤσαν, καὶ διέφθαραν· ἑτέρους,
αἰχμαλώτους ἀφείλκυσαν· ἐνίους, γυμνοὺς τῆς

ἐσθῆτος κατέστησαν· ἄλλοις, κατερρωγυίας τῆς ἐσθῆτος
ὡς εἶναι ἀσχήμονι βίῳ κατὰ τὴν ἐκείνων δόξαν, ἐπόμ-
πευον· ἡμεῖς μὲν οὖν ἐπὶ τοῖς γεγενημένοις, εἰκότως
ἐσεμνυνόμεθα· πάθη καὶ ὁσίας πληγὰς ὑπὲρ Χριστοῦ τοῦ
θεοῦ ἡμῶν, μετὰ πάσης ἀγαθῆς ἐλπίδος, προφέροντες·
ἀλλὰ καὶ τὰ οὕτως μεγάλα τῶν ἀδικημάτων, μικρὰ
νενομικότες, ἐπιπέμπουσι καὶ κατὰ τὸ νικέρτον,
στρατιὰν ἀγροίκων, μείζονα ταύτης· δευτέραν ἔφο-
δον κατὰ τοῦ εἰρημένου μοναστηρίου ποιούμενοι·
οἳ διορύττουσι μέρος τοῦ τείχους· καὶ ὑπεισέρχονται
νύκτωρ· καὶ τινὰς μὲν κατασφάττουσι· τοὺς δὲ
πολλοὺς, καταπλήττουσιν· ὑφαρπάσαντες καὶ
τὴν μετρίαν τοῦ μοναστηρίου περιουσίαν· ὥστε
δή τι μεγάλων ὀδυρμῶν, τρόπαια φησὶ κατὰ τῆς
εὐσεβείας ἱστᾶν· καὶ οὗτοι μὲν οὖν πολλὰ δεινὰ δε-
δρακότες· εἰ καὶ μόλις, ἀπεδιώχθησαν· καιρὸς
δὲ οὐδεὶς ἦν μιαιφονίας, σεβήρῳ τῷ μόνῳ τῆς
πάσης οἰκουμένης ἐχθρῷ· ἢ τό γε ἀληθέστερον,
καὶ τῆς τῶν ὁσίων θεωρίας· ἄλλως μὴ ἀρκοῦντος
ὡς ἔοικε μόνου σεβήρου καταπλῶσαι τῆς ὅλης
οἰκουμένης τὰ κόσμια, πάλιν καὶ πρὸς τοὺς κατὰ
τῆς ἀπαμείων ἐξανίσταται· καὶ προβάλλεται
φησὶ πρόεδρος· ὃν ἔδει μᾶλλον καὶ γράμμασιν



ἐν συλλαβαῖς παραδίδοσθαι· καὶ μὴ ὀνειροπολεῖν
ἱερατικῆς μου σαγωνίας θεσπίσματα· ὅθεν τὸ ἄλογον
τῆς νεότητος θράσος, ἐπιπέμπει πολλάκις τῷ εὐαγεῖ
μοναστηρίῳ τῷ Δωροθέου· παρασύρων πλῆθος δη-
μῶδες γύναια τούτῳ προσαρμόζοντα· ὅς που τότε τῆς
ἀκοσμίας ἐκώμαζεν ἐν αὐταῖς· ἑταῖραι γὰρ ἦσαν
καὶ οὐδαμόθεν εὐγενεῖς· καὶ καταπλήττων τοὺς
αὐτόθι θεοφιλεῖς μοναχοὺς, ἕλκει κατὰ τὴν πό-
λιν· καὶ δεσμωτηρίῳ καθείργει· καὶ τοῦτο
πολλάκις ποιῶν, οὐκ ἐπαύσατο· τίς δὲ ἐφικέ-
σθαι δυνήσεται τῶν ἡγησαμένων ἐν τῷ μοναστηρίῳ
τῶν ματρώνης, κακῶν· ἔτι γὰρ καὶ νῦν ἐμπε-
πήγασι βελτιῶν ἑπομένων καὶ προσκαρτερούν-
των αὐτῷ ἰσαύρων· βοῶντα τοῦ συμβεβηκότος
δράματος τὴν ὑπερβολήν· οὔπω ὁ τῶν θυρῶν
ἐκείνου τοῦ μοναστηρίου ἀφανισμὸς ἀδακρυτὶ
συγχωρεῖ παριέναι τοὺς ὁρῶντας· τί δὲ καὶ τὴν μιαι-
φονίαν ἐξειπεῖν τολμήσομεν· ᾗ ἣν καταχρώσας
πολλάκις τὰς χεῖρας· καὶ ὁρῶντα αἵματα τοῖς θυ-
σιαστηρίοις ἀναπιμπλάμενα προσφέρειν ἐθάρ-
ρει, ποῖος τῶν ὀρθοδόξων χριστιανῶν, οὐκ ἀπο-
κνήσῃ καὶ λέγειν· καὶ σιγῇ μᾶλλον ἀγαπήσει
τὰ τοιαῦτα τῶν πραγμάτων ἐπικαλύπτειν· ἀλλ' εἰ

καὶ πάλιν ἐπιμνησθῶμεν τῶν προεληλυθότων κατὰ τὸ
ὁραγῶν μοναστήριον, ποῖος ἀρκέσει χάρτης, πρὸς ἀφήγησιν
τῶν τοσούτων πλημμελημάτων· οὐ γὰρ ὤκνησαν ὡς
ἐν πολιορκίᾳ, καθελεῖν τὸ μοναστήριον· καὶ δίκην
αἰχμαλώτων λαβεῖν, τοὺς αὐτόθι ψάλλοντας μοναχούς·
ἐπειδὴ πρὸς μικρὸν ὀλισθήσαντες, ὕστερον τὸν λόγον
τῆς ἀληθείας ἠγάπησαν· καὶ τὴν ἐπίγνωσιν τῆς
ἡμῶν κοινωνίας, ἠσπάσαντο· τὴν ἐν ἀλεξανδρίᾳ συ-
στᾶσαν μάχην· καὶ τὴν ἄφατον φαύστου μανίαν· καὶ
ὅσοις κατέβαλε βέλεσιν ἀθέσμως· φέρει καὶ τίνων
πεπραγμένων ἡ πίστις· ὡς περσῶν καὶ ἐπὶ τῇ τῶν
νικέρτων ἐφόδῳ γεγένηνται, πράξεις· καὶ οὐδένα
τῶν οἰκούντων τὴν ἐπαρχίαν διαλέληθεν· ὅσα δὲ καὶ
οἷα διαφόρως κατὰ τὸν σεβάσμιον οἶκον τοῦ καλ-
λινίκου μάρτυρος ἀντωνίνου τετόλμηται, ποία
φύσις ἔχουσα λόγον, ἀδακρυτὶ διηγήσεται· ὥσπερ
γὰρ ἐνέθει γενόμενος τῆς τῶν μοναχῶν μιαιφονίας·
καὶ μέγα κέρδος· τὸ πᾶσι τοῖς ἁγίοις ἀπευκτὸν, λογιζό-
μενος, κατέσφαξε διὰ τῶν ὑπομένων αὐτῷ· ὧν
οὐχ ὁσίως ἐστρατήγει, τῆς ἐπὶ τιμῇ τῆς ἑκάστε ἐπι-
τελουμένης ἑορτῆς ἀθροιζομένοις εὐλαβέσι καὶ
ὀρθοδόξοις μοναχοῖς· οὕτω τε χερσὶν ἡμαγμέναις,
τῷ θυσιαστηρίῳ παριστάμενος· ἀκηκόατε παρόντος



τοῦ τε μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος·
καὶ ἀμελίου τοῦ ἐνδοξοτάτου· καὶ ἀνδρέου τοῦ μεγαλο-
πρεπεστάτου· καὶ ἑτέρων ἐν τέλει τινῶν, ὅσας
ἀφῆκαν φωνὰς παρόντες, οἱ θεοφιλέστατοι πρε-
σβύτεροι· καὶ διάκονοι· καὶ ὑποδιάκονοι· καὶ
τὸ λοιπὸν πλήρωμα τῆς ἐν ἀπαμείᾳ καθολικῆς
ἐκκλησίας· ὡς μετὰ πορνῶν καὶ γυναικῶν ἀθέ-
σμων τὸν βίον, ἐπορεύετο· καὶ δυσφήμους ἀφῆκε
κατὰ τοῦ θείου φωνάς· παροινῶν τὸν σταυρωθέντα
χριστόν· γυναῖκα παρασύρων ἐν τῇ θείᾳ τῶν χριστιανῶν
κολυμβήθρᾳ, μηδὲ τοῦ θείου βαπτίσματος ἀξιω-
θέντα· καὶ εἰ θελήσομεν ἅπαντα διεξελθεῖν, ἑτέρου
μᾶλλον καὶ οὐ μόνον τοῦ παρόντος δεηθησόμεθα 734
καιροῦ· διὸ παρέντες τὰ πολλὰ τῶν πλημμελη-
θέντων σευήρῳ καὶ πέτρῳ· ἀκροθιγῶς ὥσπερ οἷόν
τε νῦν ὑποψελλίσαντες, διεξήλθομεν τὰς κατ'
ἐκείνων ἀληθεῖς κατηγορίας· καλὸν ἂν εἴη, μηδὲ
τὴν αἰτίαν τῆς κατὰ ἰουλιανοῦ τοῦ εὐλαβεστάτου
λύπης, παραδραμεῖν· ἐπειδὴ γάρ τινες ἐκινήθησαν
λόγοι ἐν τῷ σεκρέτῳ τοῦ ἁγίου στεφάνου· ἑορτῆς
ἐπιτελουμένης· καὶ ἀπεκρίνατο ὁ εἰρημένος εὐ-
λαβέστατος ἀνήρ· καλῶς καὶ ὁσίως πιστεύειν τὸν
εὐσεβέστατον ἡμῶν βασιλέα· ἀχθεσθεὶς ὥσπερ καὶ

κεντηθεὶς τὴν ψυχὴν ὡς ἐπὶ τῇ δικαίᾳ ταύτῃ φωνῇ, ἀπόλο-
γον καὶ κατάκριμα φησὶ τοῦτον πεποίηκε πέτρος, ὁ
τῆς ἀληθείας ἐχθρός. ὃ μηδαμόθεν ἔχων εὔλογον λόγον·
ἀλλὰ μόνον κατὰ πάντα προπετὴς ἄντικρυς. καὶ ταῦ-
θ᾽ ἀμαχόμενος τῷ φιλοχρίστῳ καὶ ὀρθοδόξῳ λογισμῷ,
τούτῳ τῆς ὅλης μετὰ θεὸν οἰκουμένης δεσπότου. ταῦτα
γὰρ ὡς ἐπιμαρτυρεῖται· παρόντος τοῦ μεγαλοπρεπ-
εστάτου τῆς ἐπαρχίας ἄρχοντος. καὶ τινων ἄλλων πρώ-
των ἀπὸ τῆς μητροπόλεως. πολλοὶ τῶν τελουμένων εἰς
τὸν εὐαγγελικὸν κλῆρον τῆς ἀπαμείων, ἐξεδίδασκον· προσ-
τιθέντες καὶ ὅσην ἐσώζεν ἢ δι᾽ αὐτὰ τὴν σοφίην περὶ σφα-
μὴν τινὰ ἀπὸ σκηνῆς. ὧν ἀγαθῶν πάθοι καὶ κολα-
κεία πολλή, μοναστηρίῳ φησὶν ἐμβάλλει. κατὰ πάν-
τα καιρόν, ἰδίᾳ καὶ κατὰ μόνας, προσεδρεύων
αὐτός. καὶ τοῦτο καταγώγιον ἀπρεπὲς πάλιν ἑαυτῷ
τεχνασάμενος. καὶ πρόφασιν ἄσεμνον, ὡς αὐτὸς
ἐκάλει διδασκαλίαν εἶναι καὶ παραίνεσιν. ἀπάντας
προεπισταμένους, φενακίζειν οἰόμενος· καὶ τὴν
ἀλήθειαν παρακρούεσθαι. ὧν ἐπὶ κακῷ, τὴν
πρὸς ἐκείνην ἠσπάζετο συνουσίαν. ἵνα πάνυ σω-
φρονέστερον τὸν περὶ τούτου διεξέλθωμεν λόγον.
διοικεταόμεν καὶ δεόμεθα τῆς ὑμετέρας μακαριό-
τητος. ἀφορῶντας εἴς τε τὸν ἀληθῆ λόγον ὧ λατρεύ- 176



καὶ εἰς τὸν ἀοίδιμον καὶ ὀρθόδοξον σκοπὸν τοῦ εὐσε-
βεστάτου ἡμῶν βασιλέως. καὶ τῶν μεγίστων ἐξουσιῶν,
ἆξαι καὶ κατακολουθῆσαι ταῖς καθαραῖς πράξεσι
τοῦ μακαριωτάτου πατριάρχου. καὶ τῆς συνεδρευσά-
σης αὐτῷ ἁγίας συνόδου. καὶ συναινέσαι μὲν τῇ
κατὰ σευήρου τοῦ αἱρεσιάρχου δίκαια ἐκβολῇ. κα-
θελεῖν δὲ καὶ πέτρον. ὃν ἐξονομάζοντες, ἀκόντως
ἐγκαλυπτόμεθα. πειθόμενοι δὲ τῇ ἀνάγκῃ, λέγο-
μεν καὶ δεόμεθα καθελεῖν τοῦτον. καὶ ἔξω κατα-
στῆσαι θείου χοροῦ. καὶ ἱερωσύνης, ἧς αὐτὸς παν-
τελῶς, ἀλλότριος γεγονὼς ἢ δὴ καὶ νῦν. ἑαυτῷ δὲ
μόνον ἀθέσμως περιετίθει τὸ τῆς ἱερωσύνης πρό-
σχημα. τούτων γὰρ οὕτως ἡγουμένων, καὶ θεὸς εἰσ-
δέξεται τὴν ὑμετέραν καθαρὰν καὶ αὐτῷ φίλην,
προαίρεσιν. καὶ βασιλεὺς ὁ μέγας ἐπαινέσει τὸν
ὀρθὸν τῆς ὑμῶν δικαιοσύνης, λογισμόν. καὶ τὰ
παρενοχλήσαντα πάθη τοῖς μέλεσι τῆς ἐκκλησί-
ας, ἐκκόψαι. ὥσπερ εἴθισται πάλαι καὶ πρὸ πάλαι ἴασιν καὶ
θεραπείαν ἀποστολικὴν ταῖς ἐκκλησίαις χαριζό-
μενοι, προσόδιαν καὶ ἐναρμόνιον τάξιν συνά-
γοντες, τὴν ἀμώμητον τῶν χριστιανῶν πίστιν. ἐφω-
τὶ δόξαν καὶ ἀδιακόποις ὕμνοις ἀσιγήτοις φω-
ναῖς ἀνακηρύττεσθαι τῷ δὲ δεσπότῃ τῶν ὅλων θεῷ.

ὑπό τε τῶν ὁσίων δυνάμεων· καὶ πάσης ἀνθρωπίνης
φύσεως γένωσιν ἀγαθὴν συνιόντων τῶν δικαίων τῆς
καθολικῆς ἐκκλησίας, κατὰ τὴν θείαν φωνήν· ἵνα
γένηται μία ποίμνη· εἷς ποιμήν, Χριστὸς ὁ θεὸς ἡμῶν:–

Ὑπογραφαί:

λέξανδρος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ μακαρίου μάρωνος, ἐπέδωκα τοὺς προκειμένους
λιβέλλους· ὑπογράψας χειρὶ ἐμῇ:–
υμεών· ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης
μονῆς τοῦ μακαρίου ἀγαπητοῦ:–
ροκόπιος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ μακαρίου θεοδοσίου:–
ὐγένιος· πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ μακαρίου ἡσυχίου:–
αλλάδιος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ μακαρίου οὐαλεντίνου τοῦ ἐν τῷ καπριόλας:–
τέφανος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ὁσίου θεοδώρου τοῦ ἐν τῷ βασαλᾷ:–
ωάννης πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
μακαρίου βηλίου, ἐπέδωκα:–
δρέας πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
μακαρίου βασιλείου:–
ουσήλιος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς



τοῦ μακαρίου βαρασοβᾶ:–
έργιος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
μακαρίου θαλασσίου:–
ιμόθεος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς 735
τοῦ μακαρίου γαϊανοῦ:–
υμεώνης διάκονος· καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
μακαρίου εὐγράφου:–
ουλιανὸς πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ παπούλης:–
ωρόθεος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ μακαρίου κυρίλλου:–
ωμύλος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ μακαρίου ἰακώβ:–
ωμᾶς πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ μακαρίου ἰωάννου:–
αϊουμᾶς διάκονος· καὶ ἀρχιμανδρίτης μονῆς τοῦ
μακαρίου παύλου:–
ἀμουήλιος διάκονος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ μακαρίου ἰσαακίου:–
ἰσὶ δὲ καὶ τῇ τῶν σύρων γλώττῃ, πολλαὶ καὶ ἄπειροι
μοναχῶν ὑπογραφαί:–
ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπεν· ἡ συμπαροῦ-
σα ἡμῖν ἁγία σύνοδος· ἐπὶ τοῖς πεπραγμένοις τε

καὶ συνεγνωσμένοις ἔχειν γνώμην, εἰπάτω:-

Καὶ ἀνέγνω Χριστόδωρος ὁ εὐσεβέστατος νοτάριος καὶ διάκονος· καὶ σηκρητάριος τὴν τῆς ἀναγνωσθείσης διὰ ῥωμαϊκῶν λέξεων φωνῆς ἑρμηνείαν, ἔχουσαν οὕτως:-

Οἱ ἁγιώτατοι ἐπίσκοποι τῶν μερῶν τῆς Ἰταλίας· καὶ οἱ σεβασμιώτατοι διάκονοι τῆς ἀποστολικῆς καθέδρας, εἶπον· πάλαι ἔγνωσται τοῖς ὅροις τοῦ ἀποστολικοῦ ἡγεμόνος ὁρμίσδου· σευῆρον καὶ πέτρον· ἤτοι τοὺς τούτοις συμπλεκομένους καὶ ἀκολούθους αὐτῶν, ὑπὲρ τῆς σαφοῦς ἑαυτῶν πλάνης κατακεκρίσθαι· οὕστινας καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς τῆς ἀποστολικῆς καθέδρας διὰ πάντων θεσπίσμασιν· ἐν τῷ τόπῳ ἤτοι ὑπὸ ὁρισμῷ τῶν κατακρίτων, ἔχεσθαι αὐτοὺς ὁμολογοῦμεν· ἀλλὰ καὶ τοῦ προλεχθέντος σευήρου τὰ ἀσεβῆ συγγράμματα· ἐν οἷς τῆς ἁγίας τῆς ἐν χαλκηδόνι συνόδου τοὺς ὅρους· καὶ τοῦ τῆς μακαρίας μνήμης πάπα λέοντος τὰς ἐπιστολάς, βλασφήμως ὀνόματι ἀναθεματίσαι ἐτόλμησεν· οὐ μόνον· ἀλλὰ καὶ ζωόραν· καὶ πάντας τοὺς τῇ αὐτῶν κοινωνίᾳ ἤτοι πλάνῃ ἐμμένοντας, τῆς αὐτῆς ἀποφάσεως ἡ αὐστηρία· ἤτοι τοῦ αὐτοῦ ἀναθέματος, οἱ δεσμοὶ καθέξουσιν:-



[illegible] καὶ τῆς ἐνδημούσης συνόδου κατὰ σευήρου καὶ πέτρου:-

Ἡ ἐνδημοῦσα ἁγία σύνοδος, εἶπεν· εἰ καὶ πνεω περον ιῶτο παρὰ τῶν εὐλαβεστάτων ἡγουμένων τῶν εὐαγῶν μοναστηρίων, αἰτηθέν, ὡς ὑπὲρ τῶν ἁγιωτάτων ἐκκλησιῶν προτεινόμενον, προσδέξασθαι ἡμᾶς πάντως ἔδει· καὶ τῷ θεοφιλεῖ αὐτῶν κοινωνῆσαί τε καὶ ἐπαγωνίσασθαι ζήλῳ· μάλιστα δέ, καὶ προεξειργασμένον τοῦτο κατὰ λόγον ὀρθὸν ὁρῶμεν ἤδη ὑπὸ τῶν μακαριωτάτων ἡμῶν πατέρων τε καὶ ἀδελφῶν· ὥστε καὶ ἐγκλήματος εἶναι μεγίστου τὸ μὴ τούτοις ἐξακολουθεῖν τοῖς οὐ μικροὺς ἱδρῶτας ἐσχηκόσιν ὑπὲρ τῆς κοινῆς τῶν ἁγιωτάτων ἐκκλησιῶν, εἰρήνης· καὶ ἐν τοῖς μεγάλοις καὶ πατριαρχικοῖς διαλάμψασι θρόνοις· ἐκ πάντων τοίνυν τῶν ἀνεγνωσμένων, ὁρῶμεν σευῆρον καὶ πέτρον, πάσης ἐκκλησίας καθολικῆς· ἀλλὰ καὶ αὐτῆς τῆς ὀρθοδόξου πίστεως, ἀποστάτας· καὶ ἀποτετμημένους· καὶ τῶν μὲν ἁπλουστέρων ψυχῶν, ἐπιβούλους· τῶν δὲ ἀσεβῶν αἱρετικῶν, συνεργούς· οἷα ταῖς αὐτῶν ποικίλαις ὑπαγομένων, πλάναις· ἀλλὰ καὶ τοὺς ἱεροὺς τῶν ἁγίων ἡμῶν πατέρων θεσμούς, παρ' οὐδὲν ἡγήσαντο· τὰ τούτοις ἀπηγορευμένα, ῥιψοκινδύνως ποιεῖν

τολμήσαντες. καὶ διὰ ταῦτα ταῖς ἀνεγνωσμέναις ὑπο-
πεσόντες ἱερατικαῖς ψήφοις. διὸ καὶ ἡμεῖς ἀκολου-
θοῦντες αὐταῖς, τοὺς εἰρημένους Σευῆρον καὶ Πέτρον.
μηδὲ τοῖς ὑπὸ τοσούτων ἁγίων γενομένοις κατ᾽ αὐτῶν
αἰωνίοις κατακρίμασί τε καὶ ἀναθέμασιν, ὑπο-
σταλέντας. ἢ μετριωτέρους γοῦν κατά τι γενομένους.
τοὐναντίον δὲ καὶ ἐπαυξήσαντας τὴν ἑαυτῶν
θρασύτητα κατὰ πασῶν τῶν ἁγιωτάτων ἐκκλη-
σιῶν. καὶ θορύβων τὸ ἐπ᾽ αὐτοῖς πληρώσαντας
αὐτάς. καὶ τῶν ἰδίων πόνων τοὺς καρποὺς ὥς φη-
σιν ἡ θεία γραφή, δρεψαμένους, ἐν τῇ τάξει γενο-
μένους ἔχομεν, ὧν ἠγάπησαν αἱρετικῶν. καὶ
ἅπερ ἐσπούδασαν ἐφ᾽ ὕβρει μὲν τῶν ἁγίων ἡμῶν
πατέρων. ἀνατροπῇ δὲ τῶν πιστῶν ἐφαρεῖν, ἀναθέ-
ματα, ταῦτα ἔχοντας αὐτοὺς κατὰ τῆς ἑαυτῶν
κεφαλῆς. πορθομένους ὡς ὁ προφήτης φησί,
τῷ φωτὶ τοῦ πυρὸς ἑαυτῶν. καὶ τῇ φλογὶ ἣ ἐξέκαυ-
σαν. κἀν τούτῳ ἐξακολουθούντων ἡμῶν τοῖς μνη-
μονευθεῖσιν ἁγίοις πατράσι. καὶ διὰ τῆς δι᾽ ἡμῶν
τῆς μετρίας κατ᾽ αὐτῶν ἀποφάσεως, ἀναθεματι-
ζόντων τοὺς αὐτοὺς Σευῆρον καὶ Πέτρον. ὧν ὁ μέν,
τὸν τῆς θεουπολιτῶν. ὁ δέ, τὸν τῆς Ἀπαμέων,
ἀθέσμως ὑφήρπασαν θρόνον. ὥσπερ τοὺς εἰς χ̅ν̅





ἠλπικότας. καὶ τῆς καθολικῆς ἐκκλησίας τυχά- 738
νοντας. τοῦτο εἰδότας, μὴ περιπίπτειν αὐτοὺς
ἀγνοίᾳ τῶν κατ᾽ αὐτῶν κανονικῶς ὁρισθέντων. ἀλλ᾽
εἰδέναι κατὰ τὴν εὐαγγελικήν τε καὶ ἀποστολικὴν
ὑφήγησιν. ὅτι αἱρετικὸν ἄνδρα μετὰ μίαν καὶ
δευτέραν νουθεσίαν, παραιτεῖσθαι χρή. καὶ ὅτι χαί-
ρειν, οὐδεὶ τῷ τοιούτῳ λέγειν. ὁ γὰρ λέγων αὐτῷ
χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.
δῆλον δὲ ὅτι τῆς αὐτῆς ἐστι κατακρίσεως, Ζωόρας
τε ὁ δυσσεβέστατος, καὶ πάντες οἱ τοῖς εὐσεβέσι
θυσιαστηρίοις τε καὶ βαπτιστηρίοις ἀνθιστῶντες τὰς
αἱρετικὰς ἑαυτῶν παρασυνάξεις. καὶ τὰ παραβα-
πτίσματα. καὶ τὰ ἀσεβῆ συγγράμματα τοῦ εἰρη-
μένου Σευήρου, τὸν ὅμοιον ἀναθεματίζομεν
τρόπον. ἐν ἴσῳ γὰρ ὥς φησιν ἡ θεία γραφή, μιση-
τὰ τῷ θῷ. καὶ ὁ ἀσεβῶν, καὶ ἡ ἀσέβεια αὐτοῦ:-

ἁγιώτατος καὶ μακαριώτατος οἰκουμενικὸς
ἀρχιεπίσκοπος καὶ πατριάρχης Μηνᾶς, εἶπεν. Ἰω-
τοῦ θεσπεσίου ἀποστόλου. καὶ μαθητοῦ τοῦ μεγά-
λου θῦ καὶ σρς ἡμῶν Ἰῦ Χῦ, λέγοντος. τινὰς ἁμαρτί-
ας εἶναι μὴ πρὸς θάνατον. τινὰς δὲ καὶ πρὸς

θάνατον· καὶ διδάσκοντος ἡμᾶς διὰ ταύτης τῆς ἀπο-
φάσεως· τὰς εἰς θεὸν διὰ τῶν αἱρετικῶν δοξῶν ἀποφά-
γειν βλασφημίας· ὡς δὴ πρὸς θάνατον ἀγούσας, φαί-
νονται Σευῆρος καὶ Πέτρος, αὐθαιρέτως ἑλόμενοι
τὰς πρὸς θάνατον ἁμαρτίας· δέον γὰρ τὴν ἀρχὴν
πλανηθέντας· καὶ δόξαις αἱρετικαῖς ὑπαχθέντας·
καὶ διὰ τοῦτο παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς
ἁγίας ἐκκλησίας· καὶ πάντων τῶν ἐν αὐτῇ ἀρχιερα-
τεύειν λαχόντων τὸ κατάκριμα ἑαυτοῖς ἐπαγαγόντας,
σωφρόνως ἐνεγκεῖν τὴν τιμωρίαν· καὶ πρόφασιν
μετανοίας ἀλλὰ μὴ ἀπογνώσεως, ταύτην ὑπολαβ(εῖν)·
οἱ δὲ τοιοῦτον μὲν οὐδὲν φαίνονται διαπεπραγμέ-
νοι· οὐδέ τινα παρ' ὅλον τὸν χρόνον μεταγνώσεως
ἔνδειξιν ποιησάμενοι· ἀλλ' ὡς πρὸς αὐτὸν τὸν θεὸν
ἀπαυθαδιαζόμενοι, ἐνέμειναν ταῖς οἰκείαις
ἀσεβείαις· μικρὸν ἡγησάμενοι, τὸ μέχρις αὐτῶν
στῆναι τὴν ἀπώλειαν· εἰ καὶ μὴ τοὺς ἄλλους ἅπαντας
ὅσοις ἂν γένοιντο δυνατοί, προσαπολέσαιεν· ἔργον
ἐπιτηδεύσαντες, μόνου τοῦ ἀρχηγοῦ καὶ εὑρετοῦ τῆς
κακίας, ἄξιον· ὃς τὴν οἰκείαν ἀπόπτωσιν· κοι-
νὴν ἁπάντων ἀνθρώπων ἀπώλειαν, ἠβουλήθη τε καὶ
μέχρι νῦν βούλεται καταστῆσαι· οὐκοῦν ἐπαύσαντο
διδασκαλίαις ἐγγράφοις τε καὶ ἀγράφοις χρώμενοι·



οὐ μόνον ἐν αἷς ἐτύγχανον διατρίβοντες πόλεσιν, ἀλλὰ
καὶ κατὰ τὰς πόρρω διεστώσας· καὶ τὰς τῶν ἁπλουστέ-
ρων ψυχὰς δελεάζοντες· καὶ κοινωνοὺς ποιούμενοι
τῆς ἰδίας ἀπωλείας· μηδὲ τὸ κρίμα τοῦ θεοῦ κατὰ
νοῦν λαβόντες μηδὲ τὴν κυριακὴν ἀπόφασιν·
διαρρήδην βοῶσαν, ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν
μικρῶν τούτων τῶν ἐλαχίστων, ἔνοχος ἔσται τῆς
γεέννης τοῦ πυρός· κατεπάτησαν δὲ πρὸς τούτοις,
καὶ τοὺς εὐαγεῖς κανόνας· οἳ σοφῶς διαγορεύου-
σι· τὸν ἔν τινι συνόδῳ κατακεκριμένον, μη-
δέ τινι τρόπῳ δύνασθαι λειτουργίας ἱερατικῆς
ἐπιλαβέσθαι, μέχρις ἂν ἐξέτασις ἐπ' αὐτῷ
γενομένη ὑφ' ἑτέρας συνόδου, ἀθῷον αὐτὸν
ἀποδείξῃ· εἰ δέ τις τολμήσῃ ἱερατικόν τι πρᾶ-
ξαι κατὰ τὸν ἐν μέσῳ χρόνον· πρὸ τῆς ἐν ἑτέρᾳ
συνόδῳ ἀποκαταστάσεως, τοῦτον μηδὲ ὕστερον
ἐν ἄλλῃ συνόδῳ ἐλπίδα τινὰ ἔχειν ἀποκατα-
στάσεως· ἀλλὰ τούτων πάντων ὑπεριδόντες
οἱ προειρημένοι Σευῆρός τε καὶ Πέτρος· καὶ
οἱ τούτων κοινωνοὶ καὶ μέτοχοι· ὧν ἐπὶ Ζωόρας
τις μοναχὸς ἐκ τῆς Σύρων ὁρμώμενος· ὃς οὐ-
δὲ νοῆσαί ποτέ τι τῶν ἱερῶν· οὐδὲ μὴν πρᾶξαι
κατὰ λόγον δυνάμενος· οὐχ ὅπως γε καὶ ἄλλοις

ἀγαθοῦ τινος μεταδοῦναι· ἀλλ᾽ ἁπλῶς οὕτω τὴν ὑπό
κρισιν ὥσπερ τι δέλεαρ ταῖς τῶν ἐντυγχανόντων ψυχαῖς
προτεινόμενος· μᾶλλον δ᾽ ἀληθέστερον εἰπεῖν, ὑπό
θεσιν πλεονεξίας ποιούμενοι· καταφρονήσαν τῶν
μὲν τῆς ἐν τῇ Ῥωμαίων ἁγιωτάτῃ ἐκκλησίᾳ τῶν ἀπο
στόλων διαδοχῆς, τὴν κατ᾽ αὐτῶν ἀπόφασιν ποιησα
μένης· παρ᾽ οὐδὲν δὲ λογισάμενοι καὶ τὸν τῆς δὲ τῆς
βασιλευούσης πατριαρχικὸν θρόνον· καὶ πᾶσαν τὴν
ὑπ᾽ αὐτὸν ἅπασαν σύνοδον· τήν τε αὐτοῦ τοῦ δεσπότου
καὶ σωτῆρος τῶν ὅλων ἐν τοῖς ἁγίοις τόποις ἀποστολικὴν
διαδοχήν· καὶ πρὸς πᾶσι τούτοις, τὴν πάσης τῆς
ἀνατολικῆς διοικήσεως κατ᾽ αὐτῶν ψῆφον γεγενη
μένην· τὸ δὴ λεγόμενον, ἀνίπτοις χερσὶ τὰ ἅγια
μεταχειρισάμενοι· καὶ καθάπερ δή τινες χοίροις
τοὺς μαργαρίτας παραβήσαντες· λέγω δὴ τὰς εὐαγγε
λικάς τε καὶ πατρικὰς ἀποφάσεις, οὐκ ἐπαύσαντο
740 μέχρι καὶ τήμερον παντοίως λυμαινόμενοι τῇ
καταστάσει καὶ εἰρήνῃ τῶν ἁγιωτάτων ἐκκλη
σιῶν· αὐτοὶ μὲν λαθραίως τὰ τοῖς κανόσιν ἀπη
γορευμένα, διαπραττόμενοι· ἄλλους δὲ πολ
λοὺς τῶν πειθομένων τῇ ἀθέσμῳ αὐτῶν διδα
σκαλίᾳ παρασκευάζοντες· συνάξεις τε καὶ βα
πτίσματα κατ᾽ οἴκους· καὶ μοναστήρια ποιοῦντες



ἀκανονίστως· καὶ τῆς μυσαρᾶς αὐτῶν πολλοῖς τῶν
ὑπ᾽ αὐτῶν διεστραμμένων, μεταδιδόναι κοινωνίας·
ἀνθρώποις, μὴ δὲ τῷ σχήματι· οὐδὲ γὰρ πράγματι
φαμὲν παρ᾽ αὐτῶν διδομένην. τοῖς ὁμοίως αὐτοῖς
διεστραμμένοις, χειροτονίαν ἐσχηκότας· ὥστε
διὰ ταῦτα, μὴ μόνον τὸ ἀρχῆθεν παρὰ τῶν πρώ
ην ἡμῶν ἐκτεθὲν, οἱονεὶ ἐρριζωθῆναι ἀνάθεμα·
ἀλλὰ καὶ ἐξ ἡμετέρας ἀποφάσεως· μᾶλλον δὲ
τῆς τῶν κανόνων αὐθεντίας, τὴν ἐλπίδα τῆς ἀπο
καταστάσεως, αὐτοῖς ἀναιρεθῆναι· καὶ τοῦτο
μανθάνοντας τοὺς τῆς καθολικῆς καὶ ἁγίας ἐκ
κλησίας τροφίμους, ἀποφεύγειν τὴν ἐκείνων
πλάνην τε καὶ κακοδοξίαν· διὰ ταῦτα τοῖς ἱεροῖς,
ταῖς τε τῶν ἁγίων ἡμῶν πατέρων ἑπόμενοι ψήφοις·
καὶ τοῖς εὐαγγελικοῖς τε καὶ πατρικοῖς ἀκολου
θοῦντες θεσμοῖς· ἀποδεχόμενοι δὲ καὶ τοὺς
ὁσιωτάτους ἀδελφοὺς καὶ συλλειτουργούς· τῆς
παρ᾽ αὐτῶν ἐξενεχθείσης ἀποφάσεως κατὰ τῶν
εἰρημένων· σευήρου· καὶ πέτρου· καὶ ζωόρα·
καὶ τῶν ἄλλων, ὅσοι κοινωνοῦσιν αὐτοῖς τῆς
ἀσεβείας· καὶ τῶν συμπλεκομένων ταῖς ἐκείνων
ἀνοσιουργίαις· καὶ ἡμεῖς διὰ τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν· ὥσπερ τινὰς λύκους

βορᾶς ἐπερχομένοις τῇ ποίμνῃ τοῦ χῡ ἀπελαύνοντες, σύμ-
ψηφοι γινόμεθα τοῖς ὁσιωτάτοις ἡμῶν ἀδελφοῖς καὶ
συλλειτουργοῖς· καὶ τοὺς πολλάκις πρότερον ὀνομα-
σθέντας σευῆρον καὶ πέτρον, τῷ ὁμοίῳ τι τρώσκομ-
ἀναθέματι· οὐ καὶ τούτους δὲ μόνον, ἀλλὰ καὶ ζωόραν·
καὶ τοὺς ἄλλους τοὺς παρασυνάξεις καὶ παραβαπτίσ-
ματα ποιοῦντας· καὶ πάντα τὰ παρ᾽ αὐτῶν συντεθειμ-
μένα· οἷα τὸν τοῦ ἀρχεκάκου δράκοντος ἰὸν ἐν ἑ-
αυτοῖς διασώζοντα· καὶ τούτων, ταῖς τῶν ἁπλουστέρων
ψυχαῖς ἐνιέντα:

ἰωάννης· ἐλέῳ θῦ ἐπίσκοπος κωνσταντινουπόλεως
ῥώμης ὁρίσας, ὑπεσημηνάμην:—
ἐγὼ σαβῖνος ἐπίσκοπος σανκτε ἐκκλησιαε κανουσινα
ε ἐν ἡισς σύνοδο σεκουενς δεφινιτιονεμ σανκτε ρεκορ
δατιονις παπαε ὁρμίσδαε ἀναθηματίζανς ατκου
κονδεμνανς σευηρουμ ετ ιευσι ιμπιας σκριπτα ετ πετρουμ
ετ ζωοραν ετ παραπενιομ σεδετ κονπλικες εορουμ ατκουε
σεκουασες ισμικονουετ ζοραν μικ κομμουνικατορες εορ
ουμ ετ ηνοδε μετ ρεκερεπε ρεπαν ἐν τε σσυνοδ σκριψι:—
ἐγὼ ἠπιφάνιος ἐπίσκοπος· σάνκτε ἐκκλησιαε σαλωνη·
καὶ τὰ λοιπὰ ὁμοίως διὰ ῥωμαϊκῶν γραμμάτων:
ἐγὼ ἀστέριος ἐπίσκοπος σανκτε ἐκκλησιαε σαλερ



νιτανας· καὶ τὰ λοιπὰ ὁμοίως διὰ ῥωμαϊκῶν γραμμάτ(ων):—
ἰηνοπινεδόμινεςυς χριστιλεοννη ἐπίσκοπος ἐκκλεσια
ενόλανας· καὶ τὰ ἑξῆς τῆς ὑπογραφῆς ὁμοίως,
διὰ ῥωμαϊκῶν γραμμάτων:—
ἐγὼ ρυστικους ἐπίσκοπος σανκτε ἐκκλεσιαε φαεσυλα-
ναε· καὶ τὰ λοιπὰ ὁμοίως δι᾽ ἴσων γραμμάτων:—
θεοδωριανὸς διάκονος σανκτε ἐκκλεσιαε ριον-
νανας· καὶ τὰ λοιπὰ ὡσαύτως διὰ τῶν αὐτῶν
γραμμάτων:—
ρεκάγιος διάκονος σανκτε ἐκκλεσιαε ρωμαναε·
καὶ τὰ λοιπὰ ὁμοίως:—
πάπιος ἐπίσκοπος ἐφέσου· ὁρίσας, ὑπεσημη-
νάμην:—
ωνσταντῖνος ἐπίσκοπος τῆς κατ᾽ εὐρώπην ἡρα-
κλείας, ὑπεσημηνάμην:—
υσέβιος· ἐπίσκοπος κυζίκου· ὁρίσας, ὑπε-
σημηνάμην:—
λαάπιος ἐπίσκοπος νικομηδείας· ὁρίσας,
ὑπεσημηνάμην:—
ναστάσιος· ἐπίσκοπος τῆς νικαέων μητροπόλεως·
διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπισφραγίζων·
καὶ ἀναθεματίζων σευῆρον· καὶ τὰ αὐτοῦ ἀσεβῆ
συγγράμματα· καὶ πέτρον τὸν ποτὲ ἀπαμείας·

καὶ Ζωόραν· καὶ τοὺς κοινωνικοὺς αὐτῶν· καὶ τοὺς ἐν τῇ
αὐτῶν πλάνῃ ἐπιμένοντας· ὁρίσας, ὑπεσημηνάμην:-

Φώτεινος ἐπίσκοπος Χαλκηδόνος· ὁρίσας, ὑπεσημηνάμην:-

Αὐξέντιος ἐπίσκοπος Σεβαστείας· σύμψηφος ὢν τοῖς
ὁρισθεῖσιν, ὑπέγραψα:

Θεόδουλος ἐπίσκοπος Ἰκονίου· σύμψηφος ὢν καὶ
αὐτός, ὑπεσημηνάμην:-

Θεαγένης ἐπίσκοπος Σωάδων· ὁρίσας, ὑπεσημηνάμην:-

Βάκχος ἐπίσκοπος τῆς ἐν Πισιδίᾳ Ἀντιοχείας· ὁρί-
σας, ὑπεσημηνάμην:-

Μάμας ἐπίσκοπος Μελιτηνῆς· σύμψηφος ὢν ἐπὶ
πᾶσιν, ὑπέγραψα:-

Ἀδριανὸς ἐπίσκοπος Πέργης· ὁρίσας, ὑπεσημηνάμην:-

Βοσπόριος ἐπίσκοπος Νεοκαισαρείας· ὁρίσας, ὑπε-
σημηνάμην:-

Παῦλος ἐπίσκοπος Τυάνων· ὁρίσας, ὑπεσημηνάμην:-

Ἀκάκιος ἐπίσκοπος Πατινοῶτος· ὁρίσας, ὑπεση-
μηνάμην:-

Κόνων ἐπίσκοπος Σίδης· σύμψηφος ὢν καὶ αὐτός,
ὑπέγραψα:-

Ἐπίκτητος ἐπίσκοπος Κλαυδιουπόλεως· ὁρίσας,
ὑπέγραψα:-

Προκόπιος ἐπίσκοπος Γάγγρας· σύμψηφος ὤν, ὑπέγραψα:-



Πέτρος ἐπίσκοπος Ἰουστινιανουπόλεως· τῆς δευτέρ(ας)
Καππαδοκῶν ἐπαρχίας· ὁρίσας, ὑπεσημηνάμην:-

Μάρκος ἐπίσκοπος Ἀπαμείας· ὁρίσας, ὑπεση-
μηνάμην:-

Ἡδίστος ἐπίσκοπος Κίου· ὁρίσας, ὑπεσημηνάμην:-

Ἰωάννης ἐπίσκοπος Βοοσπόρου· ὁρίσας, ὑπ(εσημηνάμην):-

Θεόδωρος ἐπίσκοπος Γορτύνης· ἡ μητρόπολις ἐστὶ
τῆς Κρητῶν ἐπαρχίας· διὰ τῆς ἀναγνώσεως
τοῖς πεπραγμένοις ἐπιστάς· καὶ ἀναθεματίζων
Σευῆρον· καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα· καὶ
Πέτρον τόν ποτε Ἀπαμείας· καὶ Ζωόραν· καὶ τοὺς
κοινωνικοὺς αὐτῶν· καὶ τοὺς ἐν τῇ πλάνῃ αὐτῶν
ἐπιμένοντας· ὁρίσας, ὑπέγραψα:-

Ὑάκινθος ἐπίσκοπος τῆς Μιλησίων πόλεως· ὁρί-
σας, ὑπέγραψα:-

Θαλάσσιος ἐπίσκοπος Βηρυτοῦ· σύμψηφος ὢν
καὶ αὐτὸς ἐν πᾶσι τοῖς ἐνταῦθα ὁρισθεῖσι· καὶ τοὺς
αὐτοὺς ἀναθεματίζων αἱρετικούς· ἤγουν Σευῆρον
καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα· Πέτρον τὸν
ποτε Ἀπαμείας· καὶ Ζωόραν· τούς τε κοινωνικοὺς
αὐτῶν· καὶ τοὺς ἐν τῇ πλάνῃ αὐτῶν ἐπιμένοντας,
ὑπέγραψα:-

Μέγας ἐπίσκοπος Βερροίας τῆς πρώτης Σύρων

ἐπαρχίας· ὁρίσας, ὑπέγραψα:–

ιβέριος ἐπίσκοπος μαριάμμης τῆς δευτέρας συρῶν

ἐπαρχίας, ὑπέγραψα:–

ομετιανὸς ἐπίσκοπος ζηλχίας· ὁρίσας, ὑπέγραψα:–

[illegible]όας ἐπίσκοπος σμύρνης· ὁρίσας, ὑπεσημηνάμην:–

ρχέλαος ἐπίσκοπος τῆς κωρυκειωτῶν πόλεως· ὁρί

σας, ὑπέγραψα:–

ριστόφορος ἐπίσκοπος πορφυρεῶνος· ἐπαρχίας

φοινίκης παραλίου· ἀναθεματίζων σευῆρον

καὶ πέτρον· καὶ ζωόραν· καὶ τοὺς κοινωνικοὺς

αὐτῶν· καὶ τοὺς τῇ πλάνῃ αὐτῶν ἐπιμένοντας· ὁ

ρίσας, ὑπεσημηνάμην:–

ἔτι καὶ δύο συρῶν ὑπογραφαί:–

λέξανδρος ἐπίσκοπος βαρκουσῶν· ἤτοι ἰουστινιανοῦ

πόλεως· ἀναθεματίζων σευῆρον καὶ τὰ αὐτοῦ

ἀσεβῆ συγγράμματα· πέτρον τόν ποτε ἀπαμείας·

καὶ ζωόραν· καὶ τοὺς κοινωνικοὺς αὐτῶν· καὶ

τοὺς τῇ πλάνῃ αὐτῶν ἐπιμένοντας· ὁρίσας, ὑπ:

υστάθιος ἐπίσκοπος τιβεριουπόλεως· ὁρίσας,

ὑπέγραψα:–

ναστάσιος ἐπίσκοπος νήσου ἰωτάβης· ὁρίσας, ὑπ:

όμνος ἐπίσκοπος μαξιμιανουπόλεως· ὁρίσας,

ὑπέγραψα:–



ιλάριος ἐπίσκοπος παρνασσοῦ· ὁρίσας, ὑπέγραψα:–

ωάννης ἐπίσκοπος τῆς τρίτης παλαιστίνης ἐπαρχίας·

ὁρίσας, ὑπέγραψα:–

πιφάνιος ἐπίσκοπος ἡρακλείας· ὁρίσας, ὑπ:–

βράμιος ἐπίσκοπος κρατίας· ὁρίσας, ὑπέγραψα:–

λέξανδρος ἐπίσκοπος κολωνείας· ὁρίσας, ὑπ:–

ὐγένιος ἐπίσκοπος τίου· ὁρίσας, ὑπέγραψα:–

πιτύγχανος ἐπίσκοπος γέρμης· ὁρίσας, ὑπ:–

νδρέας ἐπίσκοπος θεοδοσιουπόλεως· ὁρίσας,

ὑπέγραψα:–

ὐσέβιος ἐπίσκοπος παλαιᾶς πόλεως· ὁρίσας, ὑπ:–

στέριος ἐπίσκοπος ἀμάστριδος· ὁρίσας, ὑπ:–

εόδωρος ἐπίσκοπος τῆς γορδηνῶν πόλεως·

ὁρίσας, ὑπέγραψα:–

ατθίας ἐπίσκοπος κύμης· ὁρίσας, ὑπέγραψα:–

ωάννης ἐπίσκοπος ποδαλείας· ὁρίσας, ὑπ:–

ωάννης ἐπίσκοπος μηδαείου· ὁρίσας, ὑπ:–

αῦλος ἐπίσκοπος πόλεως στεκτορίου· ὁρίσας, ὑπ:–

νδρέας ἐπίσκοπος πέλτης· ὁρίσας, ὑπέγραψα:–

εόδωρος ἐπίσκοπος τῆς μηρινῶν· ὁρίσας, ὑπ:–

ἔτι καὶ ἄλλη ὑπογραφὴ μία, σύρου:–

εόντιος ἐπίσκοπος ἐλασμουπόλεως· ὁρίσας, ὑπ:–

ωᾶς ἐπίσκοπος εὐδοξιάδος· ὁρίσας, ὑπ:

744 Ἰωάννης ἐπίσκοπος Καισαρείας· ὁρίσας, ὑπέγραψα.
Ἰωάννης ἐπίσκοπος Τραϊανουπόλεως· Φρυγίας
Πακατιανῆς· ὁρίσας, ὑπέγραψα.
Στρατόνικος ἐπίσκοπος τῆς Συνέδρων πόλεως,
ὁρίσας, ὑπέγραψα.
Κυριακὸς ἐπίσκοπος Θεοδοσίου πόλεως· ὁρίσας,
ὑπέγραψα.
Φλαβιανὸς ἐπίσκοπος Κοτένων· ὁρίσας, ὑπέγραψα.
Πέτρος ἐπίσκοπος τῆς Ἀμβλαδέων πόλεως· ὁρίσας,
ὑπέγραψα.
Εὐστάθιος ἐπίσκοπος τῆς Ταωέων πόλεως· ὁρίσας,
ὑπέγραψα.
Θεόδωρος ἐπίσκοπος τῆς Καανατῶν πόλεως·
ὁρίσας, ὑπέγραψα.
Ἀλλάδιος ἐπίσκοπος τῆς κατὰ Παρέμου τάχος
ἐκκλησίας· ὁρίσας, ὑπέγραψα.
Θεόδοτος ἐπίσκοπος Εὐροιέων πόλεως· τῆς
Παλαιᾶς τῶν Ἠπείρων ἐπαρχίας· ὁρίσας, ὑπέγραψα.
Μακεδόνιος ἐπίσκοπος τῆς Βρουζηνῶν πόλεως·
ὁρίσας, ὑπέγραψα.
Ζώσιμος ἐπίσκοπος Ἀπαμάνδρου τῆς Ἀσιανῶν
ἐπαρχίας· ὁρίσας, ὑπέγραψα.
Θεοδώριτος ἐπίσκοπος τῆς Ἀλινδέων πόλεως·



ὁρίσας, ὑπέγραψα.
Λουκῖνος ἐπίσκοπος τῆς κατὰ Πάταρα ἁγίας ἐκκλη-
σίας· ὁρίσας, ὑπέγραψα.
Παῦλος ἐπίσκοπος τῆς Οἰνοανδέων πόλεως· ὁρίσας,
ὑπέγραψα.
Ἀρτολέων ἐπίσκοπος τῆς Ἰουλιου πολιτῶν· τῆς
Γαλατῶν ἐπαρχίας· ὁρίσας, ὑπέγραψα.
Κυριακὸς ἐπίσκοπος τῆς Σοφινῆς ἐπαρχίας· ὁρίσας,
ὑπέγραψα.
Μαρτύριος ἐπίσκοπος τῆς Βαρατέων πόλεως· τῆς
Λυκαόνων ἐπαρχίας· ὁρίσας, ὑπέγραψα.
Διονύσιος ἐπίσκοπος τῆς Εὐκαρπέων πόλεως·
ὁρίσας, ὑπέγραψα.
Ἐπιφάνιος ἐπίσκοπος τῆς ἐν Πταίνῃ ἁγίας ἐκ-
κλησίας, ὁρίσας, ὑπέγραψα.
Μάρκελλος ἐπίσκοπος Ἀραιαίων· σύμψηφος ὢν
καὶ αὐτός, ὑπεσημηνάμην.
Τρύφων ἐπίσκοπος τῆς Κολβασέων πόλεως· τῆς
Παμφύλων ἐπαρχίας, ὑπέγραψα.
Μάγνος πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἀπο-
στολικοῦ τῆς Θεουπολιτῶν θρόνου· καὶ τοῦ ἁγιω-
τάτου πατριάρχου Ἐφραιμίου· ἀκολουθῶν τοῖς
πάλαι καὶ νῦν ἐψηφισμένοις παρὰ τῶν ἁγίων

ἡμῶν πατέρων καὶ ἀρχιερέων, ἀναθεματίζω Σευῆρον· καὶ τὰ αἱρετικὰ αὐτοῦ συγγράμματα· καὶ Πέτρον τὸν καὶ ἔκδικον· καὶ προσέτι Ζωόραν τὸν τῆς τούτων ἀσεβείας ἀκόλουθον· καὶ τοῖς τῇ πλάνῃ τούτων ἐνιζαμένοις, καὶ ὑπέγραψα:-

πθ Ἡρακλεῖος διάκονος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς θεουπόλεως θρόνου· καὶ τοῦ ἁγιωτάτου πατριάρχου Εὐφραιμίου· ἀκολούθως τῷ συναποκρισιαρίῳ μου Μάγνῳ, ὑπέγραψα:-

ϟ Σαβῖνος διάκονος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως· πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων· ἀκολούθως Μάγνῳ καὶ Ἡρακλείῳ, ὑπέγραψα:-

ϟα Παῦλος ἐπίσκοπος τῆς Ναξίων πόλεως· σύμψηφος γενόμενος καὶ αὐτὸς ἐν πᾶσι τοῖς ὁρισθεῖσιν, ὑπέγραψα:-

Μηνᾶς ἐπίσκοπος τῆς Καρπαθίων νήσου· σύμψηφος ὢν καὶ αὐτὸς ἐν πᾶσι τοῖς ὁρισθεῖσιν, ὑπέγραψα:-

Θεόδωρος ἐπίσκοπος Θηρίων· Σιφνίων· καὶ Ἀμουλγίων τῶν πόλεων· σύμψηφος ὢν καὶ αὐτὸς ἐν πᾶσι τοῖς ὁρισθεῖσιν, ὑπέγραψα:-

Ἡ διάταξις Ἰουστινιανοῦ βασιλέως· κατὰ Ἀνθίμου Σευήρου· Πέτρου· καὶ Ζωόρα:

Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτο



κράτωρ· καῖσαρ· Φλάβιος Ἰουστινιανός· Ἀλαμανικός· Γοτθικός· Φραγγικός· Γερμανικός· Ἀττικός· Ἀλανικός· Οὐανδαλικός· Ἀφρικός· εὐσεβής· εὐτυχής· ἔνδοξος· νικητής· τροπαιοῦχος· ἀεισέβαστος αὔγουστος, Μηνᾷ πατριάρχῃ:-

Πρᾶγμα οὐ καινὸν ἔθος βασιλείᾳ καὶ ἡμᾶς πράττοντες, ἐπὶ τὸν παρόντα ἐληλύθαμεν νόμον· ὁσάκις γὰρ ἡ τῶν ἱερῶν ψῆφος τινὰς τῶν οὐκ ἀξίων τῆς ἱερωσύνης· τῶν ἱερατικῶν καταβιβάσει θρόνων· ὁποῖον δὴ Νεστόριόν τε καὶ Εὐτυχῆ· Ἄρειόν τε καὶ Μακεδόνιον· καὶ Εὐνόμιον· καὶ ἄλλους δή τινας εἰς κακίαν οὐκ ἐλάττους ἐκείνων, τοσαυτάκις ἡ βασιλεία σύμψηφος γέγονε τῇ τῶν ἱερέων αὐθεντίᾳ· ὥστε τὰ θεῖά τε πράγματα καὶ ἀνθρώπινα συνδραμόντα, μίαν συμφωνίαν ταῖς ὀρθαῖς ποιήσασθαι ψήφοις· ὁποῖον δή τι καὶ ἔναγχος γενόμενον περὶ Ἄνθιμον ἴσμεν· ἀπελαθέντα μὲν τοῦ τῆς βασιλίδος ταύτης πόλεως, θρόνου· παρὰ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης προέδρου γεγονότος τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ἁγιωτάτης ἐκκλησίας· οἷα τῷ κατὰ μηδένα τρόπον αὐτῷ προσήκοντι· παρὰ πάντας τοὺς εὐαγεῖς κανόνας ἐπιπηδήσαντα

θρόνω· κοινῇ δὲ ψήφω τούτῳ αὐτοῦ τῆς ἁγίας μνήμης
ἀνδρὸς πρότερον. καὶ μὴν καὶ τῆς ἐνταῦθα γενομένης
ἱερᾶς συνόδου· καταδεδικασμένον τε καὶ καθῃρη-
μένον· διότι τῶν ὀρθῶν ἀπεφοίτα δογμάτων· καὶ
οἷς πρότερον πολλαχόθεν ἐφαίνετο στέργων, ταῦτα
ὕστερον διαφόροις ἀπέφαινε περινοίαις· προσποιού-
μενος μέν, ταῖς τέσσαρσιν ἁγίαις συνόδοις ἀκολουθεῖν.
τῇ τε τῶν τιη πρώην τῶν ἐν Νικαίᾳ· τῇ τε τῶν ρν καὶ ν
τῶν ἐνταυθοῖ τῇ εὐδαίμονι πόλει· τῇ τε τῶν ἐν Ἐφέσῳ
τὸ πρῶτον συναχθέντων σ· τῇ τε τῶν θεοφιλῶν
πρώην τῶν ἐν Χαλκηδόνι χλ· οὐ μὴν τοῖς τούτων
δόγμασι κατακολουθῶν· οὔτε τὴν ἡμετέραν φιλαν-
θρωπίαν καὶ τὴν συγκατάβασιν ἣν διὰ τὴν αὐτοῦ
σωτηρίαν ἐσχομεν, προσδέξασθαι βουληθείς· οὐδὲ
ἀποκηρύξαι καὶ αὐτὸς τοὺς τῶν ἀσεβῶν δογμάτων
ἀρχηγούς· τοὺς ὑπὸ τῶν προτέρων ἁγίων ἐκβε-
βλημένους συνόδων· ἀλλοιούμενος χρῆναι καὶ
κατὰ ταυτὸν καὶ ἐν ἴσῳ τοὺς καταδεδικασμένους·
τούς τε καταδικάσαντας, ἄγειν· ἅπαξ γὰρ ταῖς
† ἀλλοτρίαις τῆς ἁγιωτάτης ἐκκλησίας ἐννοίαις
κατανδραποδισθείς· καὶ τῶν ὀρθῶν ἠλλοτριω-
μένος δογμάτων, εἰκότως εἰς τὴν αὐτῶν οὐκ
ἴσχυσεν ἐπανελθεῖν ὀρθότητα. καὶ ταῦτα





πατέρων ἡμῶν καὶ προτραπεὶς καὶ ὁδηγηθείς· πάσῃ χρησα-
μένων σπουδῇ, πρὸς τὴν σωτηρίαν τὴν αὐτοῦ. διὰ ταῦτα
τοίνυν ἅπαντα. τὴν γενομένην ἐπ᾽ αὐτῷ τῆς καθαι-
ρέσεως ψῆφον παρὰ τῆς ἁγίας συνόδου· προφάσει
τῆς τε οὐ θεμιτῆς οὐδὲ ὑπὸ τῶν ἁγίων κανόνων μαρτυ-
ρουμένης· τῶν τῆς βασιλίδος ταύτης ἱερατικῶν
θρόνων ἁρπαγῆς· καὶ τῆς ἀπὸ τῶν ὀρθῶν τε καὶ
ἀληθῶν δογμάτων ἐκτροπῆς, κυρίαν ἡ ἡμετέρα
τίθεται βασιλεία· καὶ ἐπὶ τούτοις, τὸν παρόντα
γράφειν νόμον· ἀπαγορεύομεν δὲ αὐτῷ καὶ τῆς
κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν καὶ τῆς περι-
οικίδος αὐτῆς, διατριβῆς· καὶ πάσης ἑτέρας
τῶν ἐπισήμων πόλεων· θεσπίζοντες ἐφ᾽ ἡσυχίας
εἶναι· καὶ τούτοις στέργειν, οἷς ἑαυτὸν ἀξίως
ὑπέθηκε· καὶ μήτε τισὶν ἐπικοινωνεῖν, μήτε ἐμ-
βιβάζειν αὐτοὺς τὴν τῶν ἀπηγορευμένων δογμάτων
ἀπώλειαν· οὐ μὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν 717
κατὰ Σευήρου ψῆφον· τὴν ἐκ πάντων ὡς εἰπεῖν
τῶν ἀρχιερατικῶν τε καὶ πατριαρχικῶν μετὰ τῆς
μοναχικῆς συναινέσεως προελθοῦσαν, θρόνων·
τὴν τὸν ἀναθεματισμὸν ἐπάγουσαν αὐτῷ, βασι-
λικῆς ἔξω καταλιμπάνομεν ἐπικυρώσεως· ὃς
πρότερον παρὰ τοὺς ἱεροὺς θεσμοὺς καταλαβὼν

τὸν θρόνον τῆς θεουπολιτῶν ἁγιωτάτης ἐκκλησίας· οὕτω
συνετάραξεν ἅπαντα· οὕτω μεγάλα πεποίηκε ταραχῆς,
ὡς κοινόν τινα καὶ ἀκήρυκτον ταῖς ἁγιωτάταις ἐκκλη
σίαις ἐμβαλεῖν πρὸς ἀλλήλας πόλεμον· καὶ τοῦτο,
καὶ τοῖς πρὸ ἡμῶν σκήπτροις πρὸς αὐτὸν γεγράφθαι·
ποικίλαις μὲν δογμάτων καὶ ἀπηλλοτριωμέναις τῆς
ὀρθότητος περινοίαις τε καὶ βλασφημίαις χρησά
μενον· ἅπαντα δὲ συνταράξαντα· καὶ μόνον τῶν
τῆς ἑκατέρου τῶν αἱρεσιαρχῶν πλάνης βδελυρῶν
τε καὶ ἀνοσίων δογμάτων, ἀντεχόμενον· νεστο
ρίου τε καὶ εὐτυχοῦς· καὶ τῶν ἑκατέρου τούτων
καθηγεμόνων· ἐξεναντίας μέν πως εἶναι δοκούν
των ἀλλήλοις· πρὸς ἓν δὲ τέλος τῆς ἀσεβείας
ἐπειγομένων· καὶ τοὺς ἐκείνων χαρακτηριστικοὺς
ἐντυπωσάμενον λόγους· διὸ γὰρ οὕτως ἐναντίων
ἀλλήλοις δογμάτων· ὧν ἑκάτερον ὁμοίως εἰς
ψυχικὴν ἀπώλειαν ἀνάγει· τοῦ τε νεστορίου· τοῦ τε
εὐτυχοῦς· καθάπερ εἰπόντες ἔφθημεν· ἅπερ ἐκ
τῶν ἀρειανῶν· καὶ τῶν ἀπολιναρίου συνέστη μιασ
μάτων, αὐτός τι παράδοξον παθών, ὁμοίως
εἰς ἑκάτερον ἐμπέπτωκε· καὶ τῇ μὲν, τοῦτο·
τῇ δὲ ἐκεῖνο πρεσβεύων, κοινὸν ἔδειξε δοχεῖον
ἑαυτόν τε καὶ τοὺς ἑαυτοῦ λόγους, τῶν τηλικούτων



πλημμελημάτων καταστῆσαι· ἔστω τοίνυν καὶ αὐτὸς
ὑπὸ τὸν εἰρημένον ἀναθεματισμόν, ὃν ἅπαν
τό τε πατριαρχικόν τε καὶ ἱερατικόν· καὶ μοναχικὸν
τῆς ἡμετέρας ὡς εἰπεῖν πολιτείας σχῆμα, δικαίως
ἐπήγαγεν αὐτῷ· τῆς μὲν θεουπολιτῶν, ἐκβεβλη
μένος· διόπερ αὐτὸν ὁ κατ' ἐκείνην ἀπεσείσατο
θρόνος· οἷα μηδὲ τὴν ἀρχὴν ὀρθῶς αὐτῆς ἐπει
λημμένον· ἀλλ' ἔτι ζῶντός τε καὶ ἐν ταῖς ἁγιω
τάταις ἐκκλησίαις ἀνακηρυττομένου, τοῦ
πρὸ αὐτοῦ τὴν ἱερωσύνην ἐσχηκότος· παρὰ δὲ
τοῦ μετ' αὐτόν, τῆς ἱερωσύνης ἐκπεπτωκότος·
οὐ ταῦτα δὲ μέχρι τούτου μόνον, ἀλλ' ἤδη καὶ
ὑπὸ κοινὸν ἀναθεματισμὸν τῆς ὀρθοδόξου καὶ
καθολικῆς ἐκκλησίας, γενόμενον· καὶ πολλῶν
ἡμῖν βιβλίων· βλασφημούντων καὶ ἀπηγορευ 713
μένων, ἐμπλήσαντα τὸ πολίτευμα· ὥστε καὶ
ἀπαγορευόμενα ἅπασι τῶν αὐτοῦ τι κεκτῆσθαι
βιβλίων· καὶ ὥσπερ οὐκ ἔξεστι τὰ νεστορίου
γράφειν ἢ κεκτῆσθαι βιβλία· διότι τοῖς πρὸ
ἡμῶν αὐτοκράτορσιν ἐν ταῖς ἑαυτῶν δια
τάξεσιν, ἔδοξε τοῖς παρὰ πορφυρίου κατὰ
χριστιανῶν εἰρημένοις, ὅμοια καθεστάναι,
οὕτω μήτε τὰ σευήρῳ ῥηθέντα τε καὶ γραφέντα,

μενέτω παρά τινι χριστιανῷ· ἀλλ' ἔστω βέβηλα· καὶ
ἀλλότρια τῆς καθολικῆς ἐκκλησίας· πυρί τε φλε
γέσθω παρὰ τῶν κεκτημένων· εἰ μὴ βούλονται
κινδυνεύειν, οἱ ταῦτα ἔχοντες· γραφέσθω τε παρὰ
μηδενὸς τὸ λοιπόν· μήτε τῶν εἰς κάλλος· μήτε τῶν
εἰς τάχος γραφόντων, μήτε ἄλλου τινὸς τῶν
πάντων· εἰδότος ὡς ἀποκοπὴ χειρὸς ἔσται τοῖς τὰ
ἐκείνου γράφουσιν, ἡ ποινή· οὐδὲ γὰρ βουλόμεθα
καὶ τῷ λειπομένῳ χρόνῳ τὴν ἐξ ἐκείνων ἐπισύ
ρεσθαι βλασφημίαν· ὁμοίως δὲ δὴ καὶ τοῦτον
παντοίως ἀπαγορεύομεν τῆς βασιλίδος ἐπιβαίνειν
πόλεως ἢ περιοικίδος αὐτῆς· ἀλλὰ μηδὲ τῶν ἐπι
σημοτέρων τινός· ἀλλ' ἐν ἐρημίᾳ τινὶ καὶ ἡσυχίᾳ
καθῆσθαι· καὶ μὴ διαφθείρειν ἑτέρους· μηδὲ εἰς
βλασφημίαν αὐτοὺς προάγειν· μηδὲ ἄλλο τι καινὸν
ἐξευρίσκειν κατὰ τῶν ἀληθῶν δογμάτων· διὸ οὐ
πάλιν ἡμῖν συντετάραξαι ταῖς ἁγιωτάταις ἐκκλησίαις,
παρέσχεν· οὐ μὴν οὐδὲ Πέτρον τὸν Ἀπαμείας γενό
μενον ἐπίσκοπον· καὶ ἅμα μὲν καθῃρημένον·
ἅμα δὲ ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷς Σευῆρος, ὑπὸ τὸ ἀφωρισ
μένον ἀνάθεμα γενόμενον, ἡ βασιλεία προσί
εται· ἀλλ' ἔστω κύρια καὶ τὰ κατ' αὐτοῦ ψηφισθέν
τα· καὶ ὑπὸ τὸν κοινὸν ταχθεὶς ἀναθεματισμόν,



ὑπαγέσθω· τῆς τῶν ἁγιωτάτων ἀρχιερέων προ
ελθούσης ἐπ' αὐτοῖς ψήφου, κυρίας διαμενούσης·
οὐκ ἐφίεμεν δὲ οὐδὲ ἐκείνῳ ταύτην οἰκεῖν τὴν
βασιλίδα πόλιν· ἢ τὴν αὐτῆς περιοικίδα· ἤ τινα
τῶν σεμνοτέρων· ἀλλ' ὥσπερ ἠκολούθησε τῇ πλάνῃ,
τούτων μιμείσθω καὶ τὴν δίαιταν· ἀπῳκισμένος
ὅτι πορρωτάτω· καὶ κατακρύπτων ἑαυτόν· ὡς
τοῖς γε τοιούτοις, τὸ κρύπτεσθαι μᾶλλον τοῦ φαί
νεσθαι λυσιτελέστερον· ἀφανεῖς μὲν γὰρ οὗτοι,
ἑαυτοὺς καταβλάπτουσι μόνους· δημοσιεύοντες δὲ
τὰ ἑαυτῶν δόγματα, πολλοῖς τῶν ἀφελεστέρων,
ἀφορμὴν ἀπωλείας παρέχουσιν· ὅπερ κατ' οὐδένα
γίνεσθαι τρόπον, ἐν τῇ χριστιανικῇ τοῦ θεοῦ ποίμνῃ·
καὶ τῷ ὀρθοδόξῳ λαῷ, δίκαιόν ἐστιν· οὐδὲ παρὰ
τῆς βασιλείας συγχωρούμενον· ἐπεὶ δὲ καὶ Ζωόραν
ἠξίωσαν ὅλως ὑπὸ ἀναθεματισμὸν οἱ σεβασμιώ
τατοι καὶ τὰ δίκαια κρίνοντες ἐπίσκοποι, ποιή
σασθαι· μικράν τινα παρενθήκην τῶν τοιούτων
ὄντα κακῶν· καὶ ἐν οἷς ἠτίμασται τὸ γοῦν ὅλως
τυχεῖν τινος εὐπορήσαντα μνήμης, ἔστω καὶ
Ζωόρας, τῆς πονηρᾶς ταύτης μερίδος· Ἀνθίμου τε 749.
καὶ Σευήρου· καὶ Πέτρου φαμέν, παρενθήκη τῆς
ἀπάτης· καὶ ἐν τοῖς ἀναθεματισμένοις καὶ

αὐτοῖς ἐπετάχθω· τῆς ἱερατικῆς αὐτὸν κατενεγκού-
σης ψήφου· ἣν κυρίαν καὶ αὐτῷ ἐφ᾽ ἑαυτῆς οὖσαν,
κυριωτέραν ἔτι μᾶλλον ἡ βασιλεία ποιεῖ· καὶ
τοῦτον ἐξελαύνουσα τῆς βασιλίδος ταύτης πόλεως·
καὶ τῆς ταύτης περιοικίδος· καὶ τὴν ἐπὶ τῶν
πόλεων οἴκησιν, αὐτῷ παντοίως ἀπαγορεύουσα·
ὥστε μετ᾽ ἐκείνων μόνων οἰκῆν τε καὶ βούλεσθαι,
τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων· ὅμοια μὲν βλα-
σφημούντων· ὅμοια δὲ καὶ παθόντων· ὁμοίως δὲ
καὶ περιωρισμένων· εἰ δέ τι καὶ ἕτερον τῇ τῶν
ἁγιωτάτων ἐπισκόπων περιέχεται ψήφῳ· τῇ
τοὺς προειρημένους καθαιρούσῃ τε καὶ ἀναθε-
ματιζούσῃ, κύριον δὴ καὶ τοῦτο τιθέμεθα· καὶ
τοῖς θείοις καὶ βασιλικοῖς ἡμῶν αὐτὸ νόμοις
ἐπικυροῦμεν, ὡς δὴ εἰ παρὰ τῆς βασιλείας αὐτῆς,
προελθὸν ἐτύγχανεν· εἰ δέ τις αὐτῶν ἁλοίη τὸ
λοιπὸν πράττων τι παρὰ τὰ διατετυπωμένα,
ἴστω καὶ τοῖς βασιλικοῖς ὑποπεσούμενος νόμοις·
οἱ τὰς ἐλάττους τῶν ποινῶν ἐκκλίνοντες, εἰς
μείζους ἐμβάλλουσι τὰς ἀγανακτήσεις· ἀπαγο-
ρεύομεν δὲ καὶ παντὶ τῷ τὴν καθολικὴν ἐκ-
κλησίαν τοῦ θεοῦ διασπᾶν ἐπιχειροῦντι· εἴτε κατὰ
τὴν Νεστορίου τοῦ φρενοβλαβοῦς ὑφήγησιν· εἴτε



κατὰ τὴν ἀνόητον Εὐτυχοῦς παράδοσιν· εἴτε κατὰ
τὴν Σευήρου βλασφημίαν ταὐτὰ κἀκείνοις νοή-
σαντος· εἴτε τῶν ἐκείνοις ἀκολουθούντων ταῖς
ἁγιωτάταις ἐκκλησίαις ταραχὰς ἐμβάλλειν·
καὶ φθέγγεσθαί τι περὶ πίστεως· ἀλλὰ θεσπίζομεν
ἕκαστον τῶν τοιούτων, τὴν ἡσυχίαν ἄγειν· καὶ
μήτε συγκαλεῖν ἐφ᾽ ἑαυτόν τινας· μήτε προσιόντας,
δέχεσθαι· ἢ παραβαπτίζειν θαρρεῖν· ἢ τὴν ἱερὰν
κοινωνίαν ῥυπαίνειν· καὶ ταύτης μεταδιδόναι
τισίν· ἢ τὰς ἀπηγορευμένας διδασκαλίας ὑφη-
γεῖσθαι· ἢ ἐπὶ ταύτης τῆς βασιλίδος ἡμῶν πόλεως·
ἢ ἐφ᾽ ἑτέρας· ἀλλ᾽ ὑφορᾶσθαι παντὰ κίνδυνον,
εἴ τι τοιοῦτον πράξαιεν· ἀπαγορεύομεν δὲ καὶ
πᾶσι τούτους ὑποδέχεσθαι· ἀπελαύνειν μὲν οὖν
θεσπίζομεν αὐτούς, τῶν ὑπ᾽ αὐτῶν παραπομένων
πόλεων· εἰ δὲ τὰς ταῖς ποιναῖς, ταῖς ταῖς θείαις
ἡμῶν ἤδη περιεχομένας διατάξεσιν· αἵ τε καὶ
τὰς οἰκίας αὐτάς· ἐν αἷς τοιοῦτόν τι πράττεται·
καὶ τὰ χωρία· ἐξ ὧν ταῖς ἀποτροφαὶ χορηγοῦνται,
ταῖς ἁγιωτάταις ἐκκλησίαις προσκυροῦσι·
τῶν μὲν κεκτημένων, ἀφαιρούμεναι· διότι
βλάβης αἴτια τοῖς ἁπλουστέροις γίνεται· ὑπὸ δὲ
ταῖς ἁγιωτάταις καὶ ὀρθοδόξοις ἐκκλησίαις, ταῦτα

δικαίως ἄγουσαι· ταῦτα ὑπὲρ τῆς κοινῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν, νομοθετοῦμεν· ταῦτα ψηφιζόμεθα τοῖς τῶν ἁγίων πατέρων κατακολουθοῦντες δόγμασιν· ὅπως αὐτὸ τὸ ἱερατικὸν ἅπαν ἀτάραχον ἡμῖν, τοῦ λοιποῦ διαμένοι· οὗπερ ἐν εἰρήνῃ φυλαττομένου, καὶ τὸ λοιπὸν ἡμῖν εὐθηνήσει πολίτευμα· τὴν ἄνωθεν ἔχον εἰρήνην· ἣν πᾶσιν ὁ μέγας θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ὁ τῆς τριάδος εἷς· ὁ ὁμογενὴς τοῦ θεοῦ λόγος, κηρύττεταί τε καὶ χορηγεῖ τοῖς γνησίως αὐτὸν καὶ ἀληθῶς δοξάζειν τε καὶ προσκυνεῖν ἠξιωμένοις· ἡ τοίνυν σὴ μακαριότης, τὰ ὀρθῶς πραχθέντα φυλαττέτω· καταπέμπουσα ταῦτα διὰ θεοφιλῶν αὐτῆς γραμμάτων, πᾶσι τοῖς ὑπ᾽ αὐτὴν τεταγμένοις ὁσιωτάτοις μητροπολίταις· ὧν ἑκάστῳ γενήσεται φροντίς, ταῖς ὑπ᾽ αὐτοῖς τεταγμέναις ἁγιωτάταις ἐκκλησίαις, ταῦτα ποιῆσαι φανερά· ὥστε μηδένα τῶν πάντων διαλαθεῖν τὰ τῇ ἀρχιερωσύνῃ δόξαντα, τά τε ὑπὸ τῆς βασιλείας κεκυρωμένα:- καὶ θεία ὑπογραφή:-

Διυινιτας τε σερβετ περ μυλτος αννος σανcτε ας ρελιγιοσσισσιμε πατερ:

Δατα οcταβο ιδυς αυγουστας cονσταντινοπολι ποστ πονσυλατ̄ · βελισσαριι υιρι cλαρισσιμι:-



Μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ ἐνδοξοτάτου· πρὸ δεκατριῶν καλανδῶν ὀκτωβρίων χρόνων· πεντεκαιδεκάτης ἰνδικτιῶνος· ἐν Κολωνείᾳ Αἰλίᾳ μητροπόλει τῇ καὶ Ἱεροσολύμοις· προκαθημένου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου Πέτρου· ἐν τῷ σεκρέτῳ τοῦ εὐαγοῦς ἐπισκοπείου τῆς αὐτοῦ μακαριότητος· συνεδρευόντων δὲ τῇ αὐτοῦ ἀρχιερωσύνῃ, καὶ τῶν ὁσιωτάτων ἐπισκόπων τῆς κατὰ Παλαιστίνας τρεῖς ὑπὸ τοὺς ἁγίους τελούσης τόποις εὐαγεστάτης συνόδου, Ἐλπιδαῖος διάκονος καὶ νοτάριος τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου· εἰς μέσον παρελθών, εἶπεν· εὐσεβοῦς καταπεμφθέντος νόμου τῇ ὑμετέρᾳ μακαριότητι· πρὸς ἀσφάλεια σωθῶ λέγειν, τυγχάνοντος τῶν ἁγιωτάτων ἐκκλησιῶν· καὶ τῆς εὐκρατούσης σωθῶ καταστάσεως· ἀποδοθείσης δὲ τοῖς ἁγιωτάτοις ὑμῖν καὶ ὁσίας ἐπιστολῆς τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως, Μηνᾶ· τὴν αὐτὴν φερούσης ὑπόθεσιν· ὧν ἕνεκα τὸν δρόμον διεκόμισαν οἱ θεοσεβέστατοι μοναχοὶ, τῆς καθ᾽ ἡμᾶς εὐαγεστάτης ἐρήμου· οἱ περὶ ἐπὶ τῆς βασιλίδος γεγόνασι πόλεως· τῆς ἐκκλησιαστικῆς καταστάσεως χάριν,

ἐπέτρεψεν ἡ ὑμετέρα μακαριότης εἰς ταυτὸν με-
τὴν εὐαγῆ προσκαλέσασθαι σύνοδον· ὡς δ᾽ ἂν κατα-
φανῆ καὶ τῇ αὐτῶν γένηται ὁσιότητι, τὰ εὐσεβῶς
νενομοθετημένα, τῷ κρατίστῳ καὶ θεοφυλάκτῳ
ἡμῶν βασιλεῖ· ἐπεσταλμένα δὲ καὶ παρὰ τοῦ
μνημονευθέντος ἁγιωτάτου πατριάρχου τῆς βασι-
λευούσης πόλεως· ἐπειδὴ οὖν πάρεστι τῇ ὑμετέρᾳ
μακαριότητι ἡ εὐαγὴς σύνοδος· προσεδρεύουσι δὲ
τῷ ἁγίῳ ἐπισκοπείῳ τῆς ὑμετέρας ἀρχιερω-
σύνης καὶ οἱ θεοφιλέστατοι ἀρχιμανδρῖται· καὶ οἱ
ὁσιώτατοι μοναχοὶ παρεῖναι ἐξαιτοῦντες τῇ τῶν
εἰρημένων ἐμφανείᾳ, τί τῇ ὑμετέρᾳ μακαριό-
τητι καὶ τῇ εὐαγεῖ συνόδῳ δοκεῖ· ὁ ἁγιώτατος
καὶ μακαριώτατος πατριάρχης· καὶ ἡ εὐαγὴς σύνοδος,
εἶπε· προσκαλείσθωσαν οἱ θεοφιλέστατοι ἀρχι-
μανδρῖται καὶ μοναχοί· Ἐλισαῖος διάκονος καὶ
νοτάριος ἐν μέσῳ καταστάς, εἶπε· κατὰ τὴν κέ-
λευσιν τῆς ὑμετέρας μακαριότητος, πάρεισιν οἱ
θεοσεβέστατοι ἀρχιμανδρῖται καὶ μοναχοί· ὁ ἁγιώ-
τατος καὶ μακαριώτατος πατριάρχης· καὶ ἡ εὐαγὴς
σύνοδος, εἶπε· κατὰ τὴν πρώτην τάξιν ὁ
πανευσεβὴς νόμος τοῦ κρατίστου καὶ θεοφυλά-
κτου ἡμῶν βασιλέως, προσφόρως ἀναγινω-



σκέσθω καὶ ἡγείσθω τῶν πραττομένων· καὶ ἀνε-
γνώσθη ὁ αὐτὸς θεῖος νόμος διὰ Ἐλισαίου τοῦ θεο-
σεβεστάτου διακόνου καὶ νοταρίου· καὶ προλάμ-
πει τῶν πραττομένων· ἐπὶ λέξεως ἔχων οὕτως ὡς
προγέγραπται· ὁ ἁγιώτατος καὶ μακαριώτατος
πατριάρχης· καὶ ἡ εὐαγὴς σύνοδος, εἶπεν· ἀναγινω-
σκέσθω καὶ τὰ ὅσια γράμματα τοῦ ἁγιωτάτου
πατριάρχου τῆς βασιλευούσης πόλεως, Μηνᾶ· καὶ
μεταχειρισάμενος ταῦτα ὁ μνημονευθεὶς θεοσε-
βέστατος διάκονος καὶ νοτάριος Ἐλισαῖος, ἀνέγνω·
καὶ ἐγγέγραπται τοῖς πεπραγμένοις· ἐπὶ λέξεως
οὕτως ἔχοντα· τῷ τὰ πάντα θεοφιλεστάτῳ καὶ 712
ὁσιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Πέτρῳ,
Μηνᾶς ἐν κυρίῳ χαίρειν· τῶν καθ᾽ ὑμᾶς θεοφιλῶν
ἀνδρῶν· καὶ μόνον μνημονεύοντες, εὐφραινό-
μεθα· οἱ δὲ γὰρ καὶ χωρὶς τῆς κατὰ πρόσωπον
ἐντεύξεως, ψυχὰς ἐπιτέρπειν ἡ πρὸς αὐτοὺς
δι᾽ ἐπιστολῶν ὁμιλία· κατ᾽ αὐτὸ οὖν καὶ μόνον
νῦν τὸ κινηθῆναί με πρὸς τὸ γράφειν ἐξ αὐτῆς
τῆς ἐπὶ τὸ προσειπεῖν ὑμᾶς ὁρμῆς, ἐπεφθηκὼς
ἐπὶ παντὶ πλούτῳ· μύρον γὰρ ἐκκενωθέν, ὄνομά
σοι· ὥστε καὶ μὴ παρόντος ἀλλὰ μήκοθεν ὄντος,
συναισθανόμεθα τῆς εὐωδίας· τὴν ὑπερβολὴν

τῶν ὑμετέρων τρόπων, κατ' αὐτὸ τῆς καρδίας μέσον
ἐθέμην. ἀφροσύνης πληρούμεθα τῶν ὑμετέρων
πλεονεκτημάτων ἀκούοντες τὰς ἀρετάς. λόγος τῆς
σῆς θεοφιλείας πολὺς καθ' ἡμέραν. τὰ ἐν ὑμῖν
κατορθώματα, πολλοὶ μὲν διηγοῦνται. ἐξαιρέτως
δὲ ὁ κοινὸς ἀδελφός. μᾶλλον δὲ ὁ κοινὸς εὐεργέτης.
ὁ θεοφιλέστατος πρεσβύτερος Ἀσέβιος. ἀλλ' ὡς
θεῖαν ἐρῶ καὶ οὐ ψεύδομαι. πολὺ παντοίως
συνεχὴς ὁ περὶ ὑμῶν λόγος. μάλιστα παρὰ τῆς
αὐτοῦ ὁσιότητος. ὃς ἡδέως διηγᾶται τὰ καθ' ὑμᾶς.
753· ὡς πίστις ὀρθή. ἄμεμπτος βίος. πραότης πολλή.
καὶ ἁπλῶς εἰπεῖν, πᾶς ὁ χορὸς τῶν ἀρετῶν ἐν
ὑμῖν ἐδόθη παρὰ θεοῦ. ὥστε καὶ τὸν Ἰακώβου
δέξασθαι θρόνον. καὶ φύλακα γενέσθαι τῆς ὀρθο-
δόξου πίστεως. τοιγαροῦν καὶ Σευῆρον ὡς βλά-
σφημον, ὁ ὑμέτερος θρόνος κατηγωνίσατο.
τῶν μετὰ ταῦτα καρπῶν, ἡ σὴ παρέσχεν ἡμῖν
ὁσιότης, τὰ σπέρματα. γεγόναμεν ὑμῖν ἐπὶ
Σευήρῳ σύμψηφοι. πέφηνε τούτῳ καὶ Πέτρος
παρόμοιος. οἳ εἰ καὶ παρ' ἑτέρων ἤδη καθῄρηντο,
τῆς αὐτῆς ἐκείνῳ καὶ παρ' ἡμῶν τετύχηκε κατα-
κρίσεως. εἰς τὴν ὁμοίαν ἑάλωσαν. Ἄνθιμός τε
καὶ Ζωόρας ἐμπεπτωκότες πλάνην. ἴστε καὶ



τούτων ἕνεκα προσηξίωται τῆς ποινῆς. κεκοινω-
νήκασιν ἡμῖν ἐφ' ἅπασι τούτοις. οἵ τε ἐκ τῆς πρε-
σβυτέρας παραγενόμενοι Ῥώμης, καὶ ὅσοι τῆς
εὐαγοῦς ἡμῶν ἐνεδήμουν συνόδου. σπουδὴν ἄ-
γρυπνον καὶ θεοφιλῆ πρόνοιαν τούτοις ἅπασι
συνεισήνεγκαν, καὶ οἱ εὐλαβέστατοι μοναχοὶ
οἱ ἐκ τῆς ὑμετέρας φιλοχρίστου χώρας τῇ βασιλίδι
ἐνδημοῦντες πόλει. αὐτὰς τοίνυν ὑμῖν τὰς ἐφ'
ἅπασι τούτοις συστάσας τῶν ὑπομνημάτων
ἀπεστάλκαμεν πράξεις. γένεσθε τοιγαροῦν, ἐπὶ
μὲν Σευήρῳ τοῖς τε παρ' ὑμῶν αὐτῶν. τοῖς τε ὑφ'
ἡμῶν κεκριμένοις, σύμψηφοι. ἐπὶ δὲ Πέτρῳ.
καὶ Ζωόρᾳ. καὶ Ἀνθίμῳ. τοῖς ὑφ' ἡμῶν τε αὖθις.
καὶ τῶν ἄλλων ὡς εἰπεῖν ἁπάντων δεδοκιμασμέ-
νοις, ἀκολουθῆσαι μὴ κατοκνήσητε. καὶ γὰρ ἂν
εἴη διαφερόντως, ὑμέτερον τοῖς μὲν, ἀρχὴν
αὐτόθεν παρασχέσθαι τῆς ἀπαλλαγῆς τῶν φαύλων.
τοῖς δὲ, κἂν ᾖ δεδομένα παρ' ἑτέρων, ἀκολου-
θεῖν. καὶ δείξει μὲν ὑμῖν τὸ κατὰ μέρος, ἡ τῶν
πεπραγμένων τάξις τε καὶ κατάστασις. πλὴν ἀλλ'
ἐμφανῆ τε γενέσθαι παρ' ὑμῖν αὐτοῖς ταῦτα βουλό-
μεθα. καὶ τὴν μὲν τούτων ἐμφάνειαν, ἐφ' ἡμᾶς
ἀποστάλλατε. τὴν ὑμετέραν τε καὶ τῶν ὑφ' ὑμᾶς

θεοφιλῶν ἐπισκόπων ἐπὶ τοῖς πραχθεῖσι συναί-
νεσιν, διὰ τῶν ὑποτεθησομένων αὐτοῖς δηλοῦντες
γραμμάτων. αὐτὰ δὲ τὰ παρ' ἡμῶν ἀπεσταλμένα,
μὲν ἐκινήσατε παρ' ὑμῖν. τῆς περὶ ὑμῶν αὐτῶν ὁμο-
λογίας ὀρθῆς, τῆς περὶ τῶν πεπονθότων κακοδο-
ξίας, εἰς αἰῶνας ἐσόμενα σύμβολον. παρα-
καλῶ δέ· τὸ τάλαντον ὅπερ ἐπιστεύθητε, μὴ κατο-
ρύξητε· ἀλλὰ τῇ μεταδόσει, πολυπλασιάσατε·
διαλέχθητε· μετάδοτε τῶν ὑμετέρων ἀληθειῶν·
μήποτε γὰρ ἀφανεῖς ἀποδεσμούντων αὐτό. ἰδιο-
ποιούμενοι τὰ κατ' ἐμέ, ὑπὲρ ἀδελφοῦ προσδέ-
ξασθε· δεήσεσι καταπυκνοῦντες καὶ λέγοντες·
754 κύριε εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν·
πᾶσαν τὴν σὺν τῇ ὑμετέρᾳ ὁσιότητι ἐν Χριστῷ ἀδελ-
φότητα, πλεῖστα προσαγοράομεν. ἐρρωμένος
ἐν κυρίῳ ὑπερεύχου ἡμῶν θεοφιλέστατε ἀδελφέ:—
ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης· καὶ
ἡ εὐαγὴς σύνοδος, εἶπεν· εἶτα τὰ κατὰ τὴν βασι-
λίδα πεπραγμένα πόλιν· καὶ συνοδικῶς ἐψη-
φισμένα. ὧν μνήμην ποιεῖται ὁ θεῖος καὶ
πανευσεβὴς νόμος· καὶ ἡ τοῦ μνημονευθέντος
ἁγιωτάτου πατριάρχου ἐπιστολή. Ἐλισσαῖος μετα-
χειρίζεται ὁ θεοσεβὴς νοτάριος, διδασκέτω.



Ἐλισσαῖος νοτάριος, εἶπε· διδάσκω τὴν ὑμετέραν
μακαριότητα· καὶ τὴν παροῦσαν εὐαγῆ σύνοδον·
ὡς σὺν τῇ ἀναγνωσθείσῃ τιμίᾳ ἐπιστολῇ· τοῦ ἁγιω-
τάτου πατριάρχου τῆς βασιλευούσης πόλεως, Μηνᾶ·
καὶ τὰ ὑπομνήματα ἃ ἀπεστάλη παρὰ τῆς αὐτοῦ
μακαριότητος· τὰ ἐπὶ τῇ καθαιρέσει πραχθέντα
Ἀνθίμου· ὃς πρώην γέγονε τῆς Τραπεζουντίων
ἐπίσκοπος· καὶ τὰ ἐπὶ ἀναθεματισμῷ Σευήρου·
καὶ Πέτρου· καὶ Ζωόρα, μετὰ χεῖρας ἔστι μοι· κατὰ
τοίνυν τὸ παριστάμενον τῇ ὑμετέρᾳ ἁγιωσύνῃ·
καὶ τῇ ἁγίᾳ συνόδῳ, τὴν τούτων ποιοῦμαι ἐμ-
φάνειαν:— ὁ ἁγιώτατος καὶ μακαριώτατος
πατριάρχης· καὶ ἡ εὐαγὴς σύνοδος, εἶπε· πρώτως
τὰ ἐπὶ Ἀνθίμῳ πεπραγμένα, δῆλα γινέσθω διὰ
τῆς ἀναγνώσεως· ἐγγραφόμενα τοῖς ὑφ' ἡμῖν
πραττομένοις· οὕτω γὰρ καθεξῆς περανασόμεθα
καὶ τὰ ἐπὶ ἀναθεματισμῷ παρακολουθήσαντα
Σευήρου· καὶ Πέτρου· καὶ Ζωόρα, τῶν δυσσεβεστάτων·
καὶ τὰ μάλιστα οὐκ ἄγνωστα ἡμῖν ταῦτα καθέ-
στηκε· καὶ παραλαβὼν τὰ ἐπὶ Ἀνθίμῳ πεπραγ-
μένα Ἐλισσαῖος ὁ θεοσεβέστατος νοτάριος καὶ
διάκονος, διῆλθε· καὶ ἐγγέγραπται τοῖς νῦν
πραττομένοις· ἐπὶ λέξεως ἔχοντα οὕτως:

ap. Zonara t. 154. d. 159. A.

μετὰ τὴν ὑπατείαν φλαβίου βελισαρίου τοῦ λαμ
προτάτου· τῇ πρὸ ἓξ νόννων μαΐων· ἰνδικτιῶνος
τεσσαρεσκαιδεκάτης· ἐν τῇ φιλοχρίστω καὶ βασι
λευούσῃ κωνσταντινουπόλει νέα ῥώμῃ· προ
καθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου
καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου,
μηνᾶ· ἐν τῷ μεσαυλῶ τῷ δυτικῷ τοῦ σεβασμίου
οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου
θεοτόκου καὶ ἀειπαρθένου μαρίας· τοῦ ὄντος πλη
σίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· καὶ
ἐκ μὲν τοῦ δεξιοῦ μέρους· συνεδρευόντων αὐτῷ
καὶ συνακροωμένων κατὰ τὴν εὐσεβῆ κέλευσιν τοῦ
φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως
ἰουστινιανοῦ, τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων
ἐπισκόπων· σαβίνου τοῦ κανουσίου· ἐπι
φανίου, ἐκλάνων· ἀστερίου, σαλερνῶν· ῥου
στικοῦ, φεσούλων· λέοντος, νόλου· τῶν παρόν
των, ἐκ τῆς ἰταλῶν χώρας· πρώην μὲν ἀπο
σταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας· ὕ
στερον δὲ συνόντων παραγενομένῳ ἐνταῦθα,
ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης γενομένῳ πάπα
τῆς πρεσβυτέρας ῥώμης· πέτρου, τῆς ἰου
στινιανουπόλεως· τῆς μητροπόλεως τῆς δευτέρας





καππαδοκῶν ἐπαρχίας· ζαχαρίου, τῆς μιτυ
ληναίων μητροπόλεως· μάρκου, τῆς μητροπόλεως
ἀπαμείας, τῆς βιθυνῶν ἐπαρχίας· αὐξεντίου,
τῆς σηλυβρηνῶν μητροπόλεως· θαλασσίου, τῆς
μητροπόλεως βηρυτοῦ· μεγάλου, τῆς μητροπό
λεως βερροίας· ἰωάννου, γαβάλων· ἰωάννου,
βοσπόρου· δομετιανοῦ, τοῦ ζηκχῶν ἔθνους·
χριστοφόρου, πορφυρεῶνος· ἐπαρχίας φοινίκης
παράλου· ἀρχελάου, κωρύκου· δαυίδου,
κιρκησίου· αἰθερίου, μαριάμμης· ἀλεξάνδρου,
βαρκούσων· δόμνου, μαξιμιανουπόλεως
τῆς δευτέρας παλαιστίνης· ἀναστασίου, ἰω
τάβης· ἰωάννου, ζωόρων· ἀνδρέου, τοῦ
πανίου· ἐπιτυγχάνου, γέρμης ἐπαρχίας
ἑλλησπόντου· παύλου, τοῦ σεκτορίου· ἀν
δρέου, πέλτων· θεοδώρου, μήρου· θεοδω
ρίτου, ἀλίνδων· ἐκ δὲ τοῦ εὐωνύμου μέρους,
ὑπατίου τῆς μητροπόλεως ἐφέσου· κωνσταν
τίνου, ἡρακλείας τῆς μητροπόλεως εὐρώπης·
θεαγένους, τῆς μητροπόλεως σωα´δ· βάκχου,
ἀντιοχείας τῆς μητροπόλεως πισιδίας· ἱλα
ριανοῦ, τῆς μητροπόλεως πέργης· βοσπορίου,
νεοκαισαρείας· τῆς μητροπόλεως πόντου πολε

μωνιακοῦ· παύλου, τῆς μητροπόλεως τυάνων· ἀκα-
κίου, τῆς μητροπόλεως πεσσινοῦντος· ἐπικτήτου,
κλαυδιουπόλεως τῆς μητροπόλεως ὁνωριάδος· τιμο-
θέου, τῆς μητροπόλεως βερόης· ἐπιφανίου, ἡρα
κλείας τῆς ὁνωριατῶν ἐπαρχίας· ἀβραμίου,
κρατίας· ἀλεξάνδρου, κολωνείας τῆς δευτέρας
καππαδοκῶν ἐπαρχίας· ἀστερίου, ἀμάστρεως·
εὐγενίου, πίου· ἰωάννου, καισαρείας τῆς βιθυνῶν
ἐπαρχίας· κυριακοῦ θεοδοσιουπόλεως τῆς φρυγῶν
πακατιανῶν ἐπαρχίας· ἰωάννου, τραϊανου
πόλεως· θεοδότου, εὐροίας παλαιᾶς ἠπείρου·
ἀνδρέου, ἀμυζῶνος· φλαβιανοῦ, κοτένων·
ἠλίου, ἀδριανῶν τῆς βιθυνῶν ἐπαρχίας· μακε
δονίου, βριάνων· καὶ ἀρμονίου, καλλιπόλεως·
συμπαρόντων δὲ αὐτῷ καὶ συνακροωμένων, καὶ
θεοφάνους καὶ πελαγίου τῶν θεοφιλεστάτων
διακόνων τῆς ἀποστολικῆς καθέδρας· καὶ μηνᾶ
καὶ πέτρου τῶν θεοσεβεστάτων νοταρίων· καὶ
τῶν εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων·
καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ
θρόνου· οἳ καὶ συνόντες ἔτυχον παραγενομένω
ἐνταῦθα, ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης γενο
μένῳ πάπᾳ τῆς πρεσβυτέρας ῥώμης· ὑμαίνου



πρεσβυτέρου· καὶ ἡρακλείου, διακόνου τῶν
ἀποκρισιαρίων, ἐφραιμίου τοῦ ἁγιωτάτου πατρι
άρχου τῆς ἐν θεουπόλει ἁγιωτάτης ἐκκλησίας·
σαβίνου διακόνου τῆς ἁγίας χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀνα
στάσεως· πληροῦντος τὰς ἀποκρίσεις, πέτρου
τοῦ ὁσιωτάτου πατριάρχου ἱεροσολύμων· στεφάνου,
διακόνου καὶ ἀποκρισιαρίου· σωτηρίχου, τοῦ
ὁσιωτάτου ἐπισκόπου καισαρείας τῆς μητροπό
λεως καππαδοκίας πρώτης· γαϊανοῦ, πρε
σβυτέρου καὶ ἀποκρισιαρίου· ἐλπιδίου, τοῦ
ὁσιωτάτου ἐπισκόπου ἀγκύρας τῆς μητροπόλεως
γαλατίας πρώτης· διονυσίου καὶ καλλινίκου,
διακόνων καὶ ἀποκρισιαρίων· φωτίου, τοῦ
ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως κορίνθου·
παρόντος δὲ καὶ τοῦ εὐλαβεστάτου κλήρου τῆς βασι
λευούσης πόλεως, εὐφήμιος ὁ θεοσεβέστατος
διάκονος· καὶ πριμικήριος νοταρίων, εἶπε·
μαρινιανοῦ τοῦ θεοσεβεστάτου πρεσβυτέρου
καὶ ἡγουμένου μονῆς τῆς ἐπικαλουμένης δαλμά
του τοῦ τῆς θεοφιλοῦς μνήμης· καὶ ἐξάρχου τῶν
ἐπὶ τῆς βασιλευούσης ταύτης πόλεως διακειμένων
εὐαγῶν μοναστηρίων καὶ τῶν λοιπῶν εὐαγεστάτων
ἡγουμένων· τῶν κατὰ τὴν φιλόχριστον ταύτην

πόλιν καθεστώτων εὐαγῶν μοναστηρίων. καὶ προσέτι
τῶν ἐνδημούντων ταύτῃ τῇ βασιλίδι πόλει εὐαγῶν
μοναχῶν. τελούντων ὑπὸ θεούπολιν καὶ τὰ ἱεροσό-
λυμα. δεήσεις ἀνατεθεικότων τῷ εὐσεβεστάτῳ καὶ
θεοφυλάκτῳ ἡμῶν βασιλεῖ, θεσπίσαι κατηξίωσε
τὸ αὐτοῦ κράτος τούς τε παρόντας ὁσιωτάτους ἐπι-
σκόπους ἐκ τῆς ἰταλῶν χώρας. καὶ προσέτι τοὺς
θεοφιλεστάτους ἀρχιδιακόνους τῆς ἀποστολικῆς
καθέδρας. καὶ τοὺς εὐλαβεστάτους νοταρίους καὶ
ἐκδίκους τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου τῆς πρε-
σβυτέρας ῥώμης, ἐνταῦθα παραγεγονότας. οἳ
καὶ συνῆσαν ἀγαπητῷ τῷ τῆς ὁσίας μνήμης γενο-
μένῳ πάπᾳ τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυ-
τέρας ῥώμης. καὶ τοὺς ἄλλους γε μὴν ἅπαντας
τοὺς ἐνδημοῦντας θεοφιλεστάτους ἐπισκόπους,
παρὰ τὴν ὑμετέραν μακαριότητα συνελθεῖν. ἐφ᾽ ᾧ
δήλων ἡμῖν γινομένων τῶν ἐπιδεδομένων τῇ
αὐτοῦ γαληνότητι δεήσεων. καὶ ὧν ἂν προ-
αγγεῖλαι βουληθεῖεν οἱ ταύτας ἐπιδεδωκότες,
τὰ τοῖς ἁγίοις κανόσι δοκοῦντα. καὶ τῇ ἐκκλη-
σιαστικῇ τάξει προσήκοντα, πρὸς ἔργον ἀχθῆ-
ναι. ἐπεὶ τοίνυν παρᾶσι μὲν ὡς βασιλεῖ τῷ
μεγάλῳ παρέστη, πάντες οἱ τὸν ἱερὸν ὑμῶν



πληροῦντες σύλλογον. παραφυλάττουσι δὲ τὸ
εὐαγὲς ὑμῶν σέκρετον. οἵ τε εἰρημένοι εὐλαβέ-
στατοι μοναχοί. καὶ θεόδωρος ὁ περίβλεπτος ῥαι-
φερενδάριος. παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν πρὸς
τοῦτο ἀπεσταλμένος δεσπότου, ὑποβάλλομεν 562
πρὸς τὸ παριστάμενον: ὁ ἁγιώτατος ἀρχιεπί-
σκοπος, εἶπεν. εἰσίτω οὖν ὅ τε μνημονευθεὶς
περίβλεπτος ῥαιφερενδάριος θεόδωρος. καὶ
οἱ ἐξονομασθέντες εὐλαβέστατοι ἄνδρες. καὶ
εἰσῆλθον. θεόδωρός τε ὁ περίβλεπτος τριβοῦνος
νοτάριος καὶ ῥαιφερενδάριος, τοῦ θεοφυλά-
κτου ἡμῶν βασιλέως. καὶ μαρινιανὸς ὁ θεο-
σεβέστατος πρεσβύτερος. καὶ ἡγούμενος μονῆς
δαλματίου τοῦ τῆς ὁσίας μνήμης. καὶ ἔξαρχος.
καὶ σὺν αὐτοῖς, θεοσεβέστατοι πρεσβύτεροι καὶ
ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα
πόλιν εὐαγῶν μοναστηρίων. ἀγαπητός, τῆς
δίου. διόσκορος, τῆς ἁγίας εὐφημίας. ἀγα-
πητός, τῆς θαλασσίου. παῦλος, τῶν ῥωμαίων.
ἀντωνῖνος, τῆς εὐσεβίου. στέφανος, τῆς ὀλυμ-
πίου. ἀναστάσιος, τῶν ῥωμαίων. δημήτριος,
τῆς φωκᾶ. κυριακός, τῆς εὐφημίου. στέφανος,
τῶν προμότου. ζήνων, τῆς ἁγίας θεοτόκου ἐν τῇ

πηγῆ· ἀλεξάνδρου, τοῦ καλαμίου· σάβας, τῆς καὶ
ουμᾶ· ῥόδων, τῆς θεοδώρου· γεννάδιος, τῆς κυρια
κοῦ· θεόδωρος, τῆς μαρωνίου· σίλας, τῆς ἠλία· παῦ
λος, τῆς σαμουηλίου· ἰωάννης, τῆς θεοδώρου· κυ
ρίων, τῶν αἰγυπτίων· βασίλειος, τῆς κυρακωνᾶ·
ἰώ, τοῦ ἁγίου ἀποστόλου θωμᾶ ἐν τοῖς μοδέστου· μάρ
κος, τῆς θεοδώρου· φλαβιανὸς πρεσβύτερος καὶ
δευτερεύριος τῆς μοδέστου, τῶν λυκαόνων· μαρῖνος,
τῆς παύλου· θεόκτιστος, τῆς ἁγίας θκοῦ πλησίον τῶν
ἰώβ· θεόδωρος, τῆς τρύφωνος· κοσμᾶς, τοῦ ἁγίου
ἰωάννου ἐν τοῖς σουδίου· πέτρος, τῆς ἁγίας θκοῦ
καὶ τοῦ ἁγίου διομήδους ἐν ἱλήμ· ἐλευθέριος, τοῦ
ἁγίου κυριακοῦ· ἀλέξανδρος, τῆς ἀβραμίου· θεό
δωρος, τῆς ἰώβ· τρύφων, τῆς ἐλπιδίου· στέφανος,
τῆς κώνστα· βαβύλας, τῆς δαμινὴ ἐν τῷ ξύλῳ· ἰώ,
τῆς ἀναστασίου· ἀνθέμιος, τῆς νέωνος· ἰωάννης,
τοῦ ἁγίου μιχαὴλ τῶν χορισίου· ἰωάννης, τῆς μαρα
πλησίον τῆς ἀετίου κινστέρνης· φωκᾶς, τῆς ἰωνᾶ
πλησίον τοῦ δευτέρου· ζώσιμος, τῆς εὐτυχίου τῶν
λυκαόνων· τιμόθεος, τῆς ἀστερίου· στρατόνικος,
τῆς δομετίου· πολυχρόνιος, τοῦ αἰθερίου· ἀνδρέας,
τῶν ῥωμαίων πλησίον τῆς κινστέρνης· μαρτύριος,
τῆς πέτρου πλησίον τῶν ἀποστόλων· ἀνδρέας,



τῆς ἁγίας θκοῦ πλησίον τοῦ ἁγίου λουκᾶ· μάρκος,
τοῦ ἁγίου κηρύκου· ἰάκωβος, τῆς ἀβίβου· σύρος
ἀττικός, τῶν εὐκρατάδων· ἰωσήφ, τῆς ἁγίας
θκοῦ ἐν τῷ λιθοστρώτῳ· παῦλος, τοῦ ἁγίου ἀπο
στόλου πέτρου πλησίον τοῦ παλατίου· ἀναστάσιος
πρεσβύτερος καὶ δευτερεύριος, τοῦ ἁγίου φιλίππου 553.
ἐν τῷ βρεφοτροφείῳ· γεώργιος, τῆς κύρου· ἀσέ
βιος, τῆς συμεωνίου· ζωτικός, τοῦ ἁγίου ἀνδρέ δ
πλησίον τῆς σατορνίνου πόρτης: καὶ τῶν ὑπὸ θεοῦ
πολιν, παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς
τῆς μάρωνος· σαμηριανὸς πρεσβύτερος καὶ ἀρχι
μανδρίτης μονῆς ζωόρα τῶν θερμῶν, σύρος·
κασίσας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
λουκᾶ, σύρος· συμεώνης διάκονος καὶ ἀποκρι
σιάριος, τῆς ἰακώβου· ἰωάννης διάκονος καὶ
ἀποκρισιάριος, τῆς θεοδώρου· στέφανος πρεσβύ
τερος καὶ ἡγούμενος, μονῆς ἀξηρίου· ἰωάννης
πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ κυρί ου
θωμᾶ, σύρος· θωμᾶς πρεσβύτερος καὶ ἀρχι
μανδρίτης τῆς μονῆς ἀδρῶν, σύρος· φωτεινὸς
μοναχὸς καὶ ἀποκρισιάριος, μονῆς τοῦ ἁγίου
στεφάνου· θεόδωρος διάκονος καὶ ἀποκρισιά
ριος, τῆς ἐκκλησίας ἐριμδηληνῶν· σέργιος

πρεσβύτερος καὶ περιοδευτής. οἱ πάντες πράττον-
τες ὑπὲρ ἑαυτῶν, καὶ τῶν λοιπῶν. ἐπὶ μὴν καὶ
τῶν ὑπὸ τοὺς ἁγίους χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους.
δομετιανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ ἁγίου καὶ μακαρίου μαρτυρίου. ἡσύχιος πρε-
σβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου
θεοδοσίου. κασιανὸς πρεσβύτερος τῆς λαύρας
τοῦ μακαρίου σάββα. κυριακὸς πρεσβύτερος
καὶ ἡγούμενος τῶν πυργίων τοῦ ἰορδάνου. μέστα-
βος πρεσβύτερος λαύρας τοῦ μακαρίου φιρμίνου.
τερέντιος πρεσβύτερος τῆς νέας λαύρας. λεόντιος
μοναχὸς καὶ ἡγούμενος καὶ τοποτηρητὴς τῆς ἐρήμου
πάσης. τραϊανὸς πρεσβύτερος τῶν πυργίων
τοῦ ἰορδάνου. πολύευκτος διάκονος τῆς μονῆς
τοῦ ἀββᾶ θεοδοσίου. θεόδωρος διάκονος καὶ
μοναχὸς τῆς νέας λαύρας. κήρυκος διάκονος
καὶ μοναχὸς τῆς αὐτῆς νέας λαύρας. ἀναστάσιος
διάκονος μονῆς τοῦ μακαρίου μαρτυρίου. μάμας
μοναχὸς, τῆς αὐτῆς μονῆς. ἰωάννης μοναχὸς,
τῆς αὐτῆς μονῆς. ἰουλιανὸς μοναχὸς, μονῆς τοῦ
ἀββᾶ θεοδοσίου. οἱ πάντες πράττοντες ὑπὲρ
ἑαυτῶν, καὶ τῶν οἰκείων μοναστηρίων. καὶ πάν-
των τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως μοναχῶν.



ἰωάννης πρεσβύτερος τῆς πεδιάδος. καὶ ὑπὲρ πάντων
τῶν ἐκεῖσε μοναχῶν. θεωνᾶς πρεσβύτερος τοῦ
σινᾶ ὄρους. καὶ ἀποκρισιάριος τοῦ τε ὄρους καὶ
τῆς ἐκκλησίας φαρὰν καὶ λαύρας ῥαϊθοῦ. ὑπὲρ
πάντων τῶν ἐκεῖσε μοναχῶν. στρατήγιος διάκονος
καὶ μοναχὸς μονῆς τοῦ μακαρίου ἰωάννου. ὑπὲρ 564.
πάντων τῶν ὑπὸ σκυθόπολιν μοναχῶν. ὁ ἁγιώ-
τατος ἀρχιεπίσκοπος, εἶπεν. ἐν πρώτῃ τάξει
διδαχθῆναι βουλόμεθα καὶ παρὰ θεοδώρου τοῦ
περιβλέπτου, τὴν αἰτίαν δι᾽ ἣν πρὸς ἡμᾶς γέγονε.
θεόδωρος ὁ περίβλεπτος τριβοῦνος. νοτάριος
καὶ ῥεφερενδάριος τοῦ εὐσεβεστάτου ἡμῶν
δεσπότου, εἶπε. δεήσεις ἀνέτειναν οἱ παρόντες
εὐλαβέστατοι μοναχοὶ, τῷ θειοτάτῳ καὶ καλλι-
νίκῳ ἡμῶν βασιλεῖ. καὶ ταύτας θεσπίσαι κατη-
ξίωσε τὸ αὐτῶν κράτος, λαβόντα με διακομί-
σαι, πρὸς τὴν ὑμετέραν ἁγιωσύνην. ἀγαγεῖν
δὲ καὶ τοὺς εὐλαβεστάτους μοναχοὺς. ἐφ᾽ ᾧ διδα-
σκομένους ὑμᾶς τὰ παρ᾽ αὐτῶν, τὰ καλῶς ἔχον-
τα τῇ ὑμετέρᾳ μακαριότητι φαινόμενα, κανο-
νικῶς διατυπῶσαι. ταύτας τοίνυν ἔχων μετὰ
χεῖρας, ἐπιδίδωμι τῇ ὑμετέρᾳ μακαριότητι,
πρὸς ἀνάγνωσιν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος,

εἶπεν· ἡ παρὰ τῶν εὐλαβεστάτων μοναχῶν ἐπιδο-
θεῖσα δέησις τῷ εὐσεβεστάτῳ καὶ φιλοχρίστῳ ἡμῶν
δεσπότῃ ὑποδειχθεῖσα, δήλη γινέσθω· καὶ λαβὼν
ἀγάπιος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος,
ἀνέγνω: Βασιλεῖ θεοσεβεστάτῳ καὶ
εὐσεβεστάτῳ αὐτοκράτορι αὐγούστῳ ἰουστινιανῷ·
δέησις καὶ ἱκεσία παρὰ μαριανοῦ μοναχοῦ καὶ
ἀρχιμανδρίτου μονῆς τοῦ μακαρίου δαλματίου·
καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων τῆς βασι-
λίδος· καὶ τῶν ταύτης ἀρχιμανδριτῶν· καὶ
παρὰ τῶν ἐνδημούντων ἐν αὐτῇ ἱεροσολυμιτῶν
καὶ τοῦ ἁγίου ὄρους σινᾶ· καὶ τῆς δευτέρας συρίας
ἀρχιμανδριτῶν καὶ μοναχῶν:-
θεὸς ὁ μέγας καὶ θαυμαστός· δι' οὗ βασιλεῖς βασιλεύου-
σι· καὶ δυνάσται κρατοῦσι γῆς· προγινώσκων
τά τε ὄντα· τά τε ἐσόμενα· κατανοήσας τὴν θεο-
φιλῆ καρδίαν τῆς ὑμετέρας εὐσεβείας· οἷα
μόνος τὰ ἐν ταύταις ἐνθυμήματα ἐρευνᾶν δυνάμενος·
καὶ ἰδὼν τόν τε προλαβόντα ὑπὲρ τῆς ὀρθῆς πί-
στεως, ζῆλον· τήν τε μέλλουσαν γίνεσθαι σπουδὴν
ὑπὲρ τῆς νῦν κρατούσης ἐν ταῖς ἁγιωτάταις ἐκ-
κλησίαις καταστάσεως, ἀνήγαγέ σε ἐπὶ τὸν βασι-
λικὸν θρόνον. τὴν ὑμετέραν γαληνότητα· καὶ



τὴν ἐφ' ὑμῖν ἀπροσωπόληπτον αὐτοῦ κρίσιν
πᾶσιν ἐπιδεῖξαι βουλόμενος, προύθηκεν εἰς
φανερόν, τὴν ὑμετέραν ἀγαθὴν ἐργασίαν· ἣν
νύκτωρ καὶ μεθημέραν· ὑπέρ τε τῆς ἐκκλησιαστι-
κῆς εἰρήνης καὶ τιμῆς· καὶ σεβάσματος τῆς τε
ὀρθῆς πίστεως, καὶ τῶν ἁγίων ποιεῖσθε πατέρων·
ὑπέρ τε τῆς εἰς τὸν πλησίον ἀγάπης, ἐλεημοσύνης· 565
ἐλεημοσύναις γὰρ καὶ πίστεσιν, ἀποκαθαίρεσθαι
τὰς ἁμαρτίας, μεμαθήκατε· τοῦτο δὴ τὸ τῆς
ἀγαθῆς βουλῆς ἔργον διασκεδάσαι προθυμού-
μενοι· ἄνθιμος· καὶ σευῆρος· καὶ πέτρος· καὶ
ζωόρας· καὶ οἱ τὰ ὅμοια τούτοις φρονοῦντες,
κατὰ πάντα χρόνον καὶ τόπον θορύβοις καὶ
ταραχαῖς ταῖς ἐκκλησίαις ἐμποιοῦντες οὐκ
ἐπαύσαντο· τὴν μὲν γῆν καὶ τὰς πόλεις, αἵμασιν
ἁγίων καὶ ἑτέρων τινῶν, καταμολύναντες·
καὶ θορύβοις συνταράττοντες· τὸν δὲ ἀέρα καὶ
τὰ τῶν ἀκουόντων ὦτα, τοῖς κατὰ τῶν ἁγίων
ἀναθεματισμοῖς, μιάναντες· τὸ δὴ πέρας,
καὶ εἰς ταύτην τὴν βασιλίδα πόλιν εἰσφρήσαντες·
καὶ θυσιαστήρια ἐβδελυγμένα· καὶ βαπτιστή-
ρια ἀλλότρια ἐξ ἐναντίας τοῦ ἀληθινοῦ θυσια-
στηρίου· καὶ τῆς ἁγίας κολυμβήθρας, κατὰ

πολλοὺς καὶ περιφανεῖς τόπους τῆς δὲ τῆς πόλεως· καὶ
ἐν προαστείοις· καὶ ἰδιωτικοῖς πηξάμενοι οἴκοις,
τὰ ἀθέσμα πράττοντες ἐν αὐτοῖς οὐ διαλιμπάνουσι·
τοὺς ἐν τοῖς οἴκοις διαφθείροντες· καὶ αἰχμαλω-
τίζοντες κατὰ τὸν ἀπόστολον, τοὺς ἐν αὐτοῖς ἁπλου-
στέρους· πάντοτε μανθάνοντας· καὶ μηδέποτε εἰς
ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυναμένους· τὸ δὲ
δὴ μεῖζον καὶ ἐγκόλπιον ἡμῶν κακόν, ἄνθιμος ὁ
ποτὲ προχειρισθεὶς τραπεζοῦντος ἐπίσκοπος·
οὗτος γὰρ ἐκ πολλοῦ τὴν ἰδίαν ἐκκλησίαν καταλι-
πών· καὶ πεπλασμένον βίον ἐγκρατείας ἀναλαβών·
καὶ συνδιαιτηθεὶς τοῖς εἰρημένοις αἱρετικοῖς· καὶ
τὰ ἐκείνοις ἀρέσκοντα ποιῶν τε καὶ λέγων· οἷα δὲ
νοσῶν τὴν ὁμοίαν ἐκείνοις αἱρετικὴν πλάνην, ἐ-
δυνήθη διὰ τῆς ἐκείνων συνδρομῆς ὥστε τὸν τῆς δὲ τῆς
πόλεως θρόνον ὑφαρπάσαι παρὰ πάντας τοὺς
ἐκκλησιαστικοὺς θεσμοὺς καὶ κανόνας· ἐπειδὴ οὖν
πάντες οἱ τῆς καθολικῆς ἐκκλησίας τρόφιμοι·
περί τε τῆς τοῦ εἰρημένου ἀνθίμου ἀθέσμου τε καὶ
βιαίας προβολῆς· περί τε τῶν εἰρημένων ἀνοσίων
ἀνδρῶν· καὶ τῷ θεῷ καὶ ἡμῖν διοχλούμενοι,
οὐκ ἐπαύσαντο· ὑμεῖς δὲ εὐσεβέστατοι· καίπερ
δυνάμενοι τούτους ἐξωθῆσαι· ὅμως γοῦν κανονικὴν



κρίσιν παρὰ τοῦ ἀρχιερέως τῆς πρεσβυτέρας ῥώμης·
ἐπί τε αὐτῷ ἀνθίμῳ· καὶ τοῖς εἰρημένοις αἱρετικοῖς·
καλῶς ποιοῦντες, ἀκοῦσαι ἠβουλήθητε· πειθό-
μενοι τῷ εἰπόντι· ἐπερώτησον τὸν πατέρα σου καὶ
ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσι
σοι· καὶ τῷ ἀποστόλῳ λέγοντι· πείθεσθε τοῖς
ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυ-
πνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν· ὡς λόγον ἀπο-
δώσοντες, ἐξαπέστειλεν ὁ θεὸς τῇ δὲ τῇ πόλει ἀγα-
πητόν· τὸν ὄντως ἀγαπητὸν θεῷ, καὶ ἀνθρώποις·
ἀρχιερέα τῆς πρεσβυτέρας ῥώμης· ἐπὶ καθαιρέ- 566
σει ἀνθίμου τε καὶ τῶν εἰρημένων αἱρετικῶν·
ὥσπερ ποτὲ πέτρον τὸν μέγαν, τοῖς ῥωμαίοις· ἐπὶ
καθαιρέσει τῆς σίμωνος γοητείας· οὗτος οὖν ὁ
τίμιος ἀνήρ· τὰ κατὰ τῆς ἐκκλησίας ἀθέσμως
τολμώμενα μαθὼν διά τε πλείστων· καὶ ἡμετέρων
λιβέλλων· καὶ ταῦτα αὐτῇ ὄψει παραλαβὼν
καθάπαξ, οὐδὲ εἰς θέαν τὸν κατὰ τῶν κανόνων
μανέντα ἄνθιμον, παραδέξασθαι ἠβουλήθη· ἀλλὰ
τοῦτον δικαίως ἐξωθήσας τοῦ τῆς δὲ τῆς πόλεως
ἀρχιερατικοῦ θρόνου· συνεπαμυνούσης καὶ συνε-
πισχυούσης τῇ τε καθολικῇ πίστει καὶ τοῖς θείοις
κανόσι τῆς ὑμετέρας βασιλείας, προεχειρίσατο

τῇ δὲ τῇ ἐκκλησίᾳ, τὸν ἐπὶ ὀρθῇ πίστει καὶ σώφρονι
βίῳ καὶ σεμνῇ πολιτείᾳ καὶ τῇ ἐγχειρισθείσῃ αὐτῷ
τῶν ἀσθενούντων διακονίᾳ μαρτυρούμενον, Μηνᾶν
τὸν ἁγιώτατον· ἐπὶ τούτοις πάλιν, λιβέλλοις περί τε
Ἀνθίμου καὶ τῶν εἰρημένων αἱρετικῶν ἐπιδεδω-
κότες· οἵπερ ἐνδημοῦντες τῇ δὲ τῇ πόλει πάλαι ἦσαν οἱ
ἐπίσκοποι· καὶ τῆς ἀνατολικῆς διοικήσεως· καὶ
οἱ τῶν ἄλλων ἀρχιερέων ἀποκρισιάριοι· καὶ ἡμεῖς
τε αὐτοί, ἐξῃτήσαμεν· τὸν μὲν Ἄνθιμον, οἷα τρα-
πεζούντων χρηματίσαντα ἐπίσκοπον, ποιῆσαι
τὸν ἐγνωσμένον τῷ ἀποστολικῷ θρόνῳ λίβελλον·
καὶ ἐλευθερῶσαι ἑαυτόν, πάσης αἱρετικῆς πλάνης·
καὶ ἐξορμῆσαι ἐπὶ τὴν τραπεζουντίων ἐκκλησίαν·
ἢ τοῦτο μὴ ἀνεχόμενον, τελείως κατακριθῆναι·
καὶ πάσης ἀξίας ἱερατικῆς καὶ ἐνεργείας, γυμνω-
θῆναι· ὥσπερ ὁ ἐν ἁγίοις Κελεστῖνος ἐπὶ Νεστορίῳ
τῷ δυσσεβεῖ, διεπράξατο· ἑαυτὸν τῷ τοιούτῳ κρί-
ματι ὑποβαλόντα· καὶ τὴν μετὰ τῶν αἱρετικῶν
μερίδα, ἀσπασάμενον· καὶ τούτοις τῆς ἰδίας ἐκ-
κλησίας προτιμήσαντα· τοὺς δὲ εἰρημένους
αἱρετικούς, ἢ κανονικῶς προσελθεῖν τῇ ἐκκλη-
σίᾳ· ἢ παύσασθαι λοιπὸν τῶν κατ' αὐτῆς ἐπιβουλῶν
καὶ παρασυνάξεων καὶ παραβαπτισμάτων· καὶ



τῆς δὲ τῆς πόλεως καὶ πάσης ἑτέρας, ἐκδιωχθῆναι·
ὡς λυμεῶνας καὶ ἐπιβούλους· οὐ μόνον τῶν ἁγιω-
τάτων ἐκκλησιῶν, ἀλλὰ καὶ αὐτῆς τῆς καλῶς ὑφ'
ὑμῶν εὐνομουμένης πολιτείας· ἀξιώσαντες ταῦ-
τα αὐτὸν ἐνέγκαι εἰς γνῶσιν τῆς ὑμετέρας εὐσεβεί·
ἐφ' ᾧ δι' αὐτῆς εἰς πέρας τὰ παρ' ἡμῶν αἰτηθέντα,
ἀχθῆναι· ταύτας δὲ τὰς δικαίας ἡμῶν αἰτήσεις·
προφθάνων ὁ εἰρημένος ὁσιώτατος ἀνήρ· ἐπειδὴ
ἀφανῆ ἑαυτὸν κατέστησεν ὁ Ἄνθιμος, συγκατεδί-
κασε τοῖς εἰρημένοις αἱρετικοῖς· πάσης ἱερα-
τικῆς ἀξίας καὶ ἐνεργείας, γυμνώσας· καὶ
παντὸς ἐπισκοπικοῦ καὶ ὀρθοδόξου ὀνόματος·
ἄχρι μετανοίας τῶν αὐτῷ ἐπταισμένων ἐξαπο-
στείλας τοῖς ἡμετέροις λιβέλλοις τὴν ὑμετέραν
εὐσέβειαν· ἐφ' ᾧ τε τὰ ἐν αὐτοῖς δι' ὑμῶν εἰς πέρας
ἀχθῆναι· συμβὰν δὲ οὕτω παρὰ τοῦ τὰ καθ' ἡμᾶς
οἰκονομοῦντος θεοῦ, προσελήφθη οὗτος ὁ τίμιος
ἀνήρ· καὶ προσετέθη τοῖς πατράσιν αὐτοῦ· τὸν
ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος· καὶ τὸν δρό-
μον τελέσας· καὶ τὴν πίστιν τηρήσας· ἐνορκού-
μενοι οὖν τὴν ὑμετέραν εὐσέβειαν ἢ καὶ τολμηρόν
τι ποιοῦμεν, κατὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ τοῦ ὑπερασπίζοντος τῆς ὑμετέρας τιμίας

βασιλείας. καὶ πάντα ἐχθρὸν καὶ πολέμιον διὰ
τὴν ὑμετέραν ὀρθὴν πίστιν ὑμῖν ὑποτάσσοντος, μὴ
παριδεῖν τὴν δικαίαν κρίσιν, τοῦ εἰρημένου ἁγίου
ἀνδρός. ἀλλὰ ταύτην ἐπεξελθεῖν. τήν τε ἐκκλησίαν
τοῦ θεοῦ. καὶ πάντα τὸν κόσμον ἐλευθεροῦντας τῆς
λύμης ἀνθίμου τε καὶ τῶν εἰρημένων αἱρετικῶν.
καὶ γὰρ καὶ τοῦ ὁσίου ἀνδρὸς ἀγαπητοῦ τῷ δε τῷ βίῳ
ἐνδημοῦντος. μετὰ θεὸν εἰς τὴν ὑμετέραν εὐσέβειαν
ἀποβλέποντες, ταῦτα πέρας λαβεῖν παρ' ὑμῶν,
ἐξεδεχόμεθα. τὰ οὖν παρ' ἐκείνου δικαίως καὶ
κανονικῶς κεκριμένα πληροῦντες. καὶ διὰ γενι-
κῆς ὑμῶν νομοθεσίας ταῦτα κυροῦντες. καὶ
τοιαῦτα τοῦ λοιποῦ τολμᾶσθαι ἀπαγορεύοντες,
τὴν μὲν ἐκείνου μακαρίαν ψυχὴν ὡς θεράποντος
ἥτις ἐστὶν ὑπὲρ θεοῦ γενομένη. ὅσῳ καὶ τοῦ δεσμοῦ
τῆς γῆς. τοῦ σαρκίου τούτου λέλυται. καὶ παρρη-
σίαν ἐκ τῶν οἰκείων ἀγαθῶν ἐκτήσατο ἔργων,
πρεσβεύουσα ὑπὲρ τῆς εἰρήνης καὶ σωτηρίας, τῆς
ὑμετέρας εὐσεβείας. ὑμεῖς δὲ σὺν τῷ δαβὶδ
μετὰ παρρησίας πρὸς θεὸν κεκράξετε. οὐχὶ τοὺς
μισοῦντάς σε κύριε ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς
σου ἐξετηκόμην, μῖσος τέλειον ἐμίσουν αὐτούς,
εἰς ἐχθροὺς ἐγένοντό μοι. διὸ γὰρ εὐσεβέστατε,





μὴ διὰ τὴν πολλὴν ἀνοχὴν, τὸ τοῦ ἰσραηλιτικοῦ
λαοῦ πάθωμεν καὶ ἡμεῖς. ἐν μέσῳ ἔχοντες τοὺς ὑπὸ
πάσης ἀρχιερωσύνης ἀναθεματισθέντας. οἳ ἐπεὶ
δήπερ ἐν μέσῳ εἶχεν ἄχαρ καὶ ἰωνάθαν. τοὺς ἐν
γνώσει καὶ ἀγνωσίᾳ ἑαυτοὺς τῷ ἀναθέματι ὑπο-
βαλόντας, ἐκινδύνευσε πανστρατιᾷ ἀπολέσθαι.
καίπερ ἀγνοοῦν ὅτιπερ ἐν μέσῳ εἶχε τὸ ἀνάθεμα.
μὴ οὖν ὑπομείνητε χριστιανικώτατοι βασιλεῖς,
παριδεῖν τὸ τοιοῦτον κακόν. ἀλλὰ χρήσασθε τῷ
κατ' ἐπίγνωσιν ὑπὲρ θεοῦ καὶ τῶν αὐτοῦ, ζήλῳ συμ-
πληροῦντες τὸ γεγραμμένον. λικμήτωρ ἀσεβῶν,
βασιλεὺς σοφός. ἵνα μετὰ δαβὶδ καὶ ἰωσίου. καὶ
ἠλιού. καὶ φινεές. καὶ ἀγαπητοῦ. τῶν μάλιστα
ζηλωσάντων, ὑπὲρ θεοῦ. τὴν μερίδα ἐχόντων ὑμῶν.
ἐν μὲν τῷ παρόντι ὥσπερ κἀκείνοις, ὑποπόδιον
τῶν ποδῶν πάντας ὑμῖν τοὺς ἐχθροὺς, ὑποτάξῃ.
ἐν δὲ τῷ μέλλοντι, σὺν ἐκείνοις τὴν αἰώνιον βασι-
λείαν παράσχοι. ὁ ἐπαγγειλάμενος καὶ ἐν τούτῳ
ἑκατονταπλασίονα. καὶ ἐν τῷ μέλλοντι αἰῶνι
τοῖς ἀγαπῶσιν αὐτὸν, ζωὴν αἰώνιον ἀποδιδόναι:

ὑπογραφαί

Ἀδριανὸς ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρί-
της. καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων τῆς

βασιλίδος ταύτης πόλεως· σὺν ἅπασι τοῖς εὐλαβε-
στάτοις ἀρχιμανδρίταις· συνεμοὶ δεηθεῖσι· κατὰ συ-
ναίνεσιν πάντων ὑπογράψας, ἐπιδέδωκα:-
Ἡσύχιος ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ μοναχὸς μονῆς
τοῦ μακαρίου ἀββᾶ θεοδοσίου· τὸν τόπον ἐπέχων
σωφρονίου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου
τῆς αὐτῆς μονῆς· καὶ πρώτου πάσης τῆς ἐρήμου
ἱεροσολύμων· σὺν πᾶσι τοῖς συνεμοὶ ἀποσταλεῖσιν
ἀρχιμανδρίταις καὶ μοναχοῖς ἱεροσολυμίταις· ἐς
τήνδε τὴν βασιλίδα· πράττουσι καὶ ὑπὲρ πάντων
τῶν κατὰ τὴν αὐτὴν ἔρημον οἰκούντων· καὶ τὰς
τρεῖς παλαιστίνας· ἀρχιμανδριτῶν καὶ μοναχῶν·
συνεμοὶ δεηθεῖσιν· ὑπογράψας κατὰ συναίνεσιν
πάντων, ἐπιδέδωκα:-
Θεωνᾶς ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀποκρισιάριος
τοῦ ἁγίου ὄρους σινᾶ· καὶ τῆς ἐρήμου ῥαϊθοῦ· καὶ
τῆς κατὰ φαρὰν ἁγιωτάτης ἐκκλησίας· πράττων
ὑπὲρ πάντων τῶν προγεγραμμένων· δεηθεὶς
καὶ ὑπογράψας, ἐπιδέδωκα:-
Παῦλος ἐλέῳ θεοῦ διάκονος· καὶ ἀποκρισιάριος
τῆς ἁγίας μονῆς τοῦ μακαρίου μάρωνος· τῆς
ἐξαρχούσης τῶν εὐαγῶν μοναστηρίων δευτέρας
συρίας· ἀποσταλεὶς ἐνταῦθα παρὰ τοῦ κοινοῦ



τῶν θεοφιλεστάτων ἀρχιμανδριτῶν καὶ μοναχῶν
τῆς αὐτῆς χώρας, πρὸς τὴν ὑμετέραν εὐσέβειαν·
μετὰ δεήσεων αὐτῶν ἃς ἀνέπεμψαν κατὰ τῶν προ-
γεγραμμένων ἀκεφάλων· πράττων ὑπὲρ πάντων
τῶν εἰρημένων ἀρχιμανδριτῶν καὶ μοναχῶν·
δεηθεὶς καὶ ὑπογράψας, ἐπιδέδωκα:-
ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπεν· ἀπὸ τῶν μὲν
ὁ περίβλεπτος ῥεφερενδάριος θεόδωρος· πρά-
ξας ἔφη παραγέγονε· λεγέτωσαν δὲ οἱ παρόντες
εὐλαβέστατοι μοναχοί, εἴ τι πλέον διδάξαι βούλον-
ται· οἱ εὐλαβέστατοι μοναχοὶ διὰ μαριανοῦ 569
τοῦ θεοσεβεστάτου ἐξάρχου, ἐπιδέδωκαν διδα-
σκαλικόν· ὅπερ δεξάμενος χρυσόδωρος ὁ θεοσε-
βέστατος διάκονος νοτάριος καὶ σηκρητάριος,
ἀνέγνω· ἐπιφανίου τοῦ τῆς ὁσίας μνήμης
γενομένου ἀρχιεπισκόπου τῆς βασιλίδος ταύτης
πόλεως· ἐν εἰρήνῃ τὸν βίον τελέσαντος, ἄνθιμος
ὁ τραπεζούντων ποτὲ προχειρισθεὶς ἐπίσκοπος.
τὸ τῆς ἀρχιερωσύνης μέγεθος καὶ ἀξίωμα, οὐ
τὴν τυχοῦσαν ἐπιμέλειαν εἶναι λογισάμενος·
ἀλλ' οἷον ὄντινα πολιτικὴν ἀρχήν· καὶ διὰ τοῦτο
τῆς μείζονος ὀρεγόμενος· ἤδη ἐκ πολλοῦ καταλιπὼν
τὴν ἰδίαν ἐκκλησίαν· καὶ καταλαβὼν τὴν δε-

τὴν πόλιν· ὥσπερ τις αἰγυπτιακὴ πληγή· καὶ τὸν πεπλασμένον βίον τῆς ἐσχηματισμένης αὐτοῦ ἐγκρατείας πᾶσιν ἐπιδεικνύμενος· συνδιαιτηθῆναί τε τοῖς ἐμφωλεύουσιν ἐνταῦθα αἱρετικοῖς· οἷα νοσῶν τὴν ὁμοίαν ἐκείνοις αἱρετικὴν μανίαν· καὶ τὰ ἐκείνοις ἀρέσκοντα ποιῶν τε καὶ λέγων, ἠδυνήθη μοιχικῶς τὸν τῆς δὲ τῆς πόλεως ἀρχιερατικὸν ὑφαρπάσαι θρόνον παρὰ πάντας τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ κανόνας· ἐπεὶ οὖν περὶ ἀμφότερα ἁμαρτάνων ἐφάνη· περί τε τοὺς θείους κανόνας· περί τε τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, εἰκότως ἡμεῖς ἐπιστάμενοι τὴν τῶν θείων κανόνων ἐκδίκησιν, ἀρχιερεῦσι μόνον ἁρμόττειν· τὴν δὲ τῆς ὀρθῆς πίστεως, οὐ μόνον ἱερωμένοις· ἀλλὰ καὶ παντὶ ὀρθοδόξῳ χριστιανῷ, τὰ περὶ ταύτης μόνης τοῦτον ἐπηρωτῶμεν· οὐχ ἅπαξ· οὐ δίς, ἀλλὰ καὶ πολλάκις παρακαλοῦντες αὐτόν· καὶ τὰ κατὰ Εὐτυχέος δογματισθέντα παρὰ τῶν ἁγίων πατέρων· καὶ μάλιστα, παρὰ τῶν ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ τῇ ἐν Χαλκηδόνι, συναχθέντων· καὶ τοῦ μακαριωτάτου πάπα Λέοντος, ὁμολογῆσαι· φαμὲν δή, τὸ εἶναι ἐν δύο φύσεσι, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ἀδιαιρέτως· ἀτρέπτως·



ἀσυγχύτως· ἀχωρίστως· καὶ συγκαταδικάζειν καὶ ἀναθεματίζειν μετὰ Νεστορίου καὶ Εὐτυχέος, καὶ Διόσκορον τὸν γενόμενον Ἀλεξανδρείας ἐπίσκοπον· τὸν τῆς ἀσεβείας Εὐτυχέος προστάτην καὶ ἔκδικον· τὸν πάντων τῶν κακῶν γενόμενον αἴτιον· κατακριθέντα καὶ ἀναθεματισθέντα μετὰ Νεστορίου καὶ Εὐτυχέος, παρὰ τῆς εἰρημένης ἁγίας ἐν Χαλκηδόνι συνόδου· ὁ δέ, διὰ τὴν μελετηθεῖσαν κατὰ τῆς ἐκκλησίας βουλήν· μύων τοὺς τῆς οἰκείας διανοίας ὀφθαλμούς· καὶ ἕνα μόνον σκοπὸν ἔχων· ἅπαξ ὑπερβαίη τὴν θύραν τῆς μάνδρας τῶν Χριστοῦ τοῦ θεοῦ ἡμῶν προβάτων· τὴν 570
ποίμνην τοῖς λύκοις παραδοῦναι, παρεκρούσατο τάς τε ἡμετέρας ἐπερωτήσεις καὶ παρακλήσεις· καὶ ἐπελάθετο τῆς τε ἀψευδοῦς τοῦ κυρίου περὶ τῆς αὐτοῦ ἐκκλησίας, ἐπαγγελίας· ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ τοῦ γραφικοῦ ἐκείνου· ὅτι ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει κύριος· διὸ ὁ τὸ ἀκαταμάχητον τῇ αὐτοῦ ἐκκλησίᾳ ἀεὶ κατὰ τῶν αἱρέσεων δωρησάμενος κύριος, ἐξήγειρε τὸ πνεῦμα τοῦ τῆς πρεσβυτέρας Ῥώμης ἁγιωτάτου ἀρχιεπισκόπου Ἀγαπητοῦ· καὶ δὴ θεοῦ βουλήσει, καταλαμβάνει τήνδε τὴν πόλιν.

[illegible] αὐτοῦ [illegible] συγκοινωνίαν:

καὶ μαθόντα διά τε πλείστων καὶ ἡμετέρων λιβέλλων τὰ
ἀθέσμως τολμηθέντα κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας, οὐδὲ
εἰς θέαν καθάπαξ παραδέξασθαι ἐβουλήθη τὸν κατὰ
τῶν θείων κανόνων μανέντα Ἄνθιμον· οὐδὲ συμμετα-
σχεῖν αὐτῷ τῆς θείας κοινωνίας· ἀλλὰ τὴν ὕβριν ἐκ-
δικῶν τῶν τε ἱερῶν καὶ θείων κανόνων· καὶ τῆς
καθολικῆς πίστεως, τοῦτον μὲν ἐξώθησεν οὐ πορ-
μοιχικῶς καὶ ἀθέσμως ἐπέβη ἀρχιερατικοῦ θρόνου·
σως ἐπισχύοντος τῇ τε καθολικῇ πίστει· καὶ τῇ τῶν
θείων κανόνων αὐθεντίᾳ, τοῦ πιστοτάτου καὶ εὐσε-
βεστάτου ἡμῶν βασιλέως· τὴν δὲ ὑμετέραν μακα-
ριότητα ἐπί τε ὀρθῇ πίστει ἄνωθεν καὶ ἐξ ἀρχῆς
μαρτυρουμένην· καὶ ἐπὶ ὀρθῇ καὶ σεμνῇ πολιτείᾳ
καὶ σώφρονι βίῳ· καὶ τῇ ἐγχειρισθείσῃ αὐτῇ τῶν
ἀσθενούντων διακονίᾳ, προεχειρίσατο ἀρχι-
ερέα τῇ δὲ τῇ ἐκκλησίᾳ κατ' ἐκλογὴν καὶ ψῆφον,
τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων· καὶ τοῦ εὐλαβοῦς
τῆς δὲ τῆς ἁγιωτάτης ἐκκλησίας, κλήρου· καὶ
τῶν ἐν διαφόροις ἀξιώμασι καὶ ἀρχαῖς τελούντων
φιλοχρίστων ἀνδρῶν, καὶ ἡμῶν αὐτῶν· καὶ παν-
τὸς ὁμοῦ ὀρθοδόξων χριστιανῶν· ἐπεὶ ὅσων
ἐχρῆν τὸν ἐπὶ κακοδοξίᾳ φωραθέντα, μὴ δὲ
ἑτέρας ἄρχειν ἐκκλησίας· ἢ διδασκάλου ὄνομα



περιφέρειν· τὸν μὴ δόλως μαθεῖν ἐθελήσαντα τὰ
παρὰ τῶν ἁγίων πατρῶν, ἅπερ δέοι αὐτὸν τῷ λαῷ
παραδιδόναι, εἰκότως καὶ περὶ τούτου λιβέλλους
ἐπιδεδώκαμεν τῷ εἰρημένῳ ἁγιωτάτῳ ἀγαπητῷ·
παρακαλοῦντες· ἢ τὸν ἐγνωσμένον λίβελλον τῷ
ἀποστολικῷ θρόνῳ ἐπιδόντα τὸν εἰρημένον
Ἄνθιμον, ἐλευθερῶσαι ἑαυτὸν πάσης αἱρετικῆς
πλάνης· καὶ εἰ θ' οὕτως ἀδοκιμάσοι ὁ εἰρη-
μένος ὅσιος ἀνήρ, ἐπὶ τὴν τραπεζουντίων τοῦτον
ἐκπεμφθῆναι ἐκκλησίαν· ἢ τοῦτο μὴ ἀνεχόμενον,
τοῖς αἱρετικοῖς συγκατακριθῆναι· ἅπαξ τὴν
μετ' ἐκείνων διαγωγὴν, τῆς αὐτοῦ ἐκκλησίας
προτιμήσαντα· καὶ ἕτερον ἀντ' αὐτοῦ, τῇ εἰρη-
μένῃ ἐκκλησίᾳ, προχειρισθῆναι· ἐκ πολλοῦ
χηρευούσῃ ἐπισκόπου· ταύτας τὰς δικαίας
ἡμῶν αἰτήσεις προσδεξάμενος ὁ εἰρημένος
ὅσιος ἀνήρ, ἐν μὲν συστατικοῖς γράμμασι γενο-
μένοις πρὸς τοὺς ἁγιωτάτους ἀρχιερεῖς ὑπὲρ τῆς
ὑμετέρας ἁγιωσύνης· ἐπειδὴ ἀφανῆ ἑαυτὸν
κατέστησεν ὁ εἰρημένος Ἄνθιμος, ἐγύμνωσε
τοῦτον παντὸς ὀνόματος ἐπισκοπικοῦ τε καὶ
καθολικοῦ· τουτέστιν ὀρθοδόξου· ἄχρις ἂν τὰ
παραδεδομένα παρὰ τῶν ἁγίων πατρῶν, πάντα

προσομολογήσῃ. τοῖς δὲ ἡμετέροις λιβέλλοις, ἐξαπέ-
στειλε τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ. ἐφ' ὧ τὰ ἐν
αὐτοῖς αἰτηθέντα, πέρατι παραδοθῆναι, διὰ τῆς
αὐτοῦ εὐσεβείας. συμβαίνει δὲ οὕτω. παρὰ τοῦ σοφωτάτου
καθ' ἡμῶν οἰκονόμου τοῦ θεοῦ, προσελήφθη ὁ τίμιος οὗτος
ἀνήρ. καὶ προσετέθη τοῖς πατράσιν αὐτοῦ. πλήρης
ποιμενικῶν ἡμερῶν. ἀληθῶς κατὰ τῶν λύκων
προπολεμήσας τῆς τοῦ ἀρχιποίμενος χριστοῦ τοῦ θεοῦ
ἡμῶν ποίμνης. καὶ πιστὸς δοῦλος ἐν τῷ πιστευθέντι
ταλάντῳ ἀποδειχθείς. καὶ ἀπροσωπόληπτος
οἰκονόμος ἐν καιρῷ, ἑκάστῳ διδοὺς τὸ σιτομέτριον.
ἡμεῖς οὖν μετὰ τὴν μακαρίαν ἐκείνου κοίμησιν
σύντομον πέρας ἐπιτεθῆναι τοῖς κινουμένοις
σπεύδοντες, δεήσεις ἀνατεινάμενοι τῷ εὐσεβε-
στάτῳ ἡμῶν βασιλεῖ. καὶ τὰ ἐν τοῖς προτέροις
λιβέλλοις ἀνακεφαλαιωσάμενοι, παρακα-
λοῦμεν καὶ ἐνορκοῦμεν τὴν αὐτοῦ εὐσέβειαν. τὴν
ἐπὶ τούτοις δικαίαν κρίσιν, τοῦ ἐν ἁγίοις ἀγαπητοῦ,
πληρῶσαι. ἡ οὖν αὐτοῦ εὐσέβεια καὶ τοῦτο
χριστιανικῶς κινουμένη. καὶ πάντα τὰ εἰς ἐκ-
κλησιαστικὴν κατάστασιν τείνοντα. κανονικῶς
περαιοῦσθαι βουλομένη, τὰς τοιαύτας δεήσεις
κατέπεμψε τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. ἐφ' ὧ τὰ



ἀρέσκοντα τοῖς ἱεροῖς καὶ θείοις κανόσιν, ἐπὶ τῷ
εἰρημένῳ ἀνθίμῳ, ψηφίσασθαι:-
Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος. καὶ ἡ ἐνδημοῦσα
ἁγία σύνοδος, εἶπεν. οἱ παρόντες ὁσιώτατοι
ἐπίσκοποι τῆς πρεσβυτέρας ῥώμης. καὶ θεο-
φιλέστατοι διάκονοι τῆς ἀποστολικῆς καθέδρας.
ἐπακούσαντες τῶν ἀναγνωσθέντων. περί τε
τῶν ἐπιδεδόσθαι λεγομένων λιβέλλων. καὶ
τῶν συνοδικῶν ἐπιστολῶν τῶν παρὰ ἀγαπητοῦ
τοῦ τῆς ἁγίας μνήμης. ὅσα περὶ τούτων ἴσασι,
δῆλα ποιεῖν ἀξιούτωσαν:-
Καὶ ἀνέγνω φωνὴν μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώ-
στης. τῆς ἀποστολικῆς καθέδρας τῆς πρεσβυτέρας
ῥώμης. καὶ νοταρίων σεκουνδοκήριος, ἔχου-
σαν οὕτως:-
Οἱ σεπτότατοι ἐπίσκοποι. καὶ οἱ σεβασμιώτατοι
τῆς ἀποστολικῆς καθέδρας διάκονοι, εἶπον.
ὅτι παρὰ τοῦ ἐν ἁγίοις τῇ μνήμῃ πατρὸς ἡμῶν τοῦ
πάπα ἀγαπητοῦ. μοναχοὶ διαφόρων μοναστη-
ρίων ἐπιδοθεισῶν δεήσεων, γενέσθαι ᾔτησαν,
εἴ τι παρὰ τοῦ αὐτοῦ πατρὸς ἡμῶν. περὶ ἀνθίμου
τοῦ τραπεζουντίων ποτὲ γενομένου ἐπισκόπου.
ἐν ταῖς συνοδικαῖς ἐπιστολαῖς. τῆς ὑπὲρ τῆς χειρο-

τομίας τοῦ ἁγιωτάτου Μηνᾶ ἀρχιεπισκόπου ταύτης
τῆς βασιλευούσης πόλεως· ὥρισται, μετὰ χεῖρας ἔχοντες,
διδόαμεν πρὸς ὑμᾶς γνῶσιν:-

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἡ εὐαγὴς σύνοδος,
εἶπε· τὰ προϊσχόμενα ἀναγινωσκέσθω:-

Καὶ λαβὼν Ἀνάκιος ὁ θεοσεβέστατος νοτάριος καὶ
διάκονος· τὰς δεήσεις τάς τε ἐκ προσώπου τῶν μονα-
χῶν· καὶ τὰς ἐκ προσώπου τῶν θεοφιλεστάτων ἐπι-
σκόπων, ἀνέγνω:-

Τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ
ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας Ῥώμης· καὶ οἰκου-
μενικῷ πατριάρχῃ, Ἀγαπητῷ· παρὰ Μαριανοῦ
πρεσβυτέρου καὶ ἐξάρχου τῶν μοναστηρίων τῆς βασι-
λίδος· καὶ λοιπῶν ἀρχιμανδριτῶν τῆς αὐτῆς· καὶ
παρὰ τῶν ἐνδημούντων ἐν αὐτῇ Ἱεροσολυμιτῶν
καὶ ἀνατολικῶν ἀρχιμανδριτῶν, καὶ μοναχῶν:-

Τὰ συνέχοντα τὰς ἁπάσας τοῦ θεοῦ ἐκκλησίας κατα-
νοοῦντες· καὶ τοὺς ἐχθροὺς τοῦ θεοῦ ἐναβρυνομένους
κατὰ ταύτης ὁσημέραι ὁρῶντες, τὸν τοῦ θεολόγου
Γρηγορίου ἐπὶ τοῖς τοιούτοις ὀδυρμόν, ἀκαίρως
προοιμιαζόμεθα· πρὸς τὴν ὑμετέραν μακαριό-
τητα λέγοντες· ἔοικε τὴν παροῦσαν ζωὴν ἐπιλε-
λοιπέναι καθόλου, ἡ τοῦ θεοῦ κηδεμονία· ἢ ἐν τοῖς



πρὸ ἡμῶν χρόνοις τὰς ἐκκλησίας φυλάττουσα· καὶ
δὴ τοσοῦτον βεβάπτισται ἡ ἑκάστου ψυχὴ ὑπὸ συμ-
φορῶν, ὥστε τὰ μὲν ἴδια τῆς ζωῆς ἡμῶν ἀλγεινά,
μηδὲν κακοῖς εἶναι λογίζεσθαι· τοσαῦτα καίτοι
αὐτὰ ὄντα· πρὸς μόνα δὲ βλέπειν, τὰ κοινὰ τῶν
ἐκκλησιῶν πάθη· ὧν εἰ μὲν γένοιτό τις ἐν τῷ
παρόντι καιρῷ σπουδὴ πρὸς διόρθωσιν, πρὸς
παντελῆ ἀνελπιστίαν, κατὰ μικρὸν προελεύσεται·
πολυτρόπως μὲν οὖν ἤδη ταῦτα ἐκδιηγησάμενοι·
οὐχ ἧττον δὲ καὶ νῦν τὰς μεγάλας καὶ ἀνυποίστους
ἐπιβουλὰς τὰς κατὰ τῆς ἁπάσης τοῦ θεοῦ ἐκκλησίας,
ἐξαπλώσωμεν. οἱ ἀπὸ τῆς μανίας Διοσκόρου
καὶ Εὐτυχέος καταγόμενοι ἀποσχίσται καὶ ἀκέ-
φαλοι· οὐκ οἴδαμεν τίνος αὐτοὺς παρακινή-
σαντος εἰς ἀπόνοιαν· ὥσπερ τινὸς παρρησίας 573
ἐπειλημμένοι, τῇ νόσῳ ἑαυτῶν ἐμπομπεύουσι
παρασυνάγοντες· καὶ παραβαπτίσματα καινο-
τομοῦντες· ὡς ἐξ ἐπιτροπῆς τοῦτο ποιοῦντες·
καὶ ὄνομα ἐπισκόπων ἑαυτοῖς ἐπιφημίζοντες,
τοῖς καθ' ἡμᾶς τόποις, φανερῶς ἐπιπολάζειν·
ἀδεῶς πάντα τολμῶντες· οὐ κατ' ἐκκλησιῶν
μόνων· οὐ κατὰ τῶν τῆς ἐκκλησίας τροφίμων,
ἀλλ' ἤδη καὶ κατὰ τοῦ τοῦ εὐσεβεστάτου ἡμῶν

βασιλέως· καὶ τῆς ὑμετέρας τιμίας κεφαλῆς· ὡς
πεφανέρωται τῇ ὑμετέρᾳ μακαριότητι· τοσαύτη
τῶν εἰρημένων ἡ μανία· εὑρόντες γὰρ κατά τινα
οἶκον· σχῆμα ἔχοντα εὐκτηρίου· ἐν ᾧ μοναχοί
τινες οἰκοῦσι τῶν τῆς ἐκείνων ἀθεμίτου συμμο
ρίας· τὴν εἰκόνα τοῦ φιλοθέου ἡμῶν βασιλέως·
τῇ μανίᾳ τυφλώττοντες, τὸ τοῦ πατρὸς αὐτῶν τοῦ
διαβόλου πεπράχασιν· ὃς μὴ δυνάμενος τὸν κτίστην,
κατὰ τοῦ πλάσματος τὴν αὐτοῦ ἐπιδείκνυται
μανίαν· ὁρμήσας γὰρ εἷς ἐξ αὐτῶν· ὁ περίφημος
ἐν κακοῖς Ἰσαάκιος ὁ Πέρσης· ὁ μαγγαναρά τινι
χρώμενος· καὶ ἐξαπατῶν τὰς καρδίας τῶν ἐθελόν
των παρ' αὐτοῦ ἐξαπατᾶσθαι· καὶ ἐγκαιόμενος
εἰς τὰ Βηρίνης ἐπὶ πεντήκοντα ἡμέρας· ὡς οἱ
τούτου συμμύσται καὶ ταῦτα ποιεῖν αὐτὸν παρα
σκευάζοντες πρὸς διαφθορὰν καὶ ἐξαπάτην
τῶν ἁπλουστέρων διαφημίζουσιν, ἔτυπτε ῥάβ
δῳ κατὰ τῆς κεφαλῆς τὴν εἰκόνα· ἐπιφθεγγό
μενος τινὰ κατὰ τοῦ ὀρθοδόξου βασιλέως ἡμῶν·
μᾶλλον δὲ, κατὰ τοῦ θεοῦ· δι' ὃν καὶ τὴν εἰκόνα
ἔτυπτε· τὰ μήτε ἀκοῇ χωρητὰ, μήτε διανοίᾳ δεκτά·
καὶ κλασθείσης ἐν τῷ τύπτειν τῆς ῥάβδου· ὥσπερ
ἐξαπορούμενος τί ἕτερον πράξοι· εἰς τὴν τοῦ ἁγίου



τοῦ θεοῦ εἰκόνα ἐπελθὼν ἀπημότερον, διεσπάραξε
τὴν γεγραμμένην σινδόνα· καὶ τὸ παρ' αὐτοῦ παρ
ραγὲν ἕνεκα ταύτης, πυρὶ παραδέδωκε· τί τοίνυν
οὐκ ἂν ἔπραξε κατὰ τοῦ ὀρθοδόξου βασιλέως,
εἰ τοῦτον μετ' ἐξουσίας ἐν χερσὶν εἶχεν ὁ βίαιος
οὗτος καὶ ἀλόγιστος ἀνήρ· ὅπου γε τῆς ἐν σινδόνι
γραφῆς ἀψύχου, οὐκ ἐφείσατο· καὶ δὴ τὸ τοῦ
προφήτου πρὸς τὸν θεὸν καὶ πρὸς ὑμᾶς· καὶ πρὸς
τὸν εὐσεβέστατον βασιλέα ἡμῶν ἀπολογουμένοις,
ἁρμόδιον λέγειν· ἕως τίνος κεκραξόμεθα,
καὶ οὐ μὴ εἰσακούσητε· βοησόμεθα πρὸς ὑμᾶς
ἀδικούμενοι, καὶ οὐ σώσητε· εἰ γὰρ οἱ ταῦτα
φρονοῦντες καὶ ποιοῦντες· ὁμοτίμως συνδιάγειν
ἡμῖν κατὰ πάντα καιρὸν καὶ τρόπον ἐπιτρέ
πονται, σκοπεῖτε μακαριώτατοι ὅτι μὴ συμ 474
βαινόντων ἡμῶν οἷς ἐκεῖνοι φρονοῦσι· μὴ δὲ
ἀνασχομένης τῆς τούτων παροινίας· τὸ λαβεῖν
αὐτοὺς ἐξουσίαν συνάξεως· ἢ τὸ συγχωρηθῆναι
αὐτοὺς τοιαῦτα τολμᾶν, οὐδὲν ἕτερόν ἐστιν ἢ
ἀληθεστέρους τοῦ καθ' ἡμᾶς δόγματος νομισθῆναι·
καὶ ἀδικωτέρους καὶ βιαιοτέρους, ἀπεργασθῆ
ναι καθ' ἡμῶν· εἰ γὰρ ὡς εὐσεβοῦντες ἐκεῖνοι·
διδάσκειν ὡς φρονοῦσι· καὶ κηρύττειν ἐν

παρρησία τὸ καθ᾽ ἑαυτοὺς ἐπιτρέπονται δόγμα, δῆλον
ὅτι κατέγνωσται ὁ τῆς ἐκκλησίας λόγος· ὡς τῆς ἀλη-
θείας παρ᾽ αὐτοῖς οὔσης· δύο γὰρ ἐναντίους λόγους·
ἀληθεῖς εἶναι περὶ τοῦ αὐτοῦ πράγματος, φύσιν οὐκ
ἔχει· φησὶν ὁ μέγας Γρηγόριος· ἐπειδὴ οὖν ἐκ
ταύτης τῆς αἰτίας· εἰς πολλοὺς οἴκους τῶν ἐν ὑπερο-
χῇ ὄντων εἰσδύνοντες· ἄτοπα πάντα διαπράττον-
ται· αἰχμαλωτίζοντες γυναικάρια τινὰ σεσωρευ-
μένα ἁμαρτίαις· ἀγόμενα ἐπιθυμίαις ποικίλαις·
πάντοτε μανθάνοντα· καὶ μηδέποτε εἰς ἐπίγνωσιν
ἀληθείας ἐλθεῖν δυνάμενα· ἀλλὰ μὴν καὶ ἐν
αὐτοῖς τοῖς ἰδιωτικοῖς οἴκοις· καὶ ἐν προαστείοις·
θυσιαστήρια καὶ βαπτιστήρια ἀντεγείροντες τῷ
ἀληθινῷ θυσιαστηρίῳ καὶ τῇ ἁγίᾳ κολυμβήθρᾳ,
πάντων ὁμοῦ κατεφρόνησαν διὰ τὴν ἀπονεμομέ-
νην αὐτοῖς προστασίαν· παρὰ τῶν ἔν τε τῶν δεσποτικῶν
οἴκων· καὶ τῶν ἄλλων τρόπῳ τινὶ δυναστευόντων,
μὴ ὑπομείνητε μακαριώτατοι, μὴ χρήσασθαι τῇ
συνήθει παρρησίᾳ, εἰς διόρθωσιν τοῦ τοσούτου
κακοῦ· ἀλλ᾽ ὥσπερ τὸ πρότερον ἐπὶ ἀνθίμου
διαμένητε· καὶ τὸν διὰ δορᾶς προβάτου περι-
καλύψαντα τὸν λύκον ἐπιχειρήσαντα· καὶ ὑπο-
δῦναι τὴν θύραν τῶν ἐκκλησιαστικῶν θεσμῶν



καὶ κανόνων· καὶ ληστρικῶς ἐπιβάντα τῆς τῶν
προβάτων μάνδρας ἀπογυμνώσαντες τῆς δορᾶς
ἐφ᾽ ἑαυτὸν ἀπεδείξατε· πόρρω που τῆς μάνδρας
ἀπελάσαντες, οὕτω καὶ νῦν ἐπαγρυπνήσατε καὶ
διδάξατε τὸν ἀσεβέστατον ἡμῶν βασιλέα, ὅτι
οὐδὲν κέρδος αὐτῷ καθά φησιν ὁ θεῖος Γρηγόριος·
τῆς λοιπῆς αὐτοῦ περὶ τὰς ἐκκλησίας σπουδῆς,
εἰ τὸ τοιοῦτον κακὸν ἐπὶ καθαιρέσει τῆς ὑγιαινού-
σης πίστεως, διὰ τῆς παρρησίας αὐτῶν κατισχύσοι·
καὶ συγχωρηθεῖεν ἔτι οὗτοι πρὸς διαφθορὰν τῆς
ἐκκλησίας, ἐμφωλεύειν τοῖς δεσποτικοῖς καὶ
ἰδιωτικοῖς οἴκοις· καὶ τὰ ἀθέσμα ἐν τούτοις
πράττειν· καὶ ταῦτα μέν, πῶς φέρομεν· καὶ
παρ᾽ ὑπὸ τῶν δεινῶν κατακαμπτόμενοι· εἰ καὶ
ἀνυπόστατα, ἐλπίδας ἔχοντες εἰς τὸν φιλάγαθον θεόν.
τὸν καιρῷ εὐθέτῳ τὴν ὑμετέραν παρουσίαν ἡμῖν
ἀναδείξαντα· ὥσπερ πέτρον τὸν μέγαν· τὸν, 575
τῶν ἀποστόλων κορυφαῖον· τοῖς ἐν ῥώμῃ· ἐπὶ
καθαιρέσει τῆς σίμωνος γοητείας, ἐξαπέστειλε,
οὕτω καὶ ὑμᾶς ἐξαποστείλας ἐπὶ καθαιρέσει καὶ
ἀποδιώξει τῆς σευήρου· καὶ πέτρου· καὶ ζωόρα·
καὶ τῶν τὰ ὅμοια αὐτοῖς φρονούντων· καὶ παν-
τοίαις περιθαλπόντων τιμαῖς πρὸς ἀτιμίαν θεοῦ·

βλασφημίας τε καὶ ὑπερηφανίας, δύναμιν ὑμῖν
ἐπιχορηγήσῃ· συνεπισχύοντος ὑμῖν καὶ τοῦ
πιστοτάτου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως,
τούτους ἐξελάσαι πάσης ἔξω ἐκκλησίας καὶ
πόλεως· ὡς ἐπιβούλους καὶ λυμεῶνας· οὐ
μόνον τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἀλλὰ καὶ
τῆς πολιτείας αὐτῆς· πρὸς γὰρ τῇ αὐτοῦ κακίᾳ
ἐπιτήδεια ὄργανα εὑρὼν τούτους ὁ μισόκαλος,
πᾶσαν ἀνάστατον πεποίηκε τὴν οἰκουμένην·
καὶ αἵμασιν ἀθῴων τὴν γῆν κατεμόλυνε· καὶ
πόλεις σφαγαῖς καὶ θορύβοις συνετάραξεν· ἐξε
λάσατε οὖν τούτους· ἀ ἴσμεν εἰ τὸν εὐσεβέστατον
ἡμῶν βασιλέα· καὶ τοὺς τοῦ φιλοχρίστου
ἄρχοντας διδάξητε, ὡς κοινωνοῦσι τῷ ἀναθέ
ματι· ἐν μέσῳ ἔχοντες, τὸ ἀνάθεμα· ὥσπερ ὑπο
δείξειν ἡμῖν ἡ παλαιὰ γραφὴ ἐπὶ ἄχαρ καὶ ἰω
νάθαν· τοὺς ἐν γνώσει καὶ ἀγνωσίᾳ ὑποπεσόν
τας τῷ ἀναθέματι· καὶ ταῦτα τῶν κινδυνα
σάντων οὐκ ἀπολέσθαι τούτοις, ἀγνοοῦντων,
ὅτι ἐν μέσῳ αὐτῶν ἦν τὸ ἀνάθεμα· ὑπομνήσητε
τε τὸ φιλόθεον αὐτοῦ κράτος, προσαγαγεῖν
τῷ θεῷ, καὶ τοὺς παρ' αὐτῶν τῆς ὀρθῆς ἀπαχθέν
τας πίστεως· καὶ τοῦτο μὴ ἀνεχομένους τοὺς κατὰ





τῆς ἐκκλησίας ἐπιβούλους, ἀπώσασθαι· ὡς γὰρ
οὐ διέλαθε τὴν σὴν μακαριότητα· καίπερ τοῦ
εὐσεβεστάτου ἡμῶν βασιλέως κελεύσαντος· μήτε
παρασυνάξαι· μήτε παραβαπτίσαι, ζωόρας
ὅμως γοῦν τῆς τοιαύτης καταφρονήσας κελεύ
σεως, κατεβάπτισεν ἐν τῇ τοῦ πάσχα ἡμέρα, οὐκ
ὀλίγους· ἐν οἷς ἦσαν καὶ παῖδες τῶν τῷ δεσποτικῷ πρα
μενόντων οἴκῳ· ὡς κατέθετο ὁ ἀπάντων συνήθης θεοῦ
χάριτι ἐκβιασθῆναι· καὶ εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν
ἐπιδραμεῖν· καὶ ἐν ἄλλοις δὲ τόποις καὶ οἴκοις
τῶν ἐν ὑπεροχῇ ὄντων, τὰ αὐτὰ τούτοις πέπρακται·
ἀλλ' εἰ οὗτοι μόνοι τὴν τοῦ θεοῦ ἐκκλησίαν διετάρατ
τον καὶ παρελύπουν· ἐστήσαμεν ἂν μέχρι τούτων,
τὸν ὀδυρμόν· ἀλλ' ἐπειδὴ καὶ ὑπὸ τῶν δοκούντων
ἐντὸς ταύτης εἶναι· καὶ εἰς ἀρχιερέων ἀξίαν τελεῖν·
παντοίως ἐκπορθεῖται, καιρὸς τὸ τοῦ ψαλμοῦ 176.
περὶ αὐτῶν εἰπεῖν· εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπή
νεγκα ἄν· καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημό
νησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ· σὺ δὲ ἄνθρωπε ἰσόψυχε·
ἡγεμών μου καὶ γνωστέ μου· ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύ
κανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθη
μεν ἐν ὁμονοίᾳ· τοιοῦτοι πεφήνασιν ἔνιοι τῶν
ἐνδιατριβόντων κατὰ τὴν μεγάλην καὶ βασιλίδα

καὶ πρώτην τῶν πόλεων· ὄνομα μὲν ποιμένων ἐπιφερόμενοι· τὸ δὲ ὅλον, λύκοι ἅρπαγες· ὧν μάλιστα ὑπάρχει, Ἄνθιμος ὁ Τραπεζοῦντος· καὶ ἄλλοι, ἄλλων πόλεων· οὗτος γὰρ καὶ οἱ ὅμοιοι τούτῳ ἐξ αἱρετικῶν ἀκεφάλων ὄντες· πρὸς μικρὸν ὑποκρινάμενοι τὴν ὀρθοδοξίαν, ταῖς ἐκκλησίαις εἰσεφρησαν ὥσπερ τινὲς αἰγύπτιαι καὶ μάστιγες· οἵτινες μηδαμῶς ταῖς ἰδίαις ἐκκλησίαις ἐθέλοντες σχολάζειν· τοῦτο μόνον καλῶς φρονοῦντες· ἵνα μὴ ταῖς κατακριθείσαις αὐτοῖς λυμαίνωνται, τὸ ἕτερον κακῶς ἐφρόνησαν· ἐν πλήθει διάγειν τοσούτῳ ἐν τῇ βασιλευούσῃ· ἵνα πολλοὺς συγκατασπάσωσι τῷ ἰδίῳ βαράθρῳ. ἐξασκήσας γὰρ ὁ εἰρημένος Ἄνθιμος· οὐ τὴν εὐαγγελικὴν ἀλλὰ τὴν πεπλασμένην ζωήν· ὡς τὸ τέλος ἔδειξεν, ἀπολιπὼν τὴν ἐμπιστευθεῖσαν ἐκκλησίαν αὐτῷ τῶν Τραπεζουντίων, ἐπέβη τῆσδε τῆς πόλεως· πρὸ τούτων [illegible] ἐνιαυτῶν, ἐκπομπεύων πᾶσι τὴν ἐσχηματισμένην τῆς οἰκείας πολιτείας ἐγκράτειαν· καὶ πορισμὸν ἐκ τούτου ποιούμενος, τῆς ἀσεβείας. συναρπάσας οὖν διὰ ταύτης, ἠδυνήθη καὶ τοῖς βασιλείοις ἐκεῖθεν [illegible]· ὥστε ἐπαύξειν προσδοκῶν, τὴν ὕπουλον ὑπόκρισιν τῆς οἰκείας ζωῆς· καὶ συνδιαιτηθεὶς ἐπὶ πολλοῖς χρόνοις

[illegible]



[illegible]

καὶ τοῖς ἐμφωλεύουσιν ἐνταῦθα αἱρετικοῖς· καὶ τὰ ἐκείνοις κεχαρισμένα πράττων καὶ λέγων· διανοσῶν τὴν ὁμοίαν αὐτοῖς αἱρετικὴν μανίαν. ἐπειδὴ τοίνυν τῆς ὁσίας μνήμης Ἐπιφάνιον· ἐν ἐσχάτοις ἐθεώρησε διακείμενον, μηχανᾶται τι ὅπερ αὐτίκα κρυπτὸν αὐτοῦ διήλεγξε διεφθαρμένον σκοπόν· ὥσπερ γὰρ ἐπειγόμενος πᾶσι παραστῆσαι τῆς μακρᾶς ἐνταῦθα προσεδρείας αὐτοῦ τὸν δόλον· καὶ τὸ πολλοῖς ἀπορούμενον· καὶ τοῖς συνετωτέροις μόνον ὑποπτευόμενον, εἰς φανερὸν καὶ ἄκων ἐνεγκεῖν ἐξεβιάσθη· πρὸ πολλοῦ γὰρ προὔπινε τὴν μοιχικὴν ἁρπαγὴν τῆς βασιλίδος ἐκκλησίας. τοῦτο οὖν ἠδυνήθη διὰ τῆς ἐκείνων συνάρσεως, καὶ τὸν εὐαγῆ θρόνον, τῆσδε ἁρπάσαι τῆς πόλεως. καὶ εἰς τοσαύτην διοίκησιν προαχθῆναι. τῆς ἰδίας ἀμελήσας ἐκκλησίας· καὶ χήραν καὶ ἄνανδρον μέχρι τοῦ δεῦρο, ταύτην καταλιπών· ἐξοῦ 577.
καὶ τὸν δόλον τῆς πεπλασμένης πολιτείας, προφανῶς πᾶσιν ἀπέδειξε· μικρᾶς γὰρ ἀντέχεσθαι ἐκκλησίας ὑπερηφανήσας, ἀθεμίτως τοσοῦτον ἀσύγκριτον ἐκκλησίαν ἐκείνης, ἑαυτὸν ἐπέδωκεν· ὡς ἱκανὸν ὄντα, ταύτης ἐπιμελεῖσθαι. ἐπειδὴ οὖν δικαίως οὗτος ἐπιτετίμηται παρ' ὑμῶν, καὶ ἐκβέβληται τοῦ θρόνου τῆς βασιλίδος ταύτης πόλεως· τοῦ

πιστοτάτου ἡμῶν βασιλέως, τῶν δὲ καὶ ἀνθ' ὑμῶν ἐπὶ
τούτῳ ἀγανάκτησιν προσδεξαμένου. καὶ ὥσπερ πα-
μὴν ἀντὸς τοῖς τεθεῖσι κανόσι καὶ τῇ καθολικῇ
πίστει. οὐ βούλεσθε δὲ τὴν παντελῆ τούτου ἀπώλειαν.
ὡς τὸ ἐπιστρέψαι αὐτόν. μιμεῖσθε τὸν χριστὸν τὸν θεὸν ἡμῶν.
τὸν ἐλθόντα καλέσαι οὐ δικαίους. ἀλλὰ ἁμαρτωλοὺς
εἰς μετάνοιαν. καὶ πάντως πατρικοῖς σπλάγχνοις.
εἰ ἐπιγνοὺς τὴν οἰκείαν ἁμαρτίαν ἐπιστρέψει προσ-
δέχεσθε, ὁρκίζομεν τὴν ὑμετέραν μακαριότητα
εἰ καὶ τολμηρόν τι ποιοῦμεν, κατὰ τῆς ἁγίας καὶ
ὁμοουσίου τριάδος. καὶ τοῦ κορυφαίου τῶν ἀπο-
στόλων πέτρου. καὶ τῆς σωτηρίας καὶ νίκης τοῦ εὐσεβε-
στάτου ἡμῶν βασιλέως, μὴ περιιδεῖν τοὺς θείους
κανόνας, ὑπὸ τούτου καταπατουμένους. μηδὲ
περιφρονουμένην παρ' αὐτοῦ, τὴν παραδοθεῖσαν
αὐτῷ ἐκκλησίαν. ἀλλ' ἐξακολουθοῦσαν ἐν ἅπασι
τοῖς πρὸ αὐτῆς διαλάμψασιν ἐν τῷ ἀποστολικῷ
ὑμῶν θρόνῳ. πρᾶξαι ἐπ' αὐτῷ, ἐπὶ καινῷ ἤδη τα
τῆς τῶν κανόνων αὐθεντίας μειονουμένων. καὶ
προτιμήσαντι τὴν μετὰ τῶν εἰρημένων αἱρετικῶν
συνδιαγωγὴν τῆς ἰδίας ἐκκλησίας, ἅπερ ὁ ἐνα-
γίοις κελεστῖνος ἐπὶ τῷ νεστορίῳ τῷ δυσσεβεῖ, φαίνεται
διαπραξάμενος. προθεσμίαν αὐτῷ παρέχοντες.



ὥσπερ οὖν κἀκεῖνος νεστορίῳ. ἧς ἐντὸς εἰ μὴ ἀπαν-
τήσας τὸν εἰρημένον λίβελλον τῇ ἀποστολικῇ
ὑμῶν καθέδρᾳ ἐπιδῷ. τῇ τε ὑμετέρᾳ μακαριό-
τητι. καὶ τῷ ἁγιωτάτῳ τῆς βασιλίδος ἀρχιεπι-
σκόπῳ. καὶ τῆς αἱρετικῆς νόσου ἑαυτὸν ἀπαλλά-
ξῃ. καὶ ἐπὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ τραπε-
ζουντίων ἐκκλησίαν ἐξορμήσῃ, ὁρίσατε ἁγιώ-
τατοι ἀλλότριον μὲν αὐτὸν εἶναι. καὶ γυμνὸν
πάσης ἀρχιερατικῆς ἀξίας τε καὶ ἐνεργείας.
τῷ κρίματι ὑποβαλόντα ἑαυτόν, τῶν εἰρημένων
αἱρετικῶν. καὶ τὴν μερίδα τούτων ἀσπασάμενον.
ἕτερον δὲ ἀντὶ τούτου, τῇ ἐκκλησίᾳ τραπεζου-
ντίων προχειρισθῆναι. ἐπειδὴ δὲ οὐ μόνον οὗτος. 578
ἀλλὰ καὶ ἕτεροι ἐπίσκοποί τε καὶ κληρικοί.
καὶ ἀρχιμανδρῖται εὐαρίθμητοι. ἐπιβουλαῖς
χρώμενοι κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας. καὶ διὰ
τοῦτο καὶ μόνον τῇδε τῇ πόλει ἐνδιατρίβοντες,
ταραχαῖς περιέχειν καὶ ταύτῃ. καὶ τὰς ἁπανταχοῦ
ἐκκλησίας. κατ' οὐδένα τρόπον παραιτοῦνται,
δεόμεθα καὶ τοὺς τοιούτους ἅπαντας, παρ' ὑμᾶς
ἀχθῆναι. καὶ εὐθύνας ὑποσχεῖν, τὰς τοῖς κανόσι
πρεπούσας. δηλονότι καὶ ἐπὶ τοῦ προειρημένου
ἀνθίμου. καὶ τούτων δὲ πάντων, γρηγορούσης

τῆς δικαιοκρισίας τῶν παρ' ὑμῶν καλῶς φυλαττο-
μένων κανόνων· ἵνα μικρὸν ἀναψύξῃ ἡ τοῦ θεοῦ
ἐκκλησία τούτων ἐλευθερουμένη· καὶ μάθωσιν
οἱ τῇ ποιμαντικῇ καὶ τῷ κλήρῳ προσελθόντες τούτῳ
τῷ τρόπῳ βουλόμενοι, ὡς οὐκ εἰς τέλος παρασιω-
πήσεται κτλ'· ἀλλ' ἐπαγρυπνήσει ἐπὶ τοὺς τοιούτους
ποιμένας, ἐφ' οὓς κατὰ τὸν προφήτην καὶ παρω-
ξύνθη ὁ θυμὸς αὐτοῦ· οὗτοι γὰρ οὗτοι· ποιμαίνον-
τες οὐ τὰ πρόβατα· ἀλλ' ἑαυτούς· καὶ βδελλυσσό-
μενοι κρῖμα· καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες,
παρ' οὐδὲν ἔθεντο τὴν κατὰ τῆς ἐκκλησίας ἐπιβουλήν·
καὶ τὴν κατὰ τῶν ἁγίων πατέρων βλασφημίαν· ὧν
ἐκδικοῦντες μακαριώτατοι, προσδέξασθε τὴν
ἡμετέραν ἱκεσίαν· καὶ τὴν παρὰ τοῦ θεοῦ δοθεῖσαν
ὑμῖν ἐξουσίαν ἐπ' αὐτοὺς κινήσαντες, καθαρίσατε
τὴν τοῦ θεοῦ ἐκκλησίαν, τῶν λύκων· ἐπαφέντες
αὐτοῖς, ✕ οὐ τὴν ποιμαντικήν· ἀλλὰ τὴν παιδευ-
τικὴν ὑμῶν ῥάβδον· καὶ γὰρ μεταμορφοῦν ἐπαγγέλ-
λωνται, ἡ προλαβοῦσα αὐτῶν ζωὴ ἄλλοτε ἄλλως
τοῖς καιροῖς καὶ οὐ τῇ ἀληθείᾳ συμμεταβαλλο-
μένη, πιστεύεσθαι τὰ ποίμνια τούτοις οὐκ ἐπιτρέπει·
τοὺς δὲ τὴν τοῦ θεοῦ ἐκκλησίαν ἀρνησαμένους·
καὶ ἔξω ταύτης δικαίως καταστάντας αἱρετικούς·

✕ ὅτι δὲ [illegible] ὑπὸ αἱρετικῶν [illegible], συνεχώρατο τὰ ἐκκλησιαστικὰ [illegible] ... οὗτοι [illegible] ὁμολογήσαντες [illegible] αἵρεσιν ... τοῖς καιροῖς φωραθῆναι [illegible] οὐδὲ τῆς ποιμαντικῆς [illegible] κρίνονται ἄξιοι.



σεβῆρον· καὶ πέτρον· καὶ ζωόραν· καὶ τοὺς τὰ ὅμοια
τούτων φρονοῦντας· ἐφ' οἷς τὴν ὑμετέραν κρίσιν
ἐξεδέχετο ὁ εὐσεβέστατος βασιλεύς· ἤδη κατακε-
κριμένους· ὑπό τε τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου·
καὶ τῶν ἄλλων πατριαρχικῶν θρόνων· καὶ πάσης
ἀρχιερωσύνης· μηδὲ ἐχομένοις κανονικῶς τῆς
τοῦ θεοῦ προσελθεῖν ἐκκλησίᾳ· ἐξελάσαι παντὸς
οἴκου δημοσίου τε καὶ ἰδιωτικοῦ· συμψήφου
ὑμῖν γινομένου ὑπὲρ τῆς τῶν ἐκκλησιῶν εἰρήνης,
καὶ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως· ᾧ πᾶσα
σπουδὴ καὶ φροντὶς· νύκτωρ τε καὶ μεθ' ἡμέραν,
περὶ ταύτης πρὸ τῶν ἄλλων γίνεται· καὶ παῦσαι 479
πᾶσαν ταραχὴν· ἐπιγινομένην ταῖς ἐκκλησίαις
παρ' αὐτῶν· καὶ πᾶσαν αὐτῶν ἑτεροδιδασκα-
λίαν συνιδεῖν τε μακαριώτατοι· καὶ προτρέ-
ψαι τὸν φιλόθεον ἡμῶν δεσπότην· ἐφ' ὧν νομο-
θετῆσαι· ὥσπερ τὰ νεστορίου τοῦ δυσσεβοῦς, οὕτω
καὶ τὰ σεβήρου τοῦ φρενολήπτου ψυχοφθόρα
συγγράμματα· βλασφημοῦντα εἴς τε τὴν ἐν χαλκη-
δόνι ἁγίαν σύνοδον· καὶ τὸν τόμον τοῦ ἐν ἁγίοις
πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου λέοντος, πυρὶ
παραδοθῆναι· διὰ γὰρ τούτων, ἀμφίβολον
τὴν πίστιν ἐν ταῖς τῶν ἁπλουστέρων ψυχαῖς, ποιεῖν

ἐσπούδακε· καὶ μὴ κηρύζεσθαι παρὰ τοῖς ἔθνεσι, τὸ
μέγα καὶ σεπτὸν ὄνομα τοῦ χριστιανισμοῦ, πεποίηκε·
καὶ γὰρ τούτου χάριν· εἴ τε τῶν ῥωμαίων πρὸς ὑμᾶς
ἐξαπεστείλαμεν· καὶ τὴν ὑμετέραν δὲ ἁγιωτάτην ἀγ-
γελιαφόροντες παρουσίαν, ἐξεδεξάμεθα ταύτην· τοιαύτας
παρὰ τοῦ ἀσεβεστάτου ἡμῶν βασιλέως ὑποσχέσεις
δεξάμενοι· ὅπως τὰ παρ' ἡμῶν ἐπ' αὐτοῖς κανονικῶς
ψηφιζόμενα, σπουδάζει ἡ αὐτῶν ἀσέβεια, παντὶ
τρόπῳ, παρά τι παραδοῦναι· καὶ τῆς χρονίας τούτ-
της ταραχῆς, πάντα τὸν κόσμον λοιπὸν ἐλευθερῶσαι·
ταῖς δὲ προσηγορίαις τῶν εἰρημένων ἐπισκόπων·
κληρικῶν· καὶ μοναχῶν, καιρῷ δέοντι ἐξονο-
μάσομεν· παριστῶντες, πῶς οἱ μὲν τὰ νεστορίου·
οἱ δὲ, τὰ εὐτυχέος φρονοῦντες, ἐφ' ἑκάτερα δια-
σπᾶν τὴν ἐκκλησίαν ἐπιχειροῦσιν:–

Μαρινιανὸς ἐλέῳ θεοῦ πρεσβύτερος· καὶ ἀρχιμανδρί-
της· καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων· ἀξιώ-
σας, ὑπέγραψα:–

Ἀγαπητὸς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν
στουδίου· ἀξιώσας, ὑπέγραψα:–

Διόσκορος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς
ἁγίας μάρτυρος εὐφημίας:–

Ἀγάπιος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς



θαλασσίου· ἀξιώσας, ὑπέγραψα:–

Παῦλος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν ῥωμαί(ων)·
ἀξιώσας, ὑπέγραψα:–

Ἀντωνῖνος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ
ἁγίου εὐσεβίου· ἀξιώσας, ὑπέγραψα:–

Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς ὀλυμ-
πίου· ἀξιώσας, ὑπέγραψα:–

Ἀναστάσιος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν
ῥωμαίων· ἀξιώσας, ὑπ(έγραψα):–

Δημήτριος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν
φωκᾶ· ἀξιώσας, ὑπέγραψα:–

Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν
εὐφημίου· ἀξιώσας, ὑπέγραψα:–

ώϊλος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν
θεοδότου· ἀξιώσας, ὑπέγραψα:–

Ιυλιανος nisericordia dei· presbyter et hgume-
nonas teriotsignensi prosa tyserisi:–

Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν
προμότου· ἀξιώσας, ὑπέγραψα:–

ἥνων πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας
θκοῦ τῆς εὐτηπηγῆ:–

Ἀλέξανδρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς
τοῦ καλάμου· ἀξιώσας, ὑπέγραψα:–

Δαυίδ πρεσβύτερος καὶ ἡγούμενος τῶν Καιουμᾶ· ἀξιώσας ὑπέγραψα.

Ῥόδων πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου· ἀξιώσας ὑπέγραψα.

Γεννάδιος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κυριακοῦ· ἀξιώσας ὑπέγραψα.

Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαρωνίου ἐν Συκαῖς.

Σιλᾶς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἠλία· ἀξιώσας ὑπέγραψα.

Παῦλος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Σαμουηλίου· ἀξιώσας ὑπέγραψα.

Ἰωάννης πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου· ἀξιώσας ὑπέγραψα.

Κυρίων πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Αἰγυπτίων· ἀξιώσας ὑπέγραψα.

Βασίλειος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κυρακωνᾶ· ἀξιώσας ὑπέγραψα.

Ἰωάννης πρεσβύτερος τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου· ἀξιώσας ὑπέγραψα.

Μάρκος ἡγούμενος μονῆς Θεοδώρου ἀπὸ ἐκσκεπτόρων· ἀξιώσας ὑπέγραψα.

Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος Μοδέστου



τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου τῆς μονῆς ἐπὶ κλῆν τῶν Λυκαόνων· ἀξιώσας ὑπ.

Μαρῖνος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Παυλίνου· ἀξιώσας ὑπέγραψα.

Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Τρυφώνος· ἀξιώσας ὑπέγραψα.

Θεόκτιστος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας Θεοτόκου πλησίον τῶν Ἰωβ· ἀξιώσας ὑπ.

Θωμᾶς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Σουδίου· ἀξιώσας ὑπ. 551

Πέτρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἐπὶ κλῶν Ἱερουσαλήμ· ἀξιώσας ὑπέγραψα.

Ἐλευθέριος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Κυριακοῦ· ἀξιώσας ὑπέγραψα.

Ἀλέξανδρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀβραμίου· ἀξιώσας ὑπέγραψα.

Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰωβ· ἀξιώσας ὑπέγραψα.

Τρύφων πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἐλπιδίου· ἀξιώσας ὑπέγραψα.

Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κώνστα· ἀξιώσας ὑπέγραψα χειρὶ διακόνου Ἰακώβου κατ' ἐπιτροπὴν ἐμὴν γράψαντος· προ

τάξας τῇ ἰδίᾳ μου χειρὶ, τὸν τίμιον σταυρόν:-
Βαβύλας πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου
Δανιὴλ τοῦ ἐν τῷ στύλῳ· καὶ τοῦ ἁγίου Ἰωάννου ἐν τῷ
μικρῷ βάθει· καὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου
πλησίον τοῦ στύλου· ἀξιώσας, ὑπέγραψα:-
Ἰωάννης πρεσβύτερος· καὶ ἡγούμενος μονῆς Ἀνα-
στασίου· ἀξιώσας, ὑπέγραψα:-
Ἀνθέμιος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Νέωνος·
ἀξιώσας, ὑπέγραψα:-
Ἰωάννης πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπί-
κλην τῶν Χορισίου· ἀξιώσας, ὑπέγραψα:-
Ἰωάννης πρεσβύτερος· καὶ ἡγούμενος μονῆς Μάρα·
πλησίον τῆς ἁγίου Κινστόρνης, ὑπέγραψα:-
Φωκᾶς πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην
τῶν Ἰωνᾶ· πλησίον τοῦ Δευτέρου, ὑπέγραψα:-
Ζώσιμος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς Εὐτυ-
χίου τῶν Λυκαόνων· πλησίον τῶν Ματρώνης, ὑπέγραψα:-
Τιμόθεος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῶν
Ἀσβρίου· ἀξιώσας, ὑπέγραψα:-
Πολυχρόνιος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τοῦ Αἰθερίου· ἀξιώσας, ὑπέγραψα:-
Σευηριανὸς πρεσβύτερος· ὑπέγραψα ὑπὲρ αὐτοῦ
ἐπιτραπεὶς παρ' αὐτοῦ:-



Στρατόνικος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τοῦ ἁγίου Δομετίου· ἀξιώσας, ὑπέγραψα:-
Ἀνδρέας νισερικορδιαδει ρρεσβυτερ ετ αρκειμαν-
δριτα μοναστεριι ρομανορυμ· ναδισεν πινκις
τερ ναάσραρος κονσεντιενς συβσκριρσι:-
Μαρτύριος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς Πέτρου·
ἤτοι Οὐάλεντος καὶ Σαυδάτου· πλησίον τῶν ἁγίων
ἀποστόλων· ἀξιώσας, ὑπέγραψα:-
Ἀνδρέας πρεσβύτερος· καὶ ἡγούμενος μονῆς Δια- 582
κειμένης ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἁγίας Θεοτόκου· πλη-
σίον τοῦ ἁγίου Λουκᾶ· ἀξιώσας, ὑπέγραψα:-
Μάρκος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τοῦ
ἁγίου Κηρύκου· ἀξιώσας, ὑπέγραψα:-
Ἰάκωβος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
Ἀβίβου· σύρος· συριστὶ, ὑπέγραψα:-
Ἀττικὸς πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῶν
Ἀκραταΐδων· ἀξιώσας, ὑπέγραψα:-
Ἰωσὴφ πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῆς
ἁγίας Θεοτόκου ἐν τῷ λιθοστρώτῳ, ὑπέγραψα:-
Παῦλος πρεσβύτερος· καὶ ἡγούμενος· ἀξιώσας, ὑπέγραψα:-
Ἀναστάσιος πρεσβύτερος· καὶ δευτεράριος μονῆς
τοῦ ἁγίου Φιλίππου τοῦ ἐν τῷ βρεφοτροφείῳ,
ὑπέγραψα διὰ τὸ μὴ παρεῖναι τὸν ἡγούμενον:-

Γεώργιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Κύρου· ἀξιώσας, ὑπέγραψα:-
Κυριακὸς πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Σύρων· ἀξιώσας, ὑπέγραψα:-
Ζώσιμος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς τῶν
Μαξιμίνου· ἀξιώσας, ὑπέγραψα:-
Ἐλπίδιος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Βασιανοῦ· ἀξιώσας, ὑπέγραψα:-
Πολυχρόνιος πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
μονῆς τῶν Κρητικῶν· ἀξιώσας, ὑπέγραψα:-
Παῦλος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῆς ἁγίας
Ἑρμιόνης· ἀξιώσας, ὑπέγραψα:-
Εὐσέβιος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τῆς
ἐπίκλην Συμεών· ἀξιώσας, ὑπέγραψα:-
Ζωπικὸς πρεσβύτερος· καὶ ἡγούμενος μονῆς τοῦ
ἁγίου Ἀνδρέου· πλησίον τῆς Σατορνίνου πόρτης·
ἀξιώσας, ὑπέγραψα χειρὶ Μάρκου πρεσβυτέρου
καὶ δευτεραρίου· ἐμοῦ προστάξαντος, τὸν τίμιον σταυρόν:-
Θεόδωρος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς
τοῦ ἁγίου Λαυρεντίου· ὑπὲρ μου συνστάσης, ὑπέγραψα:-
Δομετιανὸς πρεσβύτερος· καὶ ἀρχιμανδρίτης
μονῆς Μαρτυρίου· καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρή-
μῳ τῆς ἁγίας πόλεως μοναχῶν, ὑπέγραψα:-



Ἡσύχιος πρεσβύτερος μονῆς τοῦ μακαρίου Θεοδοσίου·
καὶ ὑπὲρ πάντων:-
Κασιανὸς πρεσβύτερος λαύρας τοῦ μακαρίου Σάββα·
καὶ ὑπὲρ πάντων:-
Κυριακὸς πρεσβύτερος· καὶ ἡγούμενος τῶν πυρ-
γίων τοῦ Ἰορδάνου· καὶ ὑπὲρ πάντων:-
Νεστάβος πρεσβύτερος λαύρας τοῦ ὁσίου Φιρμίνου·
καὶ ὑπὲρ πάντων:-
Τερέντιος πρεσβύτερος νέας λαύρας· καὶ ὑπὲρ
πάντων τῶν ἐν τῇ ἐρήμῳ:-
Λεόντιος μοναχὸς· καὶ ἡγούμενος καὶ τοποτηρητὴς
πάσης τῆς ἐρήμου, ὑπέγραψα:-
Τραϊανὸς πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου·
καὶ ὑπὲρ πάντων:-
Πολύευκτος διάκονος μονῆς τοῦ ἀββᾶ Θεοδοσίου·
καὶ ὑπὲρ πάντων:-
Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς νέας λαύρας·
καὶ ὑπὲρ πάντων:-
Κήρυκος μοναχὸς καὶ διάκονος τῆς αὐτῆς νέας λαύ-
ρας· καὶ ὑπὲρ πάντων:-
Ἀναστάσιος διάκονος μονῆς τοῦ ἀββᾶ Μαρτυρίου·
καὶ ὑπὲρ πάντων:-
Μάμας μοναχὸς μονῆς τοῦ ἀββᾶ Μαρτυρίου· καὶ

ὑπὲρ πάντων:-

Ἰουλιανὸς μοναχὸς τοῦ ἀββᾶ Θεοδοσίου· καὶ ὑπ(ὲρ):-

Ἰωάννης πρεσβύτερος μονῆς Ἰδίας ἐν τῇ πεδιάδι·
καὶ ὑπ(ὲρ) τῶν ἐν αὐτῇ:-

Θεωνᾶς πρεσβύτερος τοῦ ἁγίου ὄρους Σινᾶ· καὶ
ἀποκρισιάριος τοῦ αὐτοῦ ὄρους· τῆς ἐκκλησίας Φαρὰν·
καὶ λαύρας Ῥαϊθοῦ· ὑπὲρ πάντων τῶν ἐκεῖσε
μοναχῶν, ἀξιώσας, ὑπέγραψα:-

Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακα-
ρίου Ἰωάννου· καὶ ὑπ(ὲρ) πάντων τῶν ἑκάστε μονα(χῶν):-

Ἰωάννης μοναχὸς μονῆς τοῦ ἀββᾶ Μαρτυρίου·
καὶ ὑπ(ὲρ) πάντων τῶν ἐκεῖσε μοναχῶν:-

Παῦλος μοναχὸς· καὶ ἀποκρισιάριος μονῆς τοῦ
μακαρίου Μάρωνος δευτέρας Συρίας:-

Σαηριανὸς πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
Ζωορὰ τῶν θερμῶν, Συρισὶ ὑπέγραψα:-

Κααπίσας πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τῶν Λουκᾶ, Συρισὶ ὑπέγραψα:-

Ἰωάννης πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
τοῦ κυροῦ Θωμᾶ, Συρισὶ ὑπέγραψα:-

Συμεώνης διάκονος καὶ ἀποκρισιάριος μονῆς
τοῦ μακαρίου Ἰακώβου· δευτέρας Συρίας· καὶ ὑπ(ὲρ):-

Ἰωάννης διάκονος· καὶ ἀποκρισιάριος μονῆς





τοῦ μακαρίου Θεοδώρου· δευτέρας Συρίας· καὶ
ὑπ(ὲρ) πάντων τῶν ἐν αὐτῇ μοναχῶν, ὑπέγραψα:-

Σέργιος πρεσβύτερος· περιοδευτὴς τῶν ἁγίων
ἐκκλησιῶν· ἐπὶ χωρίων τῆς πρώτης Συρῶν 584
ἐπαρχίας, ὑπέγραψα:-

Στέφανος πρεσβύτερος· καὶ ἡγούμενος μονῆς Ἀ-
ξερίου· καὶ ὑπ(ὲρ) πάντων:-

Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
Θωμᾶ, Συρισὶ ὑπέγραψα:-

Θωμᾶς πρεσβύτερος· καὶ ἀρχιμανδρίτης μονῆς
ἀνδρῶν, Συρισὶ ὑπέγραψα:-

Φαυστῖνος μοναχὸς· καὶ ἀποκρισιάριος μονῆς
τοῦ ἁγίου Στεφάνου· Μαουζα Ἰαμνίας· καὶ ὑπ(ὲρ)
πάντων τῶν ἑκάστε κληρικῶν καὶ μοναχῶν:-

Θεόδωρος διάκονος· καὶ ἀποκρισιάριος τῆς
ἁγίας ἐκκλησίας Ἱερεν δηλημνῶν· ἀξιώσας, ὑπ(έγραψα):-

Τῷ δεσπότῃ ἡμῶν· τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ
μακαριωτάτῳ πατρὶ πατέρων· τῷ ἀρχιεπισκόπῳ τῆς
Ῥωμαίων: καὶ πατριάρχῃ, Ἀγαπητῷ· παρὰ τῶν
ἐνδημούντων κατὰ ταύτην τὴν βασιλίδα πόλιν,
ἐπισκόπων· τῆς ἀνατολικῆς διοικήσεως·
καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν τόπους·
καὶ ἀποκρισιαρίων· καὶ λοιπῶν κληρικῶν:-

ἡ ῥωμαίων ἐκκλησία πρώτη. ...ξοῦ Χριστὸς ὁ θεὸς ἡμῶν· ὑπὲρ τῶν ἐποφειλομένων ἡμῖν
γερῶν· τῆς διὰ παντὸς ἐν παντὶ καιρῷ μετὰ παρρησίας
ἀληθοῦς· δημοσιευθείσης ὁμολογίας· τῇ ἀοράτῳ
καὶ φοβερᾷ αὐτοῦ δυνάμει ἐπὶ τὴν σεβασμίαν ὑμῶν
ἐπανεπαύσατο κεφαλήν· τὸν τοῦ κορυφαίου τῶν
ἀποστόλων θρόνον καταπιστάσας ὑμῖν μακαριώ-
τατοι· καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας ὑμῶν·
καὶ κατεύθυνε τὰ διαβήματα ὑμῶν· καὶ ἐνέ-
πλησε τὸ στόμα ὑμῶν ᾆσμα καινόν· ὕμνον τῷ θεῷ
ἡμῶν, πολλοὶ ἤλπισαν ἐπὶ κύριον· κατὰ τὸ ψαλμικὸν
λόγιον· καταυγασθέντες ὑπὸ τῆς πίστεως ὑμῶν
αἴγλης· διὸ ὡς λύχνος ἐκλάμπων ἐπὶ λυχνίας
ἀξίας, τὸ ζοφῶδες τῶν ἐν σκότει καθημένων
καὶ τυφλῶν, ἐφωτίσατε· τοὺς ὀφθαλμοὺς τῆς
διανοίας αὐτῶν διανοίξαντες· διὰ τοῦτο· τε-
θαρρηκότες· πιστεύοντες τῷ θεῷ ὡς λογίῳ τῷ
διαγορεύοντι· ἐν καιρῷ οὐ δειλιάσει καρδία
ἡ δρασσομένη ἐπὶ διανοίᾳ· συνέσεως πεῖραν τε
μαθόντες· ἀκριβῶς ὑμᾶς φύλακας εἶναι τῶν
ἀποστολικῶν θησαυρῶν· ἐξοστρακίσαντες ἀρτι
σύνθημον· τὸν πρόσχημα ἀσεβείας περιβαλλό-
μενον· τὴν δὲ δύναμιν αὐτῆς ἀρνησάμενον· τὸν
τὴν ἁρμοσθεῖσαν αὐτῶν νύμφην, ἐξωθῆσαι τῆ-



καὶ λαβεῖν ἑτέραν κατατολμήσαντα παρὰ τοὺς
θείους κανόνας· γινώσκοντες δὲ καὶ τὸν θεοφύ-
λακτον ἡμῶν βασιλέα· καθάπερ Χριστοῦ μαθητὴν
δεδοκιμασμένην ἔχοντα ψυχήν· κοινωνὸν ὑμῶν
τοῦ ἀγαθοῦ ἔργου τούτου γενόμενον· ἐσπουδα-
σαν τὰ μὲν ἐκ προοιμίων τῆς αὐτοῦ βασιλείας
μέχρι τοῦ νῦν, τὸ τῆς ἐκκλησίας ἅπαν σῶμα
φυλάξαι ὑγιὲς καὶ ἀκέραιον· καὶ πάσης νόσου
αἱρετικῆς, ἐλεύθερον· καὶ διὰ τοῦτο νομοθε-
τῆσαι τὰς ἁγίας καὶ ἱερὰς πατέρας συνόδους· ἐν
ταῖς ὅτε δή ποτε γινομέναις θείαις μυσταγωγίαις,
μεγαλοφώνως ὑπὸ τῶν ἱερῶν κηρύκων, ταύτας
κηρύττεσθαι· τειχιζούσας τῶν πιστῶν τὰς καρδίας·
καὶ τὰς τῶν αἱρετικῶν, συμπνιγούσας· ἐλπί-
ζοντα δὲ ἐκ τῆς κατὰ φύσιν αὐτοῦ φιλανθρωπίας·
καὶ οἰόμενον καθάπερ τοὺς ἐξ ἁπλότητος ὑπα-
χθέντας τῇ πλάνῃ· εἰκός ἐστιν ἐπιστρέψαι τῷ
τρόπῳ, οὕτω καὶ τοὺς ταύτης αἱρετάς· μᾶλλον
δὲ τοῦ διαβόλου μαθητάς· καὶ μηδέποτε τὴν
ἀλήθειαν ἐπιγνόντας· τὴν τῶν ἐξ ἀρχῆς αἱρετι-
κῶν ἐκβολὴν ὑπερτίθεσθαι, δεόμεθα μακαριώ-
τατοι· ἀναμνῆσαι τὸν μνημονικώτατον καὶ
θεοφύλακτον ἡμῶν βασιλέα, τῆς ἱερᾶς ἐκκλήσεως

φωνῆς λεγούσης· πᾶν βδέλυγμα, ἐμίσησε Κύριος·
ὁ πρῶτον καὶ μέσον καὶ ὕστατόν ἐστι· σευῆρος ὁ δ' ἀλι-
τήριος· ὁ κατὰ τοῦ θεοῦ λαλήσας ἀδικίαν ἀεί· ποτὲ
μὲν τὰ ἑλλήνων μυστήρια μυηθείς· καὶ ταῦτα τιμή-
σας· ποτὲ δὲ τὰ εὐτυχοῦς διδάξας καὶ μάνη· ἐν
ὅλῳ δὲ τῷ βίῳ τῇ τῶν χριστιανῶν πίστει φράσας
ἐρρῶσθαι· καὶ τὴν νεστορίου τοῦ ἀνθρωπολάτρου
προσηγορίαν· εἰς ἐφόδιον τῆς ἀπάτης τοῖς ἐξ
ἁπλότητος πρὸς ὑποδοχὴν ἔχουσιν ἕτοιμα τὰ
ὦτα, ἐπινοήσας· τὰ ἐκείνου εἰπὼν ἐνδοργῶς·
νεστοριανούς τε καλέσας τοὺς τῶν ὀρθῶν δογμάτων
καθηγητάς· οὐ φεισάμενος μήτε τοῦ βαπτίσαντος
αὐτόν, ἀναθεματίζων ἀδυνάμως, πάντα τὸν κό-
σμον ἐπλήρωσεν· ἀποφήνασθαι κατατολμήσας
αὐτούς· ἐν δυνάμοις κληρωσάμενος μετὰ τῶν
προσχρησάντων αὐτῷ τῆς χειροτονίας σκιὰν
κατὰ τῆς εἰρημένης οἰκουμενικῆς ἁγίας συνόδου
τῆς ἐν χαλκηδόνι· καὶ τῶν ἱερῶν καὶ θεοφιλῶν
585 ἐπιστολῶν τοῦ ἐν ἁγίοις τὴν μνήμην παπᾶ λέοντος·
τοῦ γενομένου φωστῆρος καὶ στύλου τῆς ἐκκλησί·
τοῦ στηρίξαντος τοὺς πιστοὺς τῇ βασιλικῇ τρίβῳ
πορεύεσθαι· ὡς λείπεσθαι τὸ τῇ θείᾳ γραφῇ ῥηθέν,
πληρωθῆναι ἐπ' αὐτῷ· καὶ ἐμπεσεῖται εἰς βόθρον



ὃν εἰργάσατο· ὅθεν ἀπορῶντες· πῶς ἂν αὐτὸν κυ-
ρίως καλέσοιμεν· ἑλλήνων ὁμόφρονα· εὐτυχοῦς
ὁμόδοξον· ὁμότροπον νεστορίου· ἐκ τῆς κυριω-
τέρας καὶ ἐπισήμου προσηγορίας ὀνομάσωμεν,
τὸ ἐντεῦθεν ὄργανον αὐτὸν σὺν ἀληθείᾳ τοῦ δια-
βόλου καλοῦντες· παρέντες τοίνυν τὸ πλῆθος τῶν
ὑπ' αὐτοῦ τολμηθέντων· τά τε κατὰ τὴν ἑῴαν αἵματα
τῶν ὁσίων ἀνδρῶν· ἐκχυθέντα ὑπὸ τοῦ κατὰ
φατρίαν ἐστασιασμένου ὑπ' αὐτοῦ ἰουδαϊκοῦ
συστάντος τότε στρατεύματος· καὶ ἄλλα δὲ τῶν
εἰρημένων πολὺ χαλεπώτερα διὰ τὸ μῆκος τοῦ
διηγήματος, ἱκετεύομεν ἁγιώτατοι· ἐπειδὴ
νῦν καιρὸς εὐπρόσδεκτος· νῦν ἡμέρα σωτηρίας,
βοῶμεν· βοήθησον ἡμῖν· καὶ ταῖς φονευθείσαις
ὁσίαις ψυχαῖς· αἳ παρεστάναι νομίσατε νοητῶς·
καὶ δεικνύναι ὑμῖν ὡς διὰ Χριστὸν παρεδόθησαν τῷ
θανάτῳ, ὑπὸ τοῦ πολυκεφάλου θηρός· ἵνα μὴ
καὶ αὖθις ἐκ τῆς φανερωθείσης πᾶσιν αὐτοῦ
μαγγανείας καὶ μανιχαϊκῆς πλάνης· ἢ θαρρῶν
ὁ δείλαιος οὗτος, κατετόλμησεν εἰς τὰς καθαρὰς
βασιλείους εἰσδῦναι αὐλάς· μὴ δυνάμενος τόπον
ὀφείλων ἔχειν, ἢ τὸ βάραθρον εἰς κατάλυμα
ἀνατρέπεται· καὶ ἐπὶ τοῦ παρόντος τὴν μετὰ τοσοῦτον

κόπων καὶ ἱδρώτων· ὑμῶν τε καὶ τοῦ φιλοχρίστου
ἡμῶν βασιλέως· φιλοτιμηθεὶς τὴν εἰρήνην, ταῖς
ἁπανταχοῦ τῶν πιστῶν ἐκκλησίαις, ἀπελαθῆναι
σπουδάσατε πόρρω που· καὶ τῆς ἐσχατιᾶς αὐτῆς
φεισάμενοι τῶν τὰς συνουσίας πρὸς αὐτὸν ποιου
μένων ψυχῶν· καὶ κοινωνούσων διὰ τῆς ἐντεύξεως
τοῖς κατ' αὐτοῦ ἀναθέμασι, τὸν ἀκάθαρτον· τὸν
ἀποκήρυκτον· τὸν ἀναθέμασιν ἐγγράπτοις καὶ
διηνεκέσιν· ὑπὸ τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου·
καὶ τοσούτων ἀρχιερέων· καὶ ἐν οὐρανῷ παρὰ τῶν
ἐκλεκτῶν αὐτοῦ ἀγγέλων, κατάκριτον ἐνδεδειγ
μένον· κατὰ τὴν εὐαγγελικὴν ἐκείνην καὶ θεσπεσίαν
φωνὴν μετ' ἐκδικίου τοῦ βδελυροῦ· ἄλλου τοῦ
Πέτρου· τοῦ καὶ τὴν ἑαυτοῦ προσηγορίαν μέχρι
τοῦ νῦν, οὐκ ἐρυθριάσαντος ψεύσασθαι τοῦ
αὐτοῦ μαθητοῦ· καὶ τὰ τῆς ἀποστασίας κακίω,
ῥήματα φθεγξαμένου· καὶ ζωόραδε, τοῦ παντελῶς
ἀμυήτου τῆς θείας γραφῆς· καὶ πάσης ἱερατικῆς
λειτουργίας καὶ τάξεως· μετὰ δὲ παρρησίας δὲ
ἴσμεν τῆς ὅθεν χορηγουμένης αὐτῷ καταπατοῦντος
τὴν κρατοῦσαν ἐκκλησιαστικὴν ἀκοσμίαν τε
καὶ κατάστασιν· ἐκ τῶν καθημέραν παρασυνά
ξεων καὶ παραβαπτισμάτων ὑπ' αὐτοῦ τολμω

180

μένων· οὐ τὴν συναγωγήν, γύναια κώμοις καὶ 55β
μέθαις· ἀσελγείαις τε καὶ ἀκολασίαις ἐκδεδο
μένα, πληροῖ· πείσαντες τὸν ἀσεβέστατον
ἡμῶν βασιλέα· θήρας αἱμοβόροις, ἅρμασι μὴ
συγχωρεῖν συναυλίζεσθαι· ἠκριβωμένον σαφῶς
τὸ τῷ θείῳ ἀποστόλῳ ῥηθέν· ὡς οὐδεμία μετοχὴ
δικαιοσύνῃ καὶ ἀνομίᾳ· ἢ κοινωνία φωτὶ πρὸς
σκότος· ἢ μερὶς πιστῷ μετὰ ἀπίστου· οἷα δὲ οἷα
δὲ δραματουργῆται νῦν καὶ παρὰ Ἰσαακίου
τοῦ πρὸ σοῦ· βουλομένους ἡμᾶς ἀδακρυτὶ λέξαι,
οὐκ ἔστιν· οὐδὲ δέον ἀπηλλάχθαι· διηγουμένους
ἃ ταῖς ἀνόμοις αὐτοῦ χερσίν, ἐκεῖνος οὐκ ἔφριξε
δρᾶν· ἐν πορνικῷ καταγωγίῳ τινί· τιμίας εἰκόνος
ἀνακειμένης· τοῦ τῶν ἀσεβῶν ἐπὶ τοῦ παρόντος
σκήπτρων κρατοῦντος· ὡς παραμιλλώμενος
ὁ προλεχθεὶς δείλαιος καὶ ἀλάστωρ ἀνήρ· εἰ μὴ
καὶ κατὰ τὸν ῥηθησόμενον νεώτερον τρόπον
βλασφημήσοι τὸ θεῖον· ἀνατείνας τὴν βακτη
ρίαν· ἐν ᾗ τὸ ἄτιμον αὐτοῦ σχηματίζεται γῆρας
στηρίζειν· πληρῶν τὴν πεπλασμένην ἐπίθεσιν·
ἔμπροσθεν τῶν ὑπ' αὐτοῦ καταγινομένων ἀπά
γεσθαι, ἔτυπτεν ἀφειδῶς, τὸ τοῦ φιλοχρίστου
βασιλέως ὁμοίωμα· αἱρετικὸν ἀποκαλῶν,

τὸν ἠγαπημένον οὕτω θεῷ· καὶ φρουρούμενον ὑπ' αὐτοῦ, τὸ
τῆς ἀληθείας φυλάττοντα κήρυγμα· καὶ οὐκ ἔπαυσε
τὸν θυμὸν μέχρι τοσούτου. ἕως οὗ καὶ τὴν φέρουσαν
τὸ περιφανὲς ἐκτύπωμα σινδόνα διέρρηξε· καὶ μέρος
κατέαξεν ἐξ αὐτοῦ· ὃ καὶ πυρὶ παραδέδωκε· τὸ γὰρ
ὅλον, ἀφανίζειν οὐκ ἴσχυσε· φυλαχθὲν ὑπὸ τῆς
προνοίας τοῦ κρείττονος· εἰς ἔλεγχον ἀκριβῆ τοῦ
φονικοῦ τοῦδε τολμήματος· καὶ τοῦ μείζονος παντὸς
κατηγορήματος, μάρτυρες ἑστήκασιν ἄνδρες ὡς
ἔγνωτε ἁγιώτατοι· σαφῆ τὴν ἀλήθειαν, συνήγορον
ἔχοντες· ἐπειδὴ τοίνυν ἐκ παραδόξου· οἱ προρρη-
θέντες αἱρεσιάρχαι· ἀνταλλαξάμενοι τῶν ὀφθαλμῶν
αὐτῶν ἐκβολὴν γενέσθαι σὺν ἀτιμίᾳ· πρὸ χρόνου
πολλοῦ τὸ ἐν τοῖς βασιλικοῖς ταμείοις οἰκεῖν παρρη-
σίαν δεδώκασι· τοῖς καὶ κατὰ ἄλλον τρόπον, εὐθυδρομου-
μένοις· ἐγκαταλεγέντων αὐτοῖς πολλῶν ὀνόματι
ὀρθοδοξίας ἐπιπλάστου· καὶ κινδυνευούσης τῆς
πανταχοῦ γῆς· μηκέτι ἐν ὁμονοίᾳ πορεύεσθαι ἐν τῷ
οἴκῳ τοῦ θεοῦ, ἐξάρατε ταχέως ἀφ' ἡμῶν τοὺς πονηρούς·
προσενέγκατε συνήθως ταύτην τὴν θυσίαν, τῷ θεῷ
καὶ σωτῆρι ὑπὲρ τῆς φυλαχθησομένης ὑμῖν ἀγαθῆς
ἀπολογίας ἐν τῇ μελλούσῃ κρίσει τῇ φοβερᾷ· ἐλα-
θέραν παντὸς δέους καὶ τρικυμίας αἱρετικῆς, τῶν



κρατοῦσαν ἀκοσμίαν ἐκκλησιαστικὴν φυλάξατε 583
κατάστασιν βεβαιοῦντες· καὶ αὖθις τὰς κατ' αὐτῶν
πρώην ἐξενεχθείσας ἐκ τοῦ ἀποστολικοῦ ὑμῶν
θρόνου ἐνθέσμους καὶ δικαίας καὶ εὐσεβεῖς ἀποφά-
σεις· εἰσηγούμενοι τῷ ἐννομωτάτῳ βασιλεῖ ἡμῶν·
καὶ τὰ ἐκείνων ἀσεβῆ συγγράμματα νομοθετῆσαι
πυρὶ παραδίδοσθαι· καὶ τοὺς ἔχοντας, δημεύσει
καθυποβάλλεσθαι· κατὰ μίμησιν τῶν τὰ μανιχαϊκὰ
κεκτῆσθαι ζηλούντων· καὶ τὰ νεστορίου τοῦ δυσσεβοῦς·
καὶ τὰ ἀτυχοῦς τοῦ παράφρονος· καὶ διοσκόρου
τοῦ αὐτῶν πρὸς καὶ ὑπερασπιστοῦ· οὕτω γὰρ τοῖς ἐφ'
αὐτοῖς ματαίως ἐλπίζουσι, πᾶσα προσδοκία κατορ-
γηθήσεται· ἀξιοῦμεν δὲ ἁγιώτατοι· καὶ τὴν κατὰ
τὸν θεσμὸν θείᾳ καὶ ἱερᾷ ὑμῶν ψήφῳ, πέρας ἐπι-
θεῖναι τέλειον, καὶ τοῖς πρὶν κοινοῖς ὑμῶν κανόσιν,
ἁρμόδιον· ἵνα παντελῶς ἐκ τοῦ μέσου ἀνέλητε σκάν-
δαλον, καὶ ἀπὸ τῶν μικρῶν τῶν πιστευόντων εἰς
τὸν κύριον· καὶ τὴν εὐκταίαν φωνὴν ἀκούσησθε παρὰ
πάντων ἡμῶν· φυλάξει κύριος τὸν θρόνον ὑμῶν·
καὶ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως, ὡς τὰς
ἡμέρας τοῦ οὐρανοῦ· τὰ τοῦ πέτρου μιμήματα σώ-
ζοντας· καὶ σώσαντας ἡμᾶς ἐκ τῶν θλιβόντων·
καὶ τοὺς μισοῦντας ἡμᾶς, καταισχύναντας:–

ὑπογραφαί

Θαλάσιος ἐπίσκοπος τῆς Βηρυτίων πόλεως·
ἀξιώσας, ὑπέγραψα:-
Μέγας ἐπίσκοπος τῆς Βερροιαίων πόλεως· ἀξιώ-
σας, ὑπέγραψα:-
Ἰω ἐπίσκοπος Γαβάλων, ὑπέγραψα συριστί:-
Λιθέριος ἐπίσκοπος Μαριάμμης· ἀξιώσας, ὑπ:-
Χριστοφόρος ἐπίσκοπος Πορφυρεῶνος· ἀξιώσας,
ὑπέγραψα:-
Ἀρχέλαος ἐπίσκοπος Κωρύκου· ἀξιώσας, ὑπ:-
Ααυΐθος ἐπίσκοπος Κιρκισίου, ὑπέγραψα συριστί:-
Ἀλέξανδρος ἐπίσκοπος τῆς ποτὲ Βδρκούσων· νῦν
δὲ Ἰουστινιανοῦ πόλεως· ἀξιώσας, ὑπέγραψα:-
Ἀναστάσιος ἐπίσκοπος Ἰωτάβης· ἀξιώσας, ὑπ:-
Δόμνος ἐπίσκοπος Μαξιμιανουπόλεως· ἀξιώσ,
ὑπέγραψα:-
Ἰωάννης ἐπίσκοπος Ζωόρων· ἀξιώσας, ὑπ:-
Παγρὸς πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς κατὰ
Θεούπολιν ἐκκλησίας, ὑπέγραψα:-
Ἡρακλεῖος διάκονος καὶ ἀποκρισιάριος τῆς αὐτῆς
ἐκκλησίας, ὑπέγραψα:-
Ἀθανάσιος διάκονος καὶ ἀποκρισιάριος τῆς
κατὰ Τύρον ἐκκλησίας, ὑπέγραψα:-



Παῦλος ἀναγνώστης καὶ ἀποκρισιάριος τῆς ἐν Τόρῳ
ἐκκλησίας, ὑπέγραψα:-
Θωμᾶς διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ
Ἰουστινιανοῦπολιν ἐκκλησίας, ὑπέγραψα:-
Ἀγάπιος διάκονος καὶ ἀποκρισιάριος τῆς ἁγίας
ἐκκλησίας Ἱεραπόλεως· μητροπόλεως Ἀφρα-
τησίας· ἀξιώσας, ὑπέγραψα:-
Ἰωάννης ὑποδιάκονος καὶ ἀποκρισιάριος τῆς
κατὰ Βόστραν ἁγίας ἐκκλησίας, ὑπέγραψα:-
Τρόφιμος διάκονος· καὶ ἀποκρισιάριος τῆς κατὰ
Σελεύκειαν Ἰσαυρίας· ἁγιωτάτης ἐκκλησίας·
ἀξιώσας, ὑπέγραψα:-
Εὐσέβιος διάκονος· καὶ ἀποκρισιάριος τῆς
κατὰ Ἄμιδαν ἁγιωτάτης ἐκκλησίας· ἐπιστάμενος
τὰ ἀνωτέρω εἰρημένα κατὰ Σευήρου· Πέτρου·
καὶ Ζωόρα· καὶ Ἀνθίμου, ὑπέγραψα:-
Μάρκος διάκονος· καὶ ἀποκρισιάριος τῆς ἁγίας
ἐκκλησίας Ἐμέσης· ὑπέγραψα:-
Συμεώνης διάκονος· καὶ ἀποκρισιάριος τῆς
κατὰ ἀπόπολιν ἁγίας ἐκκλησίας, ὑπέγραψα:-
Σέργιος διάκονος· καὶ ἀποκρισιάριος τῆς κατὰ
Πτολεμαΐδα ἁγίας ἐκκλησίας, ὑπέγραψα:-
Κοσμᾶς μοναχός· καὶ ἀποκρισιάριος τῆς κατὰ

ἀντάραδον ἁγίας ἐκκλησίας, ὑπέγραψα:-

Ἡσαΐας διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ τὴν ἀρεθουσίων ἐκκλησίας, ὑπέγραψα:-

Ἰουλιανὸς διάκονος καὶ ξενοδόχος τῆς Παλμυρέων ἐκκλησίας, ὑπέγραψα:-

Ἰωνᾶς διάκονος καὶ ἀποκρισιάριος τῆς Ἡλιουπολιτῶν ἐκκλησίας, ὑπέγραψα:-

Ἀβράμιος διάκονος καὶ ἀποκρισιάριος τῆς αὐτῆς ἐκκλησίας, ὑπέγραψα:-

Συμεώνης πρεσβύτερος τῆς κατὰ Κύπρον Κωνσταντίας ἁγίας ἐκκλησίας, ὑπέγραψα:-

Ἰωάννης ἀναγνώστης καὶ ἀποκρισιάριος τῆς κατὰ Σελεύκειαν Συρίας ἐκκλησίας, ὑπέγραψα:-

Μαρτύριος ἀναγνώστης τῆς ἐν Βηρυτῷ ἐκκλησίας ἀξιώσας, ὑπέγραψα:-

Ἀρσένιος ἀναγνώστης τῆς κατὰ Μαριάμμην ἐκκλησίας, ὑπέγραψα:-

590 Σέργιος πρεσβύτερος καὶ περιοδευτὴς μονῆς Μηνάδρου· ἀξιώσας, ὑπέγραψα:-

Συμεώνης διάκονος τῆς ἁγίας τοῦ Χριστοῦ ἀναστάσεως, ὑπέγραψα:-

Ἀναστάσιος πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς Καισαρέων ἐκκλησίας, ὑπέγραψα:-



Ἀλέξανδρος ὑποδιάκονος καὶ ἀποκρισιάριος τῆς Καισαρέων ἐκκλησίας Παλαιστινῶν, ὑπέγραψα:-

Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἐλευθερόπολιν ἐκκλησίας, ὑπέγραψα:-

Θεοδόσιος διάκονος καὶ ἀποκρισιάριος τῆς Γαζαίων ἐκκλησίας, ὑπέγραψα:-

Πάμφιλος διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Νεάπολιν ἐκκλησίας, ὑπέγραψα:-

Εὔνομος πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς κατὰ Πέτραν ἐκκλησίας, ὑπέγραψα:-

Ἀναστάσιος διάκονος καὶ ἀποκρισιάριος τῆς αὐτῆς ἐκκλησίας, ὑπέγραψα:-

Βίκτωρ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἀρεόπολιν ἐκκλησίας, ὑπέγραψα:-

Φιλούμενος ἀναγνώστης τῆς Ταρσέων ἐκκλησίας· ἀξιώσας, ὑπέγραψα:-

Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν λιβέλλων· Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης· καὶ νοταρίων σεκουνδοκήριος τῆς πρεσβυτίδος Ῥώμης· προκομίσας τὸ ἄκτον τῆς γραφείσης παρὰ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης συνοδικῆς ἐπιστολῆς, ἀνέγνω διὰ ῥωμαϊκῶν λέξεων· τὴν δὲ ἑρμηνείαν ταύτης, ἀνέγνω Χριστόδωρος διάκονος

καὶ ὁ Τόριος ὅ τε Κρητώριος, ἔχουσαν οὕτως:-

Ἑρμηνεία τῆς συνοδικῆς ἐπιστολῆς· τῆς διὰ ῥωμαϊ-
κῶν γραφείσης γραμμάτων· ἅτινα παρεθήκαν
διὰ τὴν ἀπειρίαν αὐτῶν:-

Τῷ ἀγαπητῷ ἀδελφῷ Πέτρῳ, Ἀγαπητός:-
Ἠβουλόμεθα μὲν ἀγαπητοὶ ἀδελφοί· διὰ τὴν τῆς
ἡμετέρας ἀγάπης συνάφειαν· πάντας τοὺς τοῦ
κυρίου ἱερεῖς· κατὰ τὴν ἀποστολικὴν παράδοσιν,
ἀνεπιλήπτους εὑρίσκεσθαι· καὶ μηδένα· ἢ διὰ
χάριν· ἢ διὰ φόβον, τῶν ἐκκλησιαστικῶν κα-
νόνων ἐκκλίνειν· ἀλλ' ἐπεὶ πολλὰ πολλάκις
παρακολουθεῖ· ἅτινα μεταμέλεια ἀντικτεῖν
δύναται· καὶ νικᾷ τὰ πλημμελήματα τῶν
ἁμαρτανόντων ὁ ἔλεος τοῦ θεοῦ· καὶ διὰ τοῦτο
ὑπερτίθεται ἡ τιμωρία· ὡς αὐτὸ τὸ πονηρὸν
διορθωθῆναι δυνηθείη, παραινέσαι ἀναγκαῖον
ἐκρίναμεν· ἵνα τὰ παραληφθέντα καὶ τὰ λοιπὸν,
ἀπαράβατα φυλαχθείη· ἐχρῶμεν γὰρ τὴν
591 ἡμετέραν ἀγάπην· μεμνημένην τῶν πατρικῶν
παραδόσεων, μηδένα συγχωρεῖν τὰ κεκωλυ-
μένα ποιεῖν· ἀλλὰ καὶ ἅ τις τολμηρὸς φανείη,
πάσῃ δυνάμει ἐνδοτέρου ἔσεσθαι· παραγενόμενοι
τοιγαροῦν εἰς τὸ κομητάτον τοῦ γαληνοτάτου



ἡμῶν βασιλέως· τοῦ ἡμετέρου υἱοῦ, εὕρομεν
τὴν καθέδραν τῆς ἐν κωνσταντινουπόλει ἐκ-
κλησίας, παρὰ τοὺς θεσμοὺς τῶν κανόνων.
ὑπὸ ἀνθίμου τοῦ τῆς τραπεζουντίων ἐκκλησίας
ἐπισκόπου, οὐ προσηκόντως ὑφαρπασθεῖσαν.
οὔτινος τὴν ψυχὴν, οὐ κατὰ τοῦτο μόνον τὸ
μέρος· ἀλλ' ὅπερ καὶ μεῖζόν ἐστιν ἐν τῇ τῆς
ἀληθοῦς πίστεως ὁμολογίᾳ, ἐπεθυμήσαμεν
ἐκ τῆς ἀπωλείας ἐπαναγαγεῖν· ἀλλὰ τῇ εὐτυ-
κτίου στηρισάμενος πλάνῃ, εἰς τὴν τῆς ἀληθείας
ὁδὸν ἐπανελθεῖν κατεφρόνησεν· ὅθεν· οὔτε δὴ
κατὰ τὴν ἀποστολικὴν ἀγάπην, τῶν ἐν τῇ πίστει
αὐτοῦ μεταμέλειαν, ἀναμένομεν ἐν τῷ μεταξύ.
οὐδὲ καθολικοῦ· οὐδὲ ἱερέως ὀνόματος ἄξιον
εἶναι ψηφίζομεν· μέχρις ἂν πάντα τὰ παρὰ τῶν
πατέρων παραδοθέντα· δι' ὧν ἀληθῶς τῆς θρησκεί-
ας πίστις καὶ ἐπιστήμη φυλάττεται, κατὰ τὴν
προσήκουσαν πληροφορίαν δέξηται· τοὺς δὲ
ἑτέρους, ὁμοίως τῆς αὐτοῦ ἀπονοίας· τοὺς
τῇ ψήφῳ τῆς ἀποστολικῆς καθέδρας κατα-
κριθέντας, παραπλησίως ἡ ἡμετέρα ἀγάπη
ἀποστραφήτω· ὧν αὐτοὶ ἑαυτοὺς ἀμετόχους
ἐποίησε. Τῆς δὲ ἐν κωνσταντινουπόλει καθέδρας

τὴν ὕβριν· βοηθοῦντος τῇ ἀποστολικῇ αὐθεντίᾳ
καὶ τῶν πιστοτάτων βασιλέων τῇ βοηθείᾳ, διωρ-
θώσαμεν· καὶ τρόπον τινὰ ἀπεθαυμάκαμεν· ὅτι
τοῦτο τὸ ἔργον οὕτω φανερῶς τοῖς πατρικοῖς ψηφίσ-
μασιν ἐναντίον ἡ ὑμετέρα ἀδελφότης. οὐ μόνον
εἰς γνῶσιν ἡμετέραν ἐνεγκεῖν ἠμέλησεν, ἀλλὰ
καὶ ἐπληψίμῳ ἐβεβαίωσε συναινέσει· εὐχαρι-
στοῦμεν δὲ τῷ θεῷ· οὗ τινος τῷ πνεύματι· τὰ κακὰ πρὸς
τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ, τρέπεται· καὶ αἱ μικραὶ
παραβάσεις, εἰς ὄφελος καὶ ἀφορμὴν, μεγάλης
γίνονται χαρᾶς· τοῦτο δὲ, ὑπὲρ τοῦ διεγεῖραι τῆς
ὑμετέρας ὁμοψυχίας τῇ ἀγαλλιάσει, σημαίνωμεν·
ὅτι μὴν νῦν τὸν ἀδελφὸν καὶ συνεπίσκοπον ἡμῶν·
ἄνδρα, πολλοῖς ἐπαίνων τρόποις κεκοσμημένον·
ἡ ῥηθεῖσα κωνσταντινουπόλεως ἐκκλησία, ἐπί-
σκοπον ἐδέξατο· ὥσπερ εἰ καὶ παρὰ τοὺς λοιποὺς,
ἡ τῶν γαληνοτάτων ἐπιγέλασε βασιλέων ἐπι-
192 λογὴ, ὁμοίως τοσαύτη παντός τε τοῦ κλήρου καὶ
τοῦ δήμου συναίνεσις προσγέγονεν, ὥστε παρ'
ἑκάστου καὶ ἐπιλεγῆναι πιστεύεσθαι· καὶ γὰρ οὔτε
τῇ εἰδήσει· οὔτε τῇ ζωῇ, τινὶ ἦν ἄγνωστος· ἀλλὰ
καὶ τῇ ἀκεραιότητι τῆς πίστεως· καὶ τῶν ἱερῶν
γραφῶν τῇ σπουδῇ· οὐ μὴν ἀλλὰ καὶ τῆς ἀσεβοῦς





διοικήσεως τῇ ὑπηρεσίᾳ· οὕτω τοῦ προλεχθέντος
ἀνδρὸς ἡ δόξα διέλαμπεν, ὥστε αὐτὰ βραδύτερον
δοκεῖν παραγεγονέναι οὐ παρηξίωται· καὶ τοῦτο
δὲ πιστεύομεν τῇ αὐτοῦ ἀξίᾳ προστεθῆναι· ὅτι ἐκ
τῶν χρόνων τοῦ ἀποστόλου πέτρου, οὐδένα ἄλλον
οἷα δή ποτε ἀνατολικὴ ἐκκλησία, ἐδέξατο ἐπί-
σκοπον· ταῖς χερσὶ τῆς ἡμετέρας καθέδρας χειρο-
τονηθέντα· καὶ τυχὸν ἡμεῖς ἀπόδειξιν ἐπαίνου
αὐτοῦ, ἡ ἧς κατάλυσιν τῶν ἐχθρῶν τῆς ἐνστάσεως
τοσοῦτον πρᾶγμα προέβη, ὥστε ἐκείνοις αὐτὸν
εἶναι δοκεῖν ὅμοιον, οἳ ἐν τούτοις ποτὲ τοῖς μέ-
ρεσιν· αὐτοῦ τῶν ἀποστόλων τοῦ πρώτου ἐχειρο-
τόνησεν ἡ ἐπιλογή· κοινὴν τοιγαροῦν ἀδελφοὶ
χαρὰν ἀσεβᾶ ἀγαλλιάσει, ὑποδέξασθε· καὶ
ὁπόσον ὑμεῖς τῆς ἀποστολικῆς ἡμῶν καθέδρας
ἀποδέχεσθε τὴν κρίσιν, τῇ συνήθει σημάνατε
ἀντιγραφῇ· ἔχοντες, διὰ πάντων ἀφροσύνης αἱ παρ·
ὅτε καὶ τὰ φαῦλα διωρθώθη ἀνὰ παρολκῆς·
καὶ ἀντὶ τούτων, τὰ ἀκταῖα παρηκολούθησε,
τοὺς λοιποὺς προφυλαττόμενοι· ἵνα μὴ αὖθις
τοῖς κανονικοῖς θεσπίσμασιν ἐναντίον τι δι'
ὑμῶν ὅπερ ἀπείσω, γένηται· ἡ τῇ ὑμετέρα,
παραχθείη συναινέσει· ἐπειδὴ καθάπερ συγγνώμης

ἀξία ἐστὶν ἡ πλάνη τοῦ ἅπαξ ἁμαρτάνειν, οὕτως ἡ συχνὴ
παράβασις, κίνησιν αὐστηρίας ἀπαιτεῖ· ὁ θεὸς ἐρρωμένον
σε φυλάξει ἀδελφὲ τιμιώτατε:–

διαλαλιά, μηνᾶ πατριάρχου:–

Ὁ ὁσιώτατος ἀρχιεπίσκοπος· καὶ πᾶσα ἡ ἁγία σύνοδος
εἶπεν· οὐδὲν θαυμαστὸν, εἰ τοῖς ἑαυτοῦ κατακολουθεῖ
καὶ νῦν ὁ μέγας ἀποστολικὸς θρόνος. τουτέστι ἱεροῖς
τῶν ἁγιωτάτων ἐκκλησιῶν θεσμοῖς ἀπαρεγχαρήτους
διατηρῶν· καὶ τὰ τῆς ὀρθῆς πίστεως ἐκδικῶν· καὶ
φιλανθρώπου γνώμης τοῖς ἡμαρτηκόσι μεταδιδούς·
ὅθεν καὶ ἡμεῖς· πληροῦντες τὰ τῷ μακαριωτάτῳ
593 πάπα ἐπὶ τῆς συνοδικῆς ἐπιστολῆς δεδογμένα· καὶ
καιρὸν αὐτῷ μετανοίας ἐνδιδόντες, συνορῶμεν
βοσπόριον τὸν ὁσιώτατον ἐπίσκοπον τῆς νεοκαισα
ρέων μητροπόλεως· καὶ ἀνακίον τὸν ὁσιώτατον
ἐπίσκοπον τῆς πασινούντων μητροπόλεως· καὶ ἰω·
καὶ θεόκτιστον τοὺς θεοφιλεστάτους πρεσβυτέρους·
καὶ ἐκδίκους τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκ
κλησίας· καὶ ζαχαρίαν τὸν ὁσιώτατον ἐπίσκοπον
τῆς μιτυληναίων μητροπόλεως· καὶ ἀκάκιον· καὶ
χρυσόδωρον· τοὺς θεοσεβεστάτους διακόνους· καὶ
νοταρίους τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας, ἀνα
ζητῆσαι αὐθήμερον τὸν εὐλαβέστατον· καὶ δηλαμὲν



αὐτῷ καταστῆσαι, τὰ παρ' ἡμῖν πεπραγμένα· προ
τρέπεσθαι εἴσω τριῶν ἡμερῶν· εἰ βούλοιτο παραγε
νέσθαι πρὸς τὴν ἁγίαν ταύτην σύνοδον· καὶ τὴν
προσήκουσαν ἐπὶ τοῖς προστεθειμένοις ποιή
σασθαι πληροφορίαν, ὑπομνήματα μην:–

πρᾶξις ἑτέρα· συστᾶσα παρὰ μηνᾶ πατριάρχου:–

Μετὰ τὴν ὑπατείαν φλαβίου βελισαρίου τοῦ λαμπρο
τάτου· τῇ πρὸ μιᾶς νόννων μαΐων· ἰνδικτιῶνος
τεσσαρεσκαιδεκάτης· ἐν τῇ φιλοχρίστῳ καὶ βασι
λευούσῃ ῥώμῃ κωνσταντινουπόλει· προκαθε
ζομένου τοῦ δεσπότου ἡμῶν· τοῦ ἁγιωτάτου καὶ
μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενι
κοῦ πατριάρχου, μηνᾶ· ἐν τῷ μεσαύλῳ τῷ δυτικῷ
τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν· τῆς
ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου μαρίας·
τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκ
κλησίας· καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους· συνε
δριαζόντων αὐτῷ καὶ συνακροωμένων· κατὰ
εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλά
κτου ἡμῶν βασιλέως ἰουστινιανοῦ, τῶν ὁσιω
τάτων καὶ θεοφιλεστάτων ἐπισκόπων· σα
βίνου, τοῦ κανουσίου· ἐπιφανίου ἐκλανῶν·
ἀστερίου, σαλέρνων· ῥουστικοῦ, φεσουλῶν·

λεόντος, κολωνείων. πάντων ἐκ τῆς ἰταλῶν χώρας.
προωνομασμένων, ἐκ τῆς ἀποστολικῆς καθέ
δρας. ὕστερον δὲ συνόντων παραγενομένων ἐνταῦθα
ἀγαπητῷ τῷ τῆς ὁσίας μνήμης. γενομένῳ πάπα
594 τῆς πρεσβυτέρας ῥώμης. πέτρου τῆς μητροπόλεως,
ἰουστινιανοῦ πόλεως. τῆς δευτέρας καππαδοκῶν
ἐπαρχίας. ζαχαρίου, τῆς μητροπόλεως μιτυλήνης.
μάρκου, τῆς μητροπόλεως ἀπαμείας. τῆς βιθυνῶν
ἐπαρχίας. αὐξεντίου, τῆς μητροπόλεως σηλυβρίας.
τιμοθέου, τῆς μητροπόλεως βερόης. θαλασσίου, τῆς
μητροπόλεως βηρυτοῦ. μεγάλου, τῆς μητροπόλεως
βερροίας. ἰωάννου, τῆς μητροπόλεως βοσπόρου.
ἰωάννου, γαβάλων. δομετιανοῦ, ζηκχίας.
χριστοφόρου, πορφυρεῶνος. ἐπαρχίας φοινίκης
παράλου. ἀρχελάου, κωρύκου. δαυΐδου, τοῦ
κιρκισίου. αἰθερίου, μαριάμμης. ἀλεξάν
δρου, βαρκούσων. δόμνου, μαξιμιανουπό
λεως τῆς δευτέρας παλαιστίνης. ἀναστασίου, ἰω
τάβης. ἰωάννου, ζωόρων. ἀνδρέου τοῦ πανι
ἐπιτυγχάνου, γέρμης. ἐπαρχίας ἑλλησπόντου.
πλατωνίου, παρνασσοῦ. παύλου, τοῦ στεκτορίου.
ἀνδρέου, πάτων. θεοδώρου, μύρου. καὶ θεο
δωρίτου, ἀλίνδων. ἐκ δὲ τοῦ αὐτωνύμου μέρους,



ὑπατίου τῆς μητροπόλεως ἐφέσου. κωνσταντίνου,
ἡρακλείας. τῆς μητροπόλεως εὐρώπης. θεαγένη,
τῆς μητροπόλεως συνάδων. βάκχου, ἀντιοχείας.
τῆς μητροπόλεως πισιδίας. ἱλαριανοῦ, τῆς μητρο
πόλεως πέργης. βοσπορίου, νεοκαισαρείας.
τῆς μητροπόλεως πόντου πολεμωνιακοῦ. παύλου,
τῆς μητροπόλεως τυάνων. ἀκακίου, τῆς μητρο
πόλεως πισινουντῶν. ἐπικτήτου, κλαυδιου
πόλεως. τῆς μητροπόλεως ὁνωριάδος. ἐπιφα
νίου, ἡρακλείας. τῆς ὁνωριατῶν ἐπαρχίας.
ἀβραμίου, κρατίας. ἀλεξάνδρου, κολωνίας.
τῆς δευτέρας καππαδοκῶν ἐπαρχίας. ἀστερίου,
ἀμάστρεως. εὐγενίου, τίου. ἰωάννου, καισα
ρείας τῆς βιθυνῶν ἐπαρχίας. κυριακοῦ, θεο
δοσιουπόλεως. τῆς φρυγῶν πακατιανῶν
ἐπαρχίας. ἰωάννου, τραϊανουπόλεως. θεο
δότου, ἀροίας παλαιᾶς ἠπείρου. ἀνδρέου,
ἀμυζόνος. φλαβιανοῦ, κοτένων. ἠλίου
ἀδριανῶν τῆς βιθυνῶν ἐπαρχίας. καὶ ἑρμο -
νίου, καλλιπόλεως. συμπαρόντων δὲ αὐτῷ
καὶ συνακροωμένων καὶ θεοφάνους ὑπατίου
τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς
καθέδρας. καὶ μηνᾶ καὶ πέτρου. τῶν θεοσεβε

στάτων μοναστηρίων· καὶ τινῶν εὐλαβεστάτων ὑποδια-
κόνων· καὶ ἐκδίκων· καὶ λοιπῶν κληρικῶν, τοῦ
αὐτοῦ ἀποστολικοῦ θρόνου· οἳ καὶ συνόντες ἐτύγ-
χανον παραγενομένῳ ἐνταῦθα Ἀγαπητῷ τῷ τῆς
ἁγίας μνήμης· γενομένῳ πάπᾳ τῆς πρεσβυτέρας
Ῥώμης· καὶ Μάγνου πρεσβυτέρου· καὶ Ἡρακλα(ου)
διακόνου· καὶ ἀποκρισιαρίων· Ἐφραιμίου
τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν θεοῦ πόλει ἁγιω-
τάτης ἐκκλησίας· Σαβίνου διακόνου τῆς ἁγίας
Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως· πανροῶτος ταὶ ἀπο-
κρίσης, Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱερο-
σολύμων· Στεφάνου διακόνου καὶ ἀποκρισια-
ρίου· Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου
Καισαρείας· τῆς μητροπόλεως πρώτης Καππα-
δοκῶν ἐπαρχίας· Γαϊανοῦ πρεσβυτέρου καὶ
ἀποκρισιαρίου· Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπι-
σκόπου Ἀγκύρας· τῆς μητροπόλεως Γαλατίας
πρώτης· Διονυσίου καὶ Καλλινίκου διακόνων
καὶ ἀποκρισιαρίων, Φωτίου τοῦ ὁσιωτάτου
ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου· παρόντος
δὲ καὶ τοῦ ἁγίου κλήρου τῆς βασιλευούσης
πόλεως, Ἀφήμιος ὁ θεοσεβέστατος διάκονος·
καὶ πριμμικήριος νοταρίων, εἶπε· πρὸ τούτων



φανερῶν ἡμερῶν· ἀσεβοῦς ἤδη σαμένης κελεύ-
σεως τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασι-
λέως, συνεληλυθυίη ἡ παροῦσα ταπαιῶ ἁγία σύ-
νοδος· καὶ τῶν τε ἐπὶ τῆς βασιλίδος ταύτης
πόλεως εὐλαβῶν μοναχῶν· καὶ τινῶν ἐκ τῆς
θεουπολιτῶν ὁρμωμένων· καὶ ἄλλων γε μὴν ἐκ
τῆς Ἱεροσολυμιτῶν εὐλαβῶν ἀνδρῶν· τηνικαῦ-
τα παρ' ὑμῖν εἰσεληλυθότων, πέπρακταί τινα
ἐπ' Ἀνθίμῳ τῷ εὐλαβεστάτῳ· ἃ δὴ τοῖς τηνι-
καῦτα συσταθεῖσιν ὑπομνήμασι περιέχεται· ἐν οἷς
καὶ προθεσμίαν ῥητὴν ἐπὶ τῇ τοῦ αὐτοῦ εὐλαβε-
στάτου ἀνδρὸς ἀναζητήσει, δεδώκατε· ἧς ἤδη
δραμούσης· ἐπειδὴ καὶ νῦν ἡ ὑμετέρα συνῆλθε
ἁγιωσύνη τῆς αὐτῆς ὑποθέσεως ἕνεκα· παρα-
φυλάττουσι δέ, καὶ τὴν ὑμετέραν ἀκρόασιν·
καὶ οἱ μνημονευθέντες εὐλαβέστατοι μοναχοὶ
τῆς παρ' ὑμῖν εἰσόδου τυχεῖν ἀξιοῦντες, ὑποβάλ-
λομεν πρὸς τὸ παριστάμενον· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος· καὶ ἡ ἁγία σύνοδος, εἶπεν·
εἰσίτωσαν· καὶ εἰσελθόντος Μαρινιανοῦ τοῦ
θεοφιλεστάτου πρεσβυτέρου· καὶ ἡγουμένου
μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης· καὶ
ἐξάρχου· ἅμα τοῖς λοιποῖς θεοσεβεστάτοις ἀρχι-

μανδρίταις καὶ μοναχοῖς· τῶν τε κατὰ τὴν δὲ τὴν
βασιλίδα πόλιν· καὶ θεούπολιν· καὶ ἱεροσόλυμα,
ἁγίων μοναστηρίων· ἀγαπητοῦ, τῆς διου· διο
σκόρου, τῆς ἁγίας εὐφημίας· ἀγαπίου, τῆς θαλασ
σίου· παύλου, τῶν ῥωμαίων· ἀντωνίου, τῆς
εὐσεβίου· στεφάνου, τῆς ὀλυμπίου· ἀναστασίου,
τῶν ῥωμαίων· δημητρίου, τῆς φωκᾶ· κυριακοῦ,
τῆς εὐφημιοῦ· ζωΐλου, τῆς θεοδότου· ἰουλιανοῦ,
τῆς εὐφημιοῦ· στεφάνου, τῶν προμότου· ζήνωνος,
596 τῆς ἁγίας θεοτόκου ἐν τῇ πηγῇ· ἀλεξάνδρου, τοῦ καλα
μίου· δάδα, τῆς καϊουμᾶ· ῥοδώνος, τῆς θεο
δώρου· γενναδίου, τῆς κυριακοῦ· θεοδώρου,
τῆς μαρωνίου· σιλᾶ, τῆς ἠλία· παύλου, τῆς
σαμουηλίου· ἰωάννου, τῆς θεοδώρου· κυρίωνος,
τῶν αἰγυπτίων· βασιλείου, τῆς κυρακωνᾶ· ἰω,
τοῦ ἁγίου ἀποστόλου θωμᾶ, ἐν τοῖς μοδέστου·
μάρκου, τῆς θεοδώρου· φλαβιανοῦ πρεσβυ
τέρου, καὶ δευτεραρίου τῆς μοδέστου τῶν λυκαόνων·
μαρίνου, τῆς παύλου· θεοκτίστου, τῆς ἁγίας θεοτόκου,
πλησίον τῶν ἰωβ· θεοδώρου, τῆς τρύφωνος·
κοσμᾶ, τῶν σουδίου· πέτρου, τῆς ἁγίας θεοτόκου,
καὶ τοῦ ἁγίου διομήδους ἐν τῇ ἱλημ· ἐλευθερίου,
τοῦ ἁγίου κυριακοῦ· ἀλεξάνδρου, τῆς ἀβρα



μίου· θεοδώρου, τῆς ἰωβ· τρύφωνος, τῆς ἐλπι
δίου· στεφάνου, τῶν ἠκώνσα· βαβύλα, τῆς δανιὴλ
ἐν τῷ στύλῳ· ἰωάννου, τῆς ἀναστασίου· ἀνθιμίου,
τῆς μέσωνος· ἰωάννου, τοῦ ἁγίου μιχαὴλ τῶν
χαρισίου· ἰωάννου, τῆς μάρα· πλησίον τῆς ἀε
τίου κινστέρνης· φωκᾶ, τῆς ἰωνᾶ· πλησίον
τοῦ δευτέρου· ζωσίμου, τῆς εὐτυχίου τῶν λυκαό
νων· τιμοθέου, τῆς ἀσβρίου· στρατονίκου, τῆς
δομετίου· πολυχρονίου, τοῦ αἰθρίου· ἀνδρέου,
τῶν ῥωμαίων· πλησίον τῆς ἀετίου κινστέρνης·
μαρτυρίου, τῆς πέτρου· πλησίον τῶν ἀποστόλων·
ἀνδρέου, τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου
λουκᾶ· μάρκου, τοῦ ἁγίου κηρύκου· ἰακώβου,
τῆς ἀβίβου σύρου· ἀττικοῦ, τῶν εὐκρατάδων·
ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῷ λιθοστρώτῳ· παύ
λου, τοῦ ἁγίου ἀποστόλου πέτρου· πλησίον
τοῦ παλατίου· ἀναστασίου πρεσβυτέρου καὶ
δευτεραρίου τοῦ ἁγίου φιλίππου, ἐν τῷ βρεφο
τροφείῳ· γεωργίου, τῆς κύρου· εὐσεβίου,
τῆς συμεωνίου· ζωτικοῦ, τοῦ ἁγίου ἀνδρέου·
πλησίον τῆς σατορνίνου πόρτης, καὶ τῶν ὑπὸ
θεούπολιν· παύλου μοναχοῦ, καὶ ἀποκρισιαρί

μονῆς τῆς Μαρώνος· Σευηριανοῦ πρεσβυτέρου
καὶ ἀρχιμανδρίτου μονῆς Ζωόρα τῶν Θερμῶν, Σύρ(ου)·
Κασίσα πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τῆς
μονῆς Λουκᾶ, Σύρου· Συμεωνίου διακόνου καὶ
ἀποκρισιαρίου, τῆς Ἰακώβου· Ἰωάννου δια-
κόνου καὶ ἀποκρισιαρίου, τῆς Θεοδώρου· Στεφάνου
πρεσβυτέρου καὶ ἡγουμένου, μονῆς Εὐξερίου·
Ἰωάννου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς
τοῦ Κυροῦ Θωμᾶ, Σύρου· Θωμᾶ πρεσβυτέρου
καὶ ἀρχιμανδρίτου μονῆς Ἀαρών, Σύρου· Φω-
τεινοῦ μοναχοῦ καὶ ἀποκρισιαρίου, τοῦ ἁγίου
Στεφάνου· Θεοδώρου διακόνου καὶ ἀποκρισια-
ρίου, τῆς ἐκκλησίας Ἱεροσολύμων· Σεργίου,
πρεσβυτέρου καὶ περιοδευτοῦ· οἱ πάντες
535. πράττοντες ὑπὲρ ἑαυτῶν καὶ τῶν λοιπῶν·
ἐπὶ μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ
Θεοῦ ἡμῶν, τόπους· Δομνίνου πρεσβυτέρου
καὶ ἀρχιμανδρίτου, μονῆς τοῦ μακαρίου
Μαρτυρίου· Ἡσυχίου πρεσβυτέρου καὶ
ἀποκρισιαρίου, μονῆς τοῦ μακαρίου Θεο-
δοσίου· Κασσιανοῦ πρεσβυτέρου, τῆς λαύρας
τοῦ μακαρίου Σάββα· Κυριακοῦ πρεσβυ-



τέρου καὶ ἡγουμένου, τῶν Πυργίων τοῦ Ἰορδάνου·
Νεστάβου πρεσβυτέρου, λαύρας τοῦ μακαρίου
Φιρμίνου· Τερεντίου πρεσβυτέρου, τῆς Νέας
λαύρας· Λεοντίου μοναχοῦ, ἡγουμένου καὶ
τοποτηρητοῦ τῆς ἐρήμου πάσης· Τραϊανοῦ
πρεσβυτέρου, τῶν Πυργίων τοῦ Ἰορδάνου·
Πολυεύκτου διακόνου, μονῆς τοῦ ἀββᾶ
Θεοδοσίου· Θεοδώρου διακόνου καὶ μοναχοῦ,
τῆς Νέας λαύρας· Κηρύκου διακόνου καὶ
μοναχοῦ, τῆς αὐτῆς Νέας λαύρας· Ἀναστασίου
διακόνου, μονῆς τοῦ μακαρίου Μαρτυρίου·
Μαμᾶ μοναχοῦ τῆς αὐτῆς μονῆς· Ἰωάννου
μοναχοῦ τῆς αὐτῆς μονῆς· Ἰουλιανοῦ μοναχοῦ,
μονῆς τοῦ ἀββᾶ Θεοδοσίου· οἱ πάντες πράτ-
τοντες ὑπὲρ τῶν οἰκείων μοναστηρίων, καὶ
πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως,
μοναχῶν· Ἰωάννου πρεσβυτέρου τῆς πεδιάδος·
καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν· Θεωνᾶ
πρεσβυτέρου τοῦ Σιναίου ὄρους· καὶ ἀποκρισιαρί-
ου τοῦ ὄρους, καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ
λαύρας Ῥαϊθοῦ· καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε
μοναχῶν· Στρατηγίου διακόνου καὶ μοναχοῦ
μονῆς τοῦ μακαρίου Ἰωάννου· καὶ ὑπὲρ πάντων

τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν. ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος, καὶ πᾶσα ἡ σύνοδος, εἶπεν.
ἀναγινωσκέσθω τὰ τῇ προτεραίᾳ πεπραγμένα.
καὶ λαβὼν Μακάριος ὁ θεοσεβέστατος διάκονος
νοτάριος καὶ ἀποκρισιάριος, ἀνέγνω:-

Μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ
λαμπροτάτου. τῇ πρὸ ὀκτὼ νόννων μαΐων. ἰνδι-
κτιῶνος τεσσαρεσκαιδεκάτης. ἐν τῇ φιλοχρίστῳ
καὶ βασιλευούσῃ Κωνσταντίνου πόλει Ῥώμῃ·
καὶ τὰ λοιπὰ, τῆς πρώτης πράξεως. ὁ ἁγιώ-
τατος ἀρχιεπίσκοπος. καὶ πᾶσα ἡ ἁγία σύνοδος,
εἶπεν. οἱ παρ' ἡμῶν ἀπονεμηθέντες πρὸς ἀνα-
ζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου. εἶτα δια-
λαληθέντα πρὸς ἔργον ἠγάγον, διδαξάτωσαν:-

Βοσπόριος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς νεοκαισα-
ρέων μητροπόλεως. ἐπαρχίας πόντου πολεμω-
νιακοῦ, εἶπε:-

Τοῖς ὑπὸ τῆς μακαριότητος ὑμῶν. καὶ τῆς ἁγίας
ταύτης συνόδου ψηφισθεῖσι πειθαρχοῦντες
εἰκότως, ἐγενόμεθα ἐν πᾶσι τοῖς νομιζο-
μένοις ἡμῖν τόποις εἶναι Ἄνθιμον τὸν εὐλαβέ-
στατον. φαμὲν δὴ, ἔν τε τῷ ἀκτηρίῳ οἴκῳ, τοῦ
598 ἐνδόξου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῷ παλατίῳ.

καὶ τοῖς Ὁρμίσδου ἐν τῷ ἁγίῳ ἀποστολείῳ. ἐν οἷς
συγκαλέσαντες τοὺς εὐλαβεστάτους πρεσβυτέρους
καὶ διακόνους. καὶ εἰσέτι εἰπεῖν ἅπαντα τὸν κλῆ-
ρον, τῶν εἰρημένων ἁγιωτάτων οἴκων, ἐπυθό-
μεθα αὐτῶν εἰπεῖν ἡμῖν καὶ ὑποδεῖξαι. εἴ γε ἴσασι
τὸν εἰρημένον Ἄνθιμον. ἤτοι τὸν οἶκον ἐν ᾧ ἐστὶν,
αὐτὸν ἀναφανῆ. οἱ δὲ, πρότερον μὲν, εἶπον συμ-
φώνως, μὴ δὲ ἑωρακέναι αὐτὸν ἕκαστοι. μὴ δὲ
εἰδέναι οἶκον ἐν ᾧ τυγχάνει αὐτός. ἀ ταῖς πληρο-
φορίαν ἡμῶν δεδωκότες τινὲς ἐξ αὐτῶν ἅμα
Ἀκακίῳ καὶ Χρυσοδώρῳ τοῖς θεοσεβεστάτοις
διακόνοις. καὶ νοταρίοις τῆς ὑμετέρας ἁγιω-
σύνης, τὴν τοῦ εἰρημένου εὐλαβεστάτου
Ἀνθίμου ἀναζήτησιν ἐποιήσαντο. νομίζοντες
δὲ καὶ ἐν τῷ μετὰ τῶν αὐτοῦ. ἐν ᾧ πάλαι κατέμεν
εὑρίσκεσθαι αὐτὸν, ἐζητήσαμεν. καὶ οὐδὲ ἐκεῖ-
σε εὑρεῖν αὐτὸν ἰσχύσαμεν. ἀλλὰ καὶ ἐν τῷ προ-
αστείῳ αὐτοῦ τῷ παρὰ τὸν ἅγιον Λαυρέντιον γενό-
μενοι, οὐδὲ ἐκεῖ αὐτὸν εὑρεῖν δεδυνήμεθα.
τοῦ ἐκεῖσε εὑρεθέντος ἀδελφοῦ αὐτοῦ, εἰρηκότος.
ἀφ' οὗ παρ' ἀπέστη τῆς ἁγιωτάτης μεγάλης ἐκ-
κλησίας, μὴ δὲ ἑωρακέναι αὐτὸν, μὴ δὲ
εἰδέναι ὅποι διάγει:-

ἀκάκιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς πισινουντίων
μητροπόλεως τῆς δευτέρας γαλατῶν ἐπαρχίας, εἶπε:

Κἀγὼ διδάσκω τὴν ὑμετέραν μακαριότητα· ὡς παρα-
γενόμενος ἅμα βοσπορίῳ καὶ ζαχαρίᾳ· τοῖς ὁσιω-
τάτοις συλλειτουργοῖς· καὶ ἰωάννῃ καὶ θεοκτίστῳ·
τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκ-
δίκοις· ἀκακίῳ τε καὶ χριστοδώρῳ· τοῖς θεοσεβεστά-
τοις διακόνοις καὶ νοταρίοις· ἐν τοῖς εἰρημένοις τό-
ποις τὴν ἀναζήτησιν ποιήσασθαι τοῦ εἰρημένου
εὐλαβεστάτου ἀνθίμου, τοῦτον εὑρεῖν οὐ δεδύνημαι:-

ζαχαρίας ὁ ὁσιώτατος ἐπίσκοπος τῆς μιτυληναίων
μητροπόλεως, εἶπε:-

Καθὼς ἐδίδαξαν πρὸ ἐμοῦ· βοσπόριος καὶ ἀκάκιος
οἱ θεοφιλέστατοι ἐπίσκοποι· τὸ ἱκανὸν ποιοῦντες
τοῖς προστεταγμένοις παρὰ τῆς ὑμετέρας ἁγιω-
σύνης, ἐγενόμεθα καὶ ἐν τῷ εὐαγεῖ εὐκτηρίῳ οἴκῳ
τοῦ ἁγίου ἀρχαγγέλου μιχαήλ· τῷ προσκειμένῳ
τῷ εὐσεβεῖ παλατίῳ· καὶ ἐν τῷ ἁγίῳ ἀποστολείῳ
τῷ ὄντι ἐν τοῖς ὁρμίσδου· καὶ ἐν τῷ προαστείῳ
αὐτοῦ τῷ προσπαρακειμένῳ τῷ εὐαγεῖ εὐκτηρίῳ
οἴκῳ τοῦ ἁγίου λαυρεντίου· καὶ τὴν ἐνδεχομένην
499 ἔρευναν· ἅμα ἰωάννῃ καὶ θεοκτίστῳ ποιησάμενοι·
τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκ-



δίκοις· καὶ ἀκακίῳ καὶ χριστοδώρῳ τοῖς θεοσεβε-
στάτοις διακόνοις καὶ νοταρίοις, οὐδαμῶς τοῦτον
εὑρεῖν δεδυνήμεθα:-

ἰωάννης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἐκ-
κλησιέκδικος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας,
εἶπε:-

Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης· ἅμα
τοῖς εἰρημένοις ὁσιωτάτοις ἐπισκόποις· καὶ
θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις, γενόμενοι
ἐγώ τε καὶ θεόκτιστος ὁ θεοφιλέστατος κατὰ τοὺς
προλεχθέντας ἅπαντας τόπους· τοὺς καὶ νομι-
ζομένους ἡμῖν κατάδηλον πάντως ποιεῖν
ἄνθιμον τὸν εὐλαβέστατον τοῦτον, ὃν εὑρεῖν οὐκ
ἠδυνήθημεν:-

θεόκτιστος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκ-
κλησιέκδικος, εἶπε:

Κἀγὼ, τὰ αὐτὰ κατατίθεμαι:-

ἀκάκιος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος· καὶ
χριστόδωρος ὁ θεοσεβέστατος διάκονος νοτάριος καὶ
σηκρητάριος, διὰ τοῦ ἑνὸς αὐτῶν χριστοδώρου, εἶπον:

Ἅπερ οἱ ἅμα ἡμῖν ἀποσταλέντες ὁσιώτατοι ἐπίσκο-
ποι· καὶ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλη-
σιέκδικοι· ἐπὶ τὴν ἀναζήτησιν ἀνθίμου τοῦ εὐλα-

βεστάτου εἰρήκασι, ταῦτα καὶ ἡμεῖς κατατιθέμεθα·
ἐπιφερόμεθα δέ, καὶ τὰ τῇ προτεραίᾳ πεπραγμένα·
ἐφ' ᾧ ταῦτα δῆλα αὐτῷ καταστῆσαι· καὶ οὐδαμῶς
αὐτὸν ἀναφέρειν δεδυνήμεθα:-

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος· καὶ πᾶσα ἡ ἱερὰ καὶ
ἁγία σύνοδος, εἶπε:-

Δηλημένη δὴ γέγονεν ἡ Ἀνθίμου τοῦ εὐλαβεστάτου
προαίρεσις οὐ βουληθέντος ἑαυτὸν φανερὸν κατα-
στῆσαι· παραγενέσθαι τε πρὸς ἡμᾶς εἰς διόρθωσιν·
πλὴν ἀλλ' ὡς ἐμένεστιν ἀμοίας ὄντας ἡμᾶς ἀκολουθεῖν
τῇ ἀγαθότητι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·
τοῦ πάντας σωθῆναι βουλομένου· καὶ εἰς ἐπίγνωσιν
ἀληθείας ἐλθεῖν· καὶ τὴν μετάνοιαν ὥσπερ τι
σωτήριον φάρμακον τοῖς ἁμαρτάνουσι παρασχόντος·
ὥστε δι' αὐτῆς καὶ τοὺς ἀπολισθαίνοντας τῆς εὐθείας
ὁδοῦ, πάλιν ἐπ' αὐτὴν ἀνακαλεῖσθαι διὰ τῆς προ-
σηκούσης μακροθυμίας· καὶ ἡμεῖς σπουδάζον-
τες τὸν εἰρημένον εὐλαβέστατον Ἄνθιμον· τὸν
δυνατὸν περισώσασθαι τρόπον, καὶ αὖθις ἐν-
δίδομεν αὐτῷ προθεσμίαν ἑτέρων ἡμερῶν
τριῶν· πρὸς μετάμελόν τε, καὶ τὴν τῶν δεόντων
ἐπίγνωσιν· ὧν ἕνεκεν, ἀναζητήσουσιν αὐτόν·
Πέτρος τε ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἰουστινιανου-





πολιτῶν μητροπόλεως· τῆς δευτέρας Καππαδοκῶν
ἐπαρχίας· καὶ Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος
τῆς μητροπόλεως Βηρυτίων· καὶ Δόμνος ὁ θεο- 600
φιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως· τῆς
δευτέρας Παλαιστίνων ἐπαρχίας· καὶ Ῥωμανὸς σε-
μὼν καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι·
καὶ ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης μεγάλης
ἐκκλησίας· καὶ προσέτι, Ἀνδρέας τε καὶ Καλλώ-
νυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι·
καὶ ἀπαραίροιεν αὐτόν, προτρέψοιεν τῆς εἰρη-
μένης ἐντὸς προθεσμίας, παραφυγεῖν τὴν ἡμε-
τέραν ἀκρόασιν· ὀφείλοντα ταῖς κατ' αὐτοῦ
γινομένας ἀποδύσασθαι μέμψεις, ὑπομνήματα:-

Μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ
λαμπροτάτου· τῇ πρὸ ἓξ εἰδῶν μαΐων· ἰνδι-
κτιῶνος τεσσαρεσκαιδεκάτης· ἐν τῇ φιλοχρί-
στῳ καὶ βασιλευούσῃ πόλει Ῥώμῃ· προκαθε-
ζομένου τοῦ δεσπότου ἡμῶν· τοῦ ἁγιωτάτου
καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπι-
σκόπου καὶ πατριάρχου Μηνᾶ· ἐν τῷ μεσαύλῳ
τῷ δυτικῷ τοῦ σεβασμίου οἴκου τῆς δεσποί-
νης ἡμῶν· τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀει-
παρθένου Μαρίας· τοῦ ὄντος πλησίον τῆς

ἁγιωτάτης μεγάλης ἐκκλησίας· καὶ ἐκ μὲν τοῦ δεξιοῦ
μέρους συνεδρευόντων αὐτῷ καὶ συνακροωμένων·
κατὰ τὴν εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλά-
κτου ἡμῶν βασιλέως ἰουστινιανοῦ, τῶν ὁσιωτάτων
καὶ θεοφιλεστάτων ἐπισκόπων· σαβίνου, τοῦ
κανουσίου· ἐπιφανίου, ἐκλάνων· ἀστερίου,
σαλέρνων· ῥουστικοῦ, φεσούλων· λέοντος, νόλου
τῶν πάντων ἐκ τῆς ἰταλῶν χώρας· πρώην μὲν
ἀπεσταλμένων ἐκ τῆς ἰταλῶν χώρας· ἤγουν τῆς
ἀποστολικῆς καθέδρας· ὕστερον δὲ συνόντων
παραγενομένων ἐνταῦθα ἀγαπητῷ τῷ τῆς ἁγίας
μνήμης· γενομένῳ πάπα τῆς πρεσβυτέρας ῥώμης·
θαλασσίου, τῆς μητροπόλεως βηρυτοῦ· μεγάλου,
τῆς μητροπόλεως βερροίας· ἰωάννου, γαβάλων·
χριστοφόρου, πορφυρεῶνος· ἐπαρχίας φοινίκης
παραλίου· ἀρχελάου, κωρύκου· δαυίθου, τοῦ
κιρκινσίου· αἰθερίου, μαριάμμης· ἀλεξάνδρου,
βαρκούσων· δόμνου, μαξιμιανουπόλεως τῆς
δευτέρας παλαιστίνης· ἀναστασίου, ἰωτάβης·
ἰωάννου, ζωόρων· ἀστερίου, ἀμάστρεως· ἀν-
δρέου, τοῦ πανίου· ἐπιτυγχάνου, γέρμης· ἐπαρ-
χίας ἑλλησπόντου· παύλου, στεκτορίου· ἀνδρέου,
601 πέλτων· θεοδώρου, μύρου· ἀνδρέου, ἀμιζόνος·



φλαβιανοῦ, κοτένων· ἠλίου, ἀδριανῶν· μακε-
δονίου, βριάνων· θεοδωρίτου, ἀλίνδων· ἀρμο-
νίου, καλλιπόλεως· λεοντίου, ἑλενουπόλεως·
λογγίνου, ὀρεστιάδος· ἰωάννου, καισαρείας
βιθυνίας· καὶ ἰωάννου, τραϊανουπόλεως
φρυγίας πακατιανῆς· ἐκ δὲ τοῦ εὐωνύμου
μέρους, ὑπατίου τῆς μητροπόλεως ἐφέσου·
κωνσταντίνου, ἡρακλείας τῆς μητροπόλεως
εὐρώπης· εὐσεβίου, τῆς μητροπόλεως κυζίκου·
θαλασσίου, τῆς μητροπόλεως νικομηδείας·
φωτεινοῦ, τῆς μητροπόλεως χαλκηδόνος· θεα-
γένους, τῆς μητροπόλεως συνάδων· βάκχου, τῆς
μητροπόλεως ἀντιοχείας πισιδίας· ἰλαριανοῦ,
τῆς μητροπόλεως πέργης· βοσπορίου, νεοκαισα-
ρείας· τῆς μητροπόλεως πόντου πολεμωνιακοῦ·
παύλου, τῆς μητροπόλεως τυάνων· ἀκακίου,
τῆς μητροπόλεως πεσινοῦντος· ἐπικτήτου,
κλαυδιουπόλεως· τῆς μητροπόλεως ὀνωριάδος·
πέτρου, τῆς μητροπόλεως ἰουστινιανουπόλεως·
τῆς δευτέρας καππαδοκῶν ἐπαρχίας· ζαχαρίου,
τῆς μητροπόλεως μιτυλήνης· ἡδίστου, τῆς μητρο-
πόλεως κίου· μάρκου, τῆς μητροπόλεως ἀπα-
μείας· τῆς βιθυνῶν ἐπαρχίας· αὐξεντίου, τῆς

μητροπόλεως Σηλυβρίας· Τιμοθέου, τῆς μητροπόλεως
Βεροίης· Ἰωάννου, τῆς μητροπόλεως Βοσπόρου· Δομε-
τιανοῦ, Ζηκχίας· Καλλῶα, Σμύρνης· Ἐπιφανίου,
Ἡρακλείας τῆς ἐπαρχίας Ὀνωριάδος· Ἀβραμίου,
Κρατίας· Ἀλεξάνδρου, Κολωνείας· Εὐγενίου,
Τίου· Κυριακοῦ, Θεοδοσιουπόλεως ἐπαρχίας
Φρυγίας Πακατιανῆς· Εὐσταθίου, Τιβεριου-
πόλεως· Θεοδότου, Ἀροίας· Εὐσεβίου, Παλαιᾶς
πόλεως· Θεοδώρου, Γορδίου· Ματθαίου, Κύμης·
Ἀλεξάνδρου, Ἐλούζων· καὶ Ἰωάννου, τοῦ Μηδαί·
συμπαρόντων δὲ αὐτῷ καὶ συνακροωμένων· καὶ
Θεοφάνους καὶ Πελαγίου, τῶν θεοφιλεστάτων
διακόνων τῆς ἀποστολικῆς καθέδρας· καὶ Μηνᾶ
καὶ Πέτρου, τῶν θεοσεβεστάτων νοταρίων· καὶ
τινῶν εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδικων·
καὶ λοιπῶν κληρικῶν, τοῦ αὐτοῦ ἀποστολικοῦ
θρόνου· οἳ καὶ συμπαρόντες ἔτυχον παραγενο-
μένῳ ἐνταῦθα ἀγαπητῷ τῷ τῆς ὁσίας μνήμης· γενο-
μένῳ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης· Μάγνου
πρεσβυτέρου· καὶ Ἡρακλείου διακόνου· καὶ
ἀποκρισιαρίων· Ἐφραιμίου τοῦ ὁσιωτάτου
πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλη-
σίας· Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ



ἡμῶν ἀναστάσεως· πληροῦντος τὰς ἀποκρίσεις,
Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων·
Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου, Σωτηρίχου
τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητρο-
πόλεως Καππαδοκίας πρώτης· Γαϊανοῦ πρε-
σβυτέρου καὶ ἀποκρισιαρίου, Ἐλπιδίου τοῦ
ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας· τῆς μητροπό- 502
λεως Γαλατίας πρώτης· Διονυσίου διακόνου·
καὶ Καλλινίκου διακόνου· τῶν ἀποκρισιαρίων,
Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως
Κορίνθου· παρόντος δὲ καὶ τοῦ εὐλαβεστάτου
κλήρου τῆς βασιλευούσης πόλεως, Εὐφήμιος
ὁ θεοσεβέστατος διάκονος· καὶ πριμικήριος
νοταρίων, εἶπε· δὲ ἤδη συνελθούσης τῆς ἁγίας
ὑμῶν συνόδου· κατὰ κέλευσιν τοῦ εὐσεβεστάτου
καὶ γαληνοτάτου ἡμῶν βασιλέως· καὶ διά-
φορων εὐλαβῶν μοναχῶν· ἔκ τε τῆς βασιλίδος
ταύτης πόλεως· ἔκ τε τῆς Θεουπολιτῶν· καὶ
προσέτι τῆς Ἱεροσολυμιτῶν τηνικαῦτα παρα-
γεγονότων, προσῆλθε τινὰ ἐπὶ Ἀνθίμῳ· καθὰ
τὰ περὶ τούτων πραχθέντα δηλοῖ· ἐν οἷς κατὰ
πρώτην τε καὶ δευτέραν τάξιν, προθεσμίαι
ῥηταὶ δίδονται· ἐπὶ ἀναζητήσει τοῦ αὐτοῦ

εὐλαβεστάτου ἀνδρός· ἐπεὶ τοίνυν καὶ τῶν ἐν ὑστέρῳ
δεδομένην παρ' ὑμῶν προθεσμίαν διαδραμεῖν
συνέβη· συνεληλυθυίας τε αὖθις τῆς ὑμετέρας ἁγιω-
σύνης· παραφυλάττουσι τὴν ὑμετέραν ἀκρόασιν
οἱ εἰρημένοι εὐλαβέστατοι μοναχοί· αἰτοῦντες εἰσόδου
τυχεῖν. ὑποβαλλομένων πρὸς τὸ παριστάμενον:-
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος· καὶ πᾶσα ἡ ἁγία
σύνοδος, εἶπεν· εἰσίτωσαν. καὶ εἰσῆλθον μαρι-
νιανὸς ὁ θεοφιλέστατος πρεσβύτερος· καὶ ἡγού-
μενος μονῆς δαλματίου τοῦ τῆς ὁσίας μνήμης·
καὶ ἔξαρχος· σὺν αὐτῷ τε οἱ θεοφιλέστατοι πρεσβύ-
τεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν
βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων· ἀγαπητός,
τῆς δίου· διόσκορος, τῆς ἁγίας εὐφημίας· ἀγαπητός,
τῆς θαλασσίου· παῦλος, τῶν ῥωμαίων· ἀντωνῖνος,
τῆς ἀσεβίου· στέφανος, τῆς ὀλυμπίου· ἀναστάσιος,
τῶν ῥωμαίων· δημήτριος, τῆς φωκᾶ· κυριακός,
τῆς εὐφημίου· ζωΐλος, τῆς θεοδότου· ἰουλιανός,
τῆς εὐφημίου· στέφανος, τῶν προμότου· ζήνων,
τῆς ἁγίας θεοτόκου ἐν τῇ πηγῇ· ἀλέξανδρος, τοῦ
καλαμίου· σάβας, τῆς καϊουμᾶ· ῥόδων, τῆς
θεοδώρου· γεννάδιος, τῆς κυριακοῦ· θεόδωρος,
τῆς μαρωνίου· σίλας, τῆς ἠλία· παῦλος, τῆς



σαμουηλίου· ἰωάννης, τῆς θεοδώρου· κυρίων,
τῶν αἰγυπτίων· βασίλειος, τῆς κυρακωνᾶ· ἰωάννης,
τοῦ ἁγίου ἀποστόλου θωμᾶ ἐν τοῖς μοδέστου· μάρκος,
τῆς θεοδώρου· φλαβιανὸς πρεσβύτερος καὶ
δευτεράριος τῆς μοδέστου τῶν λυκαόνων· μαρῖνος,
τῆς παύλου· θεόκτιστος τῆς ἁγίας θεοτόκου, πλησίον
τῶν ἰώβ· θεόδωρος, τῆς τρύφωνος· κοσμᾶς,
τοῦ ἁγίου ἰωάννου ἐν τοῖς στουδίου· πέτρος, 603
τῆς ἁγίας θεοτόκου· καὶ τοῦ ἁγίου διομήδους, ἐν ἱερουσαλήμ·
ἐλευθέριος, τοῦ ἁγίου κυριακοῦ· ἀλέξανδρος,
τῆς ἀβραμίου· θεόδωρος, τῆς ἰώβ· τρύφων,
τῆς ἐλπιδίου· στέφανος, τῆς κώνστα· βαβύλας,
τῆς δανιὴλ ἐν τῷ στύλῳ· ἰωάννης, τῆς ἀναστασίου·
ἄνθιμος, τῆς μεσώνος· ἰωάννης, τοῦ ἁγίου
μιχαὴλ τῶν χαρισίου· ἰωάννης, τῆς μαρᾶ· πλη-
σίον τῆς ἀετίου κινστέρνης· φωκᾶς, τῆς ἰωνᾶ·
πλησίον τοῦ δευτέρου· ζώσιμος, τῆς εὐτυχίου
τῶν λυκαόνων· τιμόθεος, τῆς ἀστερίου· στρατό-
νικος, τῆς δομετίου· πολυχρόνιος, τῆς αἰθερίου·
ἀνδρέας, τῶν ῥωμαίων· πλησίον τῆς κινστέρνης·
μαρτύριος, τῆς πέτρου· πλησίον τῶν ἀποστόλων·
ἀνδρέας, τῆς ἁγίας θεοτόκου· πλησίον τοῦ ἁγίου
λουκᾶ· μάρκος, τοῦ ἁγίου κηρύκου· ἰάκωβος,

τῆς ἀβίβου· σύρος ἀττικὸς, τῶν εὐκρατάδων·
ἰωσὴφ, τῆς ἁγίας θεοτόκου ἐν τῷ λιθοστρώτῳ· παῦλος,
τοῦ ἁγίου ἀποστόλου πέτρου· πλησίον τοῦ παλα
τίου· ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος,
τοῦ ἁγίου φιλίππου ἐν τῷ βρεφοτροφείῳ· γεώρ
γιος, τῆς κύρου· εὐσέβιος, τῆς συμεωνίου· ζω
τικὸς τοῦ ἁγίου ἀνδρέου πλησίον τῆς σατορνίνου
πόρτης· κυριακὸς, τοῦ ἁγίου ἰωάννου τῶν σουρ·
ζώσιμος, τῆς μαξιμίνου· πολυχρόνιος, τῶν
κρητικῶν· παῦλος, τῆς ἁγίας ἑρμιόνης, καὶ
τῶν ὑπὸ θεοῦ πολιν· παῦλος μοναχὸς καὶ ἀπο
κρισιάριος, μονῆς τῆς μαρωνος· σεβηριανὸς
πρεσβύτερος καὶ ἀρχιμανδρίτης, μονῆς ζωόρα
τῶν θερμῶν, σύρος· κασσίσας πρεσβύτερος
καὶ ἀρχιμανδρίτης μονῆς λουκᾶ, σύρος· συ
μεώνης διάκονος καὶ ἀποκρισιάριος, τῆς
ἰακώβου· ἰωάννης διάκονος καὶ ἀποκρισιά
ριος, τῆς θεοδώρου· στέφανος πρεσβύτερος
καὶ ἡγούμενος μονῆς εὐξερίου· ἰωάννης πρε
σβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἀδρώνη,
σύρος· φωτεινὸς μοναχὸς καὶ ἀποκρισιάριος,
μονῆς τοῦ ἁγίου στεφάνου· θεόδωρος διάκονος
καὶ ἀποκρισιάριος, τῆς ἐκκλησίας ἑρενδαλῶν·



σέργιος πρεσβύτερος, καὶ περιοδευτής· οἱ πάντες
πράττοντες ὑπὲρ ἑαυτῶν, καὶ τῶν λοιπῶν·
ἐπιμῶ καὶ τῶν ὑπὸ τοὺς ἁγίους χριστοῦ τοῦ ἀληθινοῦ
θεοῦ ἡμῶν, τόπους· δομνῖνος πρεσβύτερος καὶ
ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου μαρτυρίου·
ἡσύχιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς,
τοῦ μακαρίου θεοδοσίου· κασιανὸς πρεσβύτερος,
τῆς λαύρας τοῦ μακαρίου σάββα· κυριακὸς
πρεσβύτερος καὶ ἡγούμενος, τῶν πυργίων
τοῦ ἰορδάνου· γέσταβος πρεσβύτερος, λαύρας
τοῦ μακαρίου φιρμίνου· τερέντιος πρεσβύτερος,
τῆς νέας λαύρας· λεόντιος μοναχὸς ἡγούμενος
καὶ τοποτηρητὴς, τῆς ἐρήμου πάσης· τραϊανὸς 604
πρεσβύτερος, τῶν πυργίων τοῦ ἰορδάνου· πολύ
κτος διάκονος, τῆς μονῆς τοῦ ἀββᾶ θεοδοσίου·
θεόδωρος διάκονος καὶ μοναχὸς, τῆς αὐτῆς νέας
λαύρας· κήρυκος διάκονος καὶ μοναχὸς, τῆς
νέας λαύρας· ἀναστάσιος διάκονος, μονῆς τοῦ
μακαρίου μαρτυρίου· μαμᾶς μοναχὸς, τῆς
αὐτῆς μονῆς· ἰωάννης μοναχὸς, τῆς αὐτῆς μονῆς·
ἰουλιανὸς μοναχὸς, μονῆς τοῦ ἀββᾶ θεοδοσίου·
οἱ πάντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων· καὶ
πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως

μοναχῶν· ἰωάννης πρεσβύτερος τῆς πεδιάδος· καὶ
ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν· θεωνᾶς πρεσβύ-
τερος τοῦ σιναίου ὄρους· καὶ ἀποκρισιάριος τοῦ ὄρους,
καὶ τῆς ἐκκλησίας φαρὰν· καὶ λαύρας ῥαϊθοῦ· ὑπὲρ
πάντων τῶν ἐκεῖσε μοναχῶν· στρατήγιος διάκονος
καὶ μοναχὸς, μονῆς τοῦ μακαρίου ἰωάννου· ὑπὲρ
πάντων τῶν ἀπὸ σκυθόπολιν μοναχῶν:–

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος
εἶπεν:–

Ἀναγνωσθέντα τὰ τῇ προτεραίᾳ πραχθέντα. καὶ
λαβὼν παῦλος ὁ θεοσεβέστατος διάκονος καὶ νοτά-
ριος, ἀνέγνω. μετὰ τὴν ὑπατείαν φλαβίου
βελισαρίου τοῦ λαμπροτάτου· τῇ πρὸ μιᾶς νόννων
μαΐων· ἰνδικτιῶνος τεσσάρες καιδεκάτης· ἐν τῇ φιλο-
χρίστῳ καὶ βασιλευούσῃ κωνσταντίνου πόλει ῥώμῃ·
καὶ τὰ λοιπὰ τῆς δευτέρας πράξεως:–

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος· καὶ πᾶσα ἡ ἁγία
σύνοδος, εἶπε:–

Διδασκέτωσαν ἡμᾶς οἱ θεοσεβέστατοι διάκονοι· καὶ
νοτάριοι, πόσαι παρωχήκασιν ἡμέραι μετὰ τὴν
κατὰ δευτέραν τάξιν γενομένην σύνοδον:–

οἱ νοτάριοι εἶπον:–

Διδάσκομεν τὴν ὑμετέραν μακαριότητα· ὡς ἐκ τῆς



παρεχομένης ἡμέρας· τοῖς νῦν ἀναγνωσθεῖσιν ὑπο-
μνήμασι· μέχρι τῆς σήμερον καὶ αὐτῆς, πέντε εἰσὶν
ἡμέραι:–

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος· καὶ πᾶσα ἡ ἁγία
σύνοδος, εἶπε:–

Νῦν οἱ πρὸς ἀναζήτησιν κατὰ δευτέραν τάξιν παρ'
ἡμῶν ἀπονεμηθέντες, ἀνθίμου τοῦ εὐλαβοῦς·
εἰ τοῖς διαλαληθεῖσι πέρας ἐπιτεθείκασι,
διδαξάτωσαν:–

πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος ἰουστινιανουπό-
λεως· τῆς δευτέρας καππαδοκίας, εἶπε:–

Τὰ ὁσίως πραχθέντα παρὰ τῆς ὑμετέρας ἁγιω-
σύνης· καὶ ἡμῖν προσταχθέντα. εἰς ἔργον ἀγαγεῖν
σπουδάσαντες· ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ ἀπονεμηθέντες·
θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς βηρυ-
τίων μητροπόλεως· καὶ δόμνος ὁ θεοφιλέστατος
ἐπίσκοπος μαξιμιανουπόλεως· καὶ ῥωμανὸς·
καὶ ἰωάννης· οἱ θεοφιλέστατοι πρεσβύτεροι
καὶ ἔκδικοι· καὶ ἀνδρέας καὶ καλλώνυμος·
οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τῆς
ἁγιωτάτης μεγάλης ἐκκλησίας, γεγόναμεν
εἰς διαφόρους τόπους καθ' οὓς ἐνομίζετο εὑρί-
σκεσθαι ἄνθιμος ὁ εὐλαβέστατος· καὶ μετὰ

πάσης ἐπιμελείας τὴν ἀναζήτησιν ποιησάμενοι, οὐδαμοῦ τοῦτον εὑρεῖν δεδυνήμεθα. παραγενόμενοι δὲ καὶ ἐν τῷ σεπτῷ οἴκῳ τοῦ ἐνδόξου μάρτυρος Λαυρεντίου, ἐπυνθανόμεθα τῶν ἐκεῖσε κληρικῶν, εἰ οἴδασιν ὅπου διάγει ὁ μνημονευθεὶς εὐλαβέστατος ἀνήρ· οἵτινες μεθ᾽ ὅρκου εἰρήκασι, μὴ θεάσασθαι αὐτὸν ἀφ᾽ οὗ περ ἀπέστη τοῦ θρόνου ταύτης τῆς βασιλίδος πόλεως· μήτε εἰδέναι ἐν ποίῳ τόπῳ διάγει. ἔφησαν δὲ προάστειον αὐτὸν ἔχειν πλησίον τοῦ προφητείου, ἐν ᾧ ὥσπερ ἐχεῖρον ηὑρίσκον ἀπιών· καὶ κατὰ τὴν μονὴν Θεοδώρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου· πρὶν ἢ ἐπιλάβεται τῆς ἐπισκοπῆς ταύτης τῆς βασιλίδος πόλεως. οὓς παραλαβόντες καὶ γενόμενοι ἐν τοῖς εἰρημένοις τόποις· καὶ ἐπιζητήσαντες, οὐδὲ ἐν τούτοις αὐτὸν ἀνευρεῖν ἰσχύσαμεν· τῶν ἐκεῖσε εὑρεθέντων μεθ᾽ ὅρκου βεβαιωσαμένων· μήτε θεάσασθαι αὐτὸν ἀφ᾽ οὗ ἀνεχώρησε τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. λαβόντες δὲ κατὰ νοῦν τὴν οὖσαν διάθεσιν αὐτῷ πρὸς Πέτρον τὸν ποτὲ τῆς Ἀπαμέων γενόμενον πρόεδρον, παρεγενόμεθα καὶ ἐν τῷ προαστείῳ τῷ διαφέροντι τῷ αὐτῷ Πέτρῳ· πλησίον ὄντι τοῦ εὐκτηρίου οἴκου, τοῦ ἁγίου μάρτυρος Θύρσου· καὶ οὐδὲ ἐκεῖ αὐτὸν ἀνευρεῖν δεδυνήμεθα:-



Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος Βηρυτοῦ εἶπε·

Τοῖς ἐνθέσμως καὶ κανονικῶς ὑπὸ τῆς ἁγίας ὑμῶν συνόδου διαλαληθεῖσι, τὸ ἱκανὸν ποιοῦντες· ἐγώ τε καὶ Πέτρος καὶ Δόμνος· οἱ ὁσιώτατοι ἐπίσκοποι· καὶ Ῥωμανὸς καὶ Ἰωάννης· οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι· καὶ Ἀνδρέας καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τῆς ἁγιωτάτης ταύτης μεγάλης ἐκκλησίας, περιήλθομεν εἰς ἀναζήτησιν Ἀνθίμου τοῦ ἀλαβοῦς· ὀφείλοντες αὐτὸν προτρέψαι, τὸν ἱερὸν τοῦτον καταλαβεῖν σύλλογον· καὶ περὶ ὧν ἐγκαλεῖται τὰς ἀπολογίας ποιήσασθαι· καὶ δὴ ἐν πολλοῖς γενόμενοι τόποις· εὐκτηρίοις ἁγίοις· καὶ εὐαγέσι μοναστηρίοις, οὐ μόνον ἀλλὰ καὶ ἐν προαστείοις διαφέρουσιν αὐτῷ τε Ἀνθίμῳ· καὶ Πέτρῳ τῷ ἐκδικι· τῷ ποτὲ τὸν Ἀπαμείας ἀθέσμως ὑφαρπάσαντι θρόνον· ἐν οἷς αὐτὸν ἐνομίσαμεν διατρίβειν· καὶ περινοστήσαντες, οὐδαμῶς τοῦτον εὑρεῖν δεδυνήμεθα:-

Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης εἶπε:-

Ἀκολουθήσας κἀγὼ τοῖς κανονικῶς κελευσθεῖσι παρὰ τῆς ἁγίας ταύτης συνόδου, περιενόστησα

μετὰ Πέτρου καὶ Θαλασσίου τῶν ὁσιωτάτων ἐπισκόπων.
καὶ Ῥωμανοῦ καὶ Ἰωάννου, τῶν θεοφιλεστάτων πρεσβυ
τέρων καὶ ἐκκλησιεκδίκων· καὶ Ἀνδρέου καὶ
Καλλωνύμου, τῶν θεοσεβεστάτων διακόνων καὶ
νοταρίων, τοῖς παρ' αὐτῶν ἐξονομασθεῖσι τόποις.
καὶ οὐδαμοῦ τοῦτον εὑρεῖν δεδυνήμεθα:-

Ῥωμανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλη
σιέκδικος, εἶπε:-

Κἀγὼ παραγενόμενος ἅμα Πέτρῳ· Θαλασσίῳ καὶ
Δόμνῳ· τοῖς ὁσιωτάτοις ἐπισκόποις· καὶ Ἰωάννῃ
τῷ θεοφιλεστάτῳ συμπρεσβυτέρῳ μου ἐκδίκῳ·
καὶ Ἀνδρέᾳ καὶ Καλλωνύμῳ· τοῖς θεοφιλεστάτοις
διακόνοις καὶ νοταρίοις, ἐν τῷ σεπτῷ οἴκῳ τοῦ
ἁγίου μάρτυρος Λαυρεντίου· καὶ εἰσελθόντες ἐν
αὐτῷ, προετρεψάμεθα τοὺς θεοφιλεστάτους κλη
ρικούς, εἰπεῖν ποῦ δυνατὸν εὑρεθῆναι Ἄνθιμον
τὸν εὐλαβέστατον· ἐφ' ᾧ προσαγγελθῆναι αὐτῷ, τὰ
παρὰ τῆς κινουμένης ὑποθέσεως ἐπὶ τῆς εὐαγοῦς
συνόδου· καὶ μεθ' ὅρκου, οἱ αὐτοὶ εὐλαβέστατοι
κληρικοὶ, εἰρήκασιν· ὅτι ἴσμεν αὐτὸν ἔχοντα
προάστειον πλησίον τοῦ προφητείου τοῦ ἁγίου
Ἡσαΐου· καὶ ἐκεῖ τὰ πολλὰ διατρίβοντα. ἀπερχό
μενον δὲ καὶ ἐν τῷ μοναστηρίῳ Θεοδώρου τοῦ



θεοφιλεστάτου μοναχοῦ, συνεχέστερον· καὶ σω διά
γοντα αὐτῷ· ταῦτα ἴσμεν γίνεσθαι παρ' αὐτοῦ, πρὶν
ἢ ἐπιλαβέσθαι τῆς ἐπισκοπῆς ταύτης τῆς βασιλευούσης.
ἐπεὶ μήγε κατὰ τὸν τῆς ἐπισκοπῆς καιρὸν ἅπαξ καὶ
μόνον οἴδαμεν αὐτὸν θρέψαντα τοὺς εὐλαβεστάτους
αὐτοῦ κληρικοὺς τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας,
ἐν τῷ εἰρημένῳ προαστείῳ· ἐν συνάξει τῆς δεσποί
νης ἡμῶν τῆς θεοτόκου καὶ ἁγίας Μαρίας τῆς διακει
μένης ἐν Βλαχέρναις· προκένσου ὄντος βασιλικοῦ.
καὶ τοῖς αὐτοῖς λόγοις μεθ' ὅρκων χρησάμενοι, προ
σέθηκαν τοῦτο· ὅτι νῦν παντελῶς, οὐκ ἴσμεν ποῦ
ἐστιν. εἰ δὲ καὶ μετὰ ταῦτα δυνηθῶμεν διαγνῶναι
ποῦ διάγει, προσαγγέλλομεν τῇ ὑμῶν θεοφιλίᾳ.
καὶ ταῦτα ἀκούσαντες παρ' αὐτῶν, προετρεψάμεθα
αὐτοὺς ἐλθεῖν ἅμα ἡμῖν ἐν τῷ μοναστηρίῳ Θεοδώρου
τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ μοναχοῦ.
καὶ ἐν τῷ προαστείῳ τοῦ εὐλαβεστάτου Ἀνθίμου.
ὥστε καὶ ἐν ἐκείνοις τοῖς τόποις, τὴν ζήτησιν
αὐτοῦ ποιήσασθαι· καὶ γνῶναι ποῦ διάγει· καὶ δὴ
παραγενομένων ἡμῶν μετὰ τῶν εἰρημένων
εὐλαβεστάτων κληρικῶν· ἐν τῷ μοναστηρίῳ
Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ
ἡγουμένου τῆς αὐτῆς μονῆς· καὶ εἰσελθόντων ἐν

τῷ εὐκτηρίῳ οἴκῳ τοῦ αὐτοῦ εὐαγοῦς μοναστηρίου,
εὕρομεν ἐκεῖσε εὐλαβεστάτους μοναχοὺς αὐτοῦ· ἐν
οἷς ἦν καὶ Προκόπιος ὁ εὐλαβέστατος μοναχὸς καὶ
πρωτοδιάκονος· καὶ ἀκούσαντες παρ' ἡμῶν· ποῦ
διάγει Ἄνθιμος ὁ θεοφιλέστατος· διὰ τὸ ζητεῖσθαι
αὐτὸν ὑπὸ τῆς ἁγίας συνόδου, εἶπον ταῦτα· ὅτι
ὡς ἐνώπιον τοῦ θεοῦ λέγομεν· ὅτι πρὶν ἂν γένηται
ἐπίσκοπος ὁ κύριος Ἄνθιμος ταύτης τῆς βασιλευούσης
πόλεως, ἤρχετο συνεχῶς ἐν τῷ μοναστηρίῳ ἡμῶν·
καὶ πρὸς τὸν ἡγούμενον· καὶ συνδιῆγον ὁμοῦ· καὶ
εἶχον πρὸς ἀλλήλους διάθεσιν· ἀφοῦ δὲ ἐπελά-
βετο τῆς ἐπισκοπῆς, οὐκ ἦλθεν ἐνταῦθα· οὐδὲ
εἴδομεν αὐτοῦ ὄψιν· ὁ δὲ κύριος ἡγούμενος ἡμῶν,
ἀπῆλθεν εἰς εὐχὴν ἀπὸ πολλῶν ἡμερῶν· οὔτε δὲ
ἠκούσαμεν ὡς ἐπὶ τοῦ κυρίου, ποῦ διάγει Ἄνθιμος
ὁ εὐλαβέστατος· παραγενόμενοι δὲ καὶ ἐν τῷ προ-
αστείῳ Ἀνθίμου τοῦ θεοφιλεστάτου· καὶ εἰσελθόντες,
εὕρομεν ἐν αὐτῷ Στέφανον καὶ Λογγῖνον τοὺς προσή-
κοντας αὐτῷ· καὶ ἐρωτηθέντες παρ' ἡμῶν· ποῦ
διάγει ὁ εἰρημένος εὐλαβέστατος Ἄνθιμος, ἀπὸν
μεθ' ὅρκων μὴ εἰδέναι ποῦ διάγει· ἀλλ' αὐτοὺς
μόνους εἶναι ἐν τῷ αὐτῷ προαστείῳ· μὰ τὸν
φιλάνθρωπον δὲ θεόν· καὶ τὰς ἁγίας ὑμῶν εὐχάς,





ἀφοῦ ἐξῆλθε τῆς ἁγίας Μαρίας, οὐκέτι εἴδομεν
αὐτοῦ πρόσωπον· κἀκεῖθεν παραγενόμενοι ἐν
τῷ εὐκτηρίῳ τοῦ ἁγίου μάρτυρος Θύρσου, ἔγνωμεν
ὡς προάστειον πλησίον διάκειται, Πέτρου τοῦ
ποτὲ τῆς Ἀπαμέων ἐπισκόπου· ἐν ᾧ εὑρίσκεται
Ἄνθιμος ὁ εὐλαβέστατος· καὶ δὴ ἐκεῖσε γενόμενοι,
ἐπηρωτήσαμεν Θαλλέλαιον τὸν εὐλαβέστατον
μοναχόν, εἰ οἶδε τὸν εἰρημένον εὐλαβέστατον
Ἄνθιμον, ἐκεῖσε εἶναι· καὶ ἔφη σὺν μεθ' ὅρκων
αὐτός τε καὶ Σισίννιος τὴν τέχνην ἐργολάβος· ὅτι
οὐδὲ πρὶν ἢ γένηται ἐπίσκοπος· οὐδὲ μετὰ τὸ
γενέσθαι αὐτόν, οἴδαμεν ἐλθόντα ἐνταῦθα·
οὔτε δέ, ποῦ διάγει· καὶ ἀκούσαντες ταῦτα,
ἀνεχωρήσαμεν:-

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος· ἐκ-
κλησιέκδικος· καὶ ἐπὶ τῶν φυλακῶν· εἶπε:- 608.

Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι:-

Ἀνδρέας ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος, εἶπε:

Κατὰ τὴν ὁσίαν πρόσταξιν τῆς ὑμετέρας μακαριό-
τητος, ἀπήλθομεν ἅμα τοῖς εἰρημένοις ὁσιω-
τάτοις ἐπισκόποις· καὶ θεοφιλεστάτοις
πρεσβυτέροις καὶ ἐκδίκοις τοῖς σὺν ἐμοὶ προσ-
ταχθεῖσι παρ' ὑμῶν τῶν ὁσίων, τὴν ἀναζήτησιν

Ἀνθίμου τοῦ εὐλαβεστάτου ποιήσασθαι· καὶ γενόμενος σὺν αὐτοῖς ἐν οἷς αὐτοὶ προεδίδαξαν τόποις· καὶ διὰ πολλῆς ἐρεύνης γενόμενος, τοῦτον εὑρεῖν οὐκ ἠδυνήθην· ἐπήκουσα δὲ παρὰ τῶν προλεχθέντων κληρικῶν τοῦ ἁγίου μάρτυρος Λαυρεντίου· καὶ μοναχῶν τῆς μονῆς Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου· καὶ τῶν προσηκόντων ἀνθρώπων Ἀνθίμῳ τῷ εὐλαβεστάτῳ, πάντα τὰ ἀνενεχθέντα ὑμῖν παρὰ Ῥωμανοῦ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἐκδίκου:—

Ἱερώνυμος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος, εἶπε:—

Ὁσίως ἄρα κἀγὼ τοῖς προειρημένοις θεοφιλεστάτοις ἀνδράσι, κατατίθεμαι:—

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πα[τριάρχης] καὶ ἡ ἁγία σύνοδος, εἶπεν:—

Ἔοικε μὲν Ἄνθιμος ὁ εὐλαβέστατος, οὐκ ὀρθῷ συνειδότι κεχρημένος, τὴν παρ' ἡμῖν μέχρι καὶ νῦν ἄφιξιν, ἀναβάλλεσθαι· τί γὰρ τὸ κωλῦον ἦν· εἰ μὴ τοῖς κατ' αὐτοῦ προσαγγελθεῖσιν ὡς ἀληθέσιν· ἐνεδίδου γενέσθαι τε παρ' ἡμᾶς· καὶ καθὰ προσῆκον, ἀποκρίνασθαι· καὶ ἅμα τὴν τε θεοφιλῆ· καὶ ἱερατικῷ πρέποντι σχήματι παρασχέσθαι

202

πληροφορίαν· ἀλλ' εἰ καὶ πρὸς τὴν καθ' ἑαυτοῦ ψῆφον ἐκεῖνος ἡμᾶς ἤδη τό γε ἐφ' ἑαυτῷ κεκίνηκεν, ὅμως ἡμεῖς οὐδένα τρόπον· ἱερεῦσι θεοῦ πρεπούσης συμπαθείας πρὸς τὴν τῶν πλανωμένων ψυχῶν ἐπανόρθωσιν παρορῶντες, καὶ τρίτης αὐτῷ μεταδιδόαμεν προθεσμίας· ἧς ἐντὸς εἰ μὴ παραγένοιτο· καὶ τῶν προσηδελμένων ἑαυτὸν ἐλεύθερον καταστήσει· τὸ μὲν τέλος, τὰ οἰκεῖα τὸ ἐντεῦθεν ἐπιγράψειεν ἀπαθῆ· ἡμεῖς δὲ τοῖς τε εὐαγέσιν ἀκολουθοῦντες κανόσι· καὶ τοῖς ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης διωρισμένοις προσέχοντες, τὴν ἐπ' αὐτῷ δικαίαν ποιησόμεθα ψῆφον· ἀναζητήσουσι τοίνυν αὐτὸν καὶ νῦν· Θεαγένης ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως· καὶ Βάκχος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς μητροπόλεως Ἀντιοχέων τῆς Πισιδῶν ἐπαρχίας· καὶ Χριστοφόρος ὁ θεοφιλέστατος ἐπίσκοπος Πορφυρεῶνος Φοινίκης παραλίου· καὶ Ἰουλιανὸς καὶ Ἀμμώνιος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἔκδικοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· 509.
καὶ Παῦλος καὶ Μακάριος· οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι· καὶ εἰ εὕροιεν, παρασκευάσουσιν ἡμερῶν ἄλλων εἴσω δέκα, τὴν ἡμετέραν

παραφυλάξαι ἀκρόασιν· ὑπὲρ δὲ τοῦ πᾶσαν ἄγνοιαν
ἤτοι γε ἀληθεστέραν προσποίησιν αὐτῷ πρόφασιν ἀφε
λεῖν· γενέσθαι δὲ καὶ τὰ παρ' ἡμῶν ἐψηφισμένα παντὶ
τῷ τῆς βασιλίδος ταύτης πόλεως περιεστῶτι λαῷ
φανερά· καὶ κήρυγμα προτεθήσεται τὴν ἐπιδήμιον
γενομένην ζήτησιν παρ' ἡμῶν· καὶ πρὸς τὴν παρ' ἡμῶν
αὐτὸν ὁτεγοῦν ἄφιξιν προτρεπόμενον, ὑπεση
μηνάμην:-

## ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ

Μετὰ τὴν ὑπατείαν φλαβίου βελισαρίου τοῦ
λαμπροτάτου· τῇ πρὸ δεκαδύο καλανδῶν ἰου
νίων· ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης· ἐν τῇ
φιλοχρίστῳ καὶ βασιλευούσῃ κωνσταντινουπόλει
ῥώμῃ· προκαθεζομένου τοῦ δεσπότου ἡμῶν· τοῦ
ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ
ἀρχιεπισκόπου καὶ πατριάρχου, μηνᾶ· ἐν τῷ μεσαύλῳ
τῷ δυτικῷ τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης
ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου
μαρίας· τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης
ἐκκλησίας· καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόν
των αὐτῷ καὶ συνακροωμένων· κατὰ τὴν εὐσεβῆ
κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν
βασιλέως ἰουστινιανοῦ, τῶν ὁσιωτάτων καὶ
θεοφιλεστάτων ἐπισκόπων· σαβίνου, τοῦ κανουσίου·



ἐπιφανίου, ἐκλάνων· ἀστερίου, σαλέρνων· ῥου
στικοῦ, φεσούλων· λέοντος, νόλου· τῶν πάντων
ἐκ τῆς ἰταλῶν χώρας· προηνωμένων ἀπεσταλμένων
ἐκ τῆς ἀποστολικῆς καθέδρας· ὑπὲρ ὧν δὲ σωζόντων
παραγενομένων ἐνταῦθα ἅμα ἀγαπητῷ τῷ τῆς ἁγίας
μνήμης· γενομένῳ πάπα τῆς πρεσβυτέρας
ῥώμης· θαλασσίου, τῆς μητροπόλεως βηρυτοῦ·
μεγάλου, τῆς μητροπόλεως βερροίας· ἰωάννου,
γαβάλων· χριστοφόρου, πορφυρεῶνος· ἐπαρχίας
φοινίκης παραλίου· ἀρχελάου, κωρύκου· δαυίθου,
τοῦ κιρκινσίου· αἰθερίου, μαριάμμης· ἀλεξάν
δρου, βαρκούσων· σάμψου, μαξιμιανουπόλεως·
τῆς δευτέρας παλαιστίνης· ἀναστασίου, ἰωτάβης·
ἰωάννου, ζωόρων· ἀστερίου, ἀμαάρεως· ἀνδρέου,
τοῦ παμίου· ἐπιτυγχάνου, γέρμης· ἐπαρχίας
ἑλλησπόντου· παύλου, τοῦ στεκτορίου· ἀνδρέου,
πέλτων· θεοδώρου, μύρου· ἀνδρέου, ἀμυζόνος·
φλαβιανοῦ, κοτένων· ἠλίου, ἀδριανῶν· μακε
δονίου, βριάνων· θεοδωρίτου, ἀλίνδων· παμμο
νίου, καλλιπόλεως· λεοντίου, ἑλένου πόλεως·
λογγίνου, ὀρεστιάδος· ἰωάννου, καισαρείας
τῆς βιθυνίας· καὶ ἰωάννου, τραϊανουπόλεως·
φρυγίας πακατιανῆς· ἐκ δὲ τοῦ εὐωνύμου

μέρους, ὑπατίου τῆς μητροπόλεως Ἐφέσου· Κωνσταντίνου,
Ἡρακλείας· τῆς μητροπόλεως Εὐρώπης· Εὐσεβίου,
τῆς μητροπόλεως Κυζίκου· Θαλασσίου, τῆς μητροπόλεως
Νικομηδείας· Φωτεινοῦ, τῆς μητροπόλεως Χαλκη-
δόνος· Θεαγένους, τῆς μητροπόλεως Συνάδων·
Βάκχου, Ἀντιοχείας· τῆς μητροπόλεως Πισιδίας·
Ἰλδριανοῦ, τῆς μητροπόλεως Πέργης· Βοσπορίου, Νεο-
καισαρείας· τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ·
Παύλου, τῆς μητροπόλεως Τυανῶν· Ἀκακίου, τῆς
μητροπόλεως Πεσσινοῦντος· Ἐπικτήτου, Κλαυδιου-
πόλεως· τῆς μητροπόλεως Ὁνωριάδος· Πέτρου,
τῆς μητροπόλεως Ἰουστινιανουπόλεως· τῆς δευτέρας
Καππαδοκῶν ἐπαρχίας· Ζαχαρίου, τῆς μητροπό-
λεως Μιτυλήνης· Ἰωσίου, τῆς μητροπόλεως Κίου·
Μάρκου, τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν
ἐπαρχίας· Αὐξεντίου, τῆς μητροπόλεως Σηλυβρί·
Ἰωάννου, τῆς μητροπόλεως Βοσπόρου· Δομετιανοῦ
Ζηκχίας· Καλλώα Σμύρνης· Ἐπιφανίου, Ἡρακλ·
τῆς ἐπαρχίας Ὁνωριάδος· Ἀβραμίου, Κρατίας·
Ἀλεξάνδρου, Κολωνίας· Εὐγενίου, Τίου· Κυριακοῦ,
Θεοδοσιουπόλεως· ἐπαρχίας Φρυγίας Πακα-
τιανῆς· Εὐσταθίου, Τιβεριουπόλεως· Θεοδότου,
Εὐροίας· Εὐσεβίου, Παλαιᾶς πόλεως· Θεοδώρου,



Γόρδου· Ματθαίου, Κύμης· Ἀλεξάνδρου, Ἐλούζων·
καὶ Ἰωάννου, τοῦ Μηδαΐου· συμπαρόντων δὲ αὐτῶν
καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου·
τῶν θεοφιλεστάτων διακόνων, τῆς ἀποστολικῆς
καθέδρας· καὶ Μηνᾶ καὶ Πέτρου, τῶν θεοσεβεστάτων
νοταρίων· καὶ τινῶν εὐλαβεστάτων ὑποδιακόνων·
καὶ ἐκδίκων· καὶ λοιπῶν κληρικῶν, τοῦ αὐτοῦ
ἀποστολικοῦ θρόνου· οἳ καὶ συνόντες ἔτυχον παρα-
γενομένῳ ἐνταῦθα Ἀγαπητῷ τῷ τῆς ἁγίας μνή-
μης· γενομένῳ πάπα τῆς πρεσβυτέρας Ῥώμης·
καὶ Μάγνου πρεσβυτέρου· καὶ Ἡρακλείου δια-
κόνου· τῶν ἀποκρισιαρίων Ἐφραιμίου τοῦ
ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης
ἐκκλησίας· Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ
τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως· πληροῦντος τὰς ἀπο-
κρίσεις, Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱερο-
σολύμων· Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου,
Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισα-
ρείας· τῆς μητροπόλεως Καππαδοκίας
πρώτης· Γαϊανοῦ πρεσβυτέρου καὶ ἀποκρισια-
ρίου, Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου
Ἀγκύρας· τῆς μητροπόλεως Γαλατίας πρώτης·
Διονυσίου καὶ Καλλινίκου· διακόνων καὶ

ἀποκρισιαρίων Φωτίνου τοῦ ὁσιωτάτου ἐπισκόπου
τῆς μητροπόλεως Κορίνθου. παρόντος δὲ καὶ τοῦ
ἀλαβοῦ κλήρου τῆς βασιλευούσης πόλεως, Ἀφή-
μιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος
νοταρίων, εἶπε:-

Τρίτον ἤδη συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου
κατὰ κέλευσιν εὐσεβῆ τοῦ φιλοχρίστου καὶ γαληνο-
τάτου ἡμῶν βασιλέως. καὶ τινῶν ἐπὶ Ἀνθίμῳ
τῷ εὐλαβεῖ καὶ τῇ τούτου ἀναζητήσει πραχθέντων
παρὰ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. ψήφου τε ὁσίας παρ᾽
ὑμῶν προελθούσης. προθεσμίαν τε ἡμερῶν δέκα·
πρὸς τὴν ἀναζήτησιν αὐτοῦ ὁριζούσης. καὶ πρό-
γραμμα παρακελευομένης προτεθῆναι. προτρέπον
αὐτὸν παραγενέσθαι πρὸς τὴν ἁγίαν ὑμῶν σύνοδον·
ἐπειδὴ συνέβη τό, τε παρ᾽ ὑμῶν προσταχθὲν, ἔργῳ
προελθεῖν. καὶ τὴν δεδομένην κατὰ τὴν ὁσίαν ὑμῶν
ψῆφον προθεσμίαν διαδραμεῖν, συνελθούσης καὶ
νῦν τῆς ἁγίας ὑμῶν συνόδου. παραφυλαττόντων
δὲ τὴν ὑμετέραν ἀκρόασιν τῶν καὶ ἐν ἀρχῇ τὴν
μέμψιν κατὰ τοῦ αὐτοῦ εὐλαβεστάτου Ἀνθίμου
ποιησαμένων εὐλαβῶν μοναχῶν· τῆς τε βασιλίδος
ταύτης πόλεως· καὶ ἐκ τῆς θεουπολιτῶν διοική-
σεως· καὶ τῆς ἱεροσολυμιτῶν γε μὴν ἐνορίας. ἱ



αἰτοῦντων νῦν εἰσόδου τυχεῖν, ὑποβάλλομεν πρὸς τὸ
παριστάμενον:-

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπεν εἰσίτωσαν:

Καὶ εἰσῆλθε Μαρινιανὸς ὁ θεοφιλέστατος πρεσβύτερος
καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας
μνήμης, καὶ ἔξαρχος. καὶ σὺν αὐτῷ οἱ θεοφιλέστατοι
πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε
τὴν βασιλίδα πόλιν ἁγίων μοναστηρίων. Ἀγαπητός,
τῆς Δίου. Διόσκορος, τῆς ἁγίας Εὐφημίας. Ἀγαπητός,
τῆς Θαλασσίου. Παῦλος, τῶν Ῥωμαίων. Ἀντωνῖνος,
τῆς Αὐξεβίου. Στέφανος, τῆς Ὀλυμπίου. Ἀναστάσιος,
τῶν Ῥασμαίων. Δημήτριος, τῆς Φωκᾶ. Κυριακός,
τῆς Ἀφημίου. Ζώϊλος, τῆς Θεοδότου. Ἰουλιανός,
τῆς Ἀφημίου. Στέφανος, τῶν Προμότου. Ζήνων,
τῆς ἁγίας Θεοτόκου ἐν τῇ πηγῇ. Ἀλέξανδρος, τοῦ Καλλα-
μίου. Σάβας, τῆς Καϊουμᾶ. Κυριακός, τοῦ
ἁγίου Ἰωάννου τῶν Σύρων. Ἐλπίδιος, τῆς Βασι-
ανοῦ. Ζώσιμος, τῆς Μαξιμίνου. Πολυχρόνιος,
τῶν Κρητικῶν. Παῦλος, τῆς ἁγίας Ἑρμιόνης.
Ῥόδων, τῆς Θεοδώρου. Γεννάδιος, τῆς Κυριακοῦ.
Θεόδωρος, τῆς Μαρωνίου. Σίλας, τῆς Ἡλία.
Παῦλος, τῆς Σαμουηλίου. Ἰωάννης, τῆς Θεο-
δώρου. Κυρίων, τῶν Αἰγυπτίων. Βασίλειος,

τῆς κυρακωνᾶ· ἰωάννης, τοῦ ἁγίου ἀποστόλου
θωμᾶ, ἐν τοῖς μοδέστου· μάρκος, τῆς θεοδώρου.
μαξῖμος, τῆς παύλου· φλαβιανὸς πρεσβύτερος
καὶ δευτεράριος, τῶν λυκαόνων· θεόκτιστος, τῆς
ἁγίας θεοτόκου· πλησίον τῶν ἰώβ· θεόδωρος, τῆς
τρύφωνος· ἐλευθέριος, τοῦ ἁγίου κυριακοῦ.
κοσμᾶς, τοῦ ἁγίου ἰωάννου ἐν τοῖς σπουδαίου.
πέτρος, τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου διομήδους
ἐν ἱερουσαλήμ· ἀλέξανδρος, τῆς ἀβραμίου.
θεόδωρος, τῆς ἰώβ· τρύφων, τῆς ἐλπιδίου.
στέφανος, τῆς κώνστα· βαβύλας, τῆς δανιὴλ ἐν
τῷ στύλῳ· ἰωάννης, τῆς ἀναστασίου· ἀνθέμιος,
τῆς νίωνος· τιμόθεος, τῆς ἀστερίου· ἰωάννης,
τοῦ ἁγίου μιχαὴλ τῶν χαρισίου· ἰωάννης, τῆς
μάρας· πλησίον τῆς ἀετίου κινστέρνης· φωκᾶς,
τῆς ἰωνᾶ· πλησίον τοῦ δευτέρου· ζώσιμος, τῆς
ἀντιόχου τῶν λυκαόνων· στρατόνικος, τῆς
δομετίου· πολυχρόνιος, τῆς αἰθερίου· ἀνδρέας,
τῶν ῥωμαίων· πλησίον τῆς κινστέρνης· μαρτύ-
ριος, τῆς πέτρου· πλησίον τῶν ἀποστόλων.
ἀνδρέας, τῆς ἁγίας θεοτόκου· πλησίον τοῦ ἁγίου
λουκᾶ· μάρκος, τοῦ ἁγίου κηρύκου· ἰάκωβος,
τῆς ἀβίβου, σύρος· ἀντίοχος, τῶν εὐκρατάδων.



ἰωσήφ, τῆς ἁγίας θεοτόκου ἐν τῷ λιθοστρώτῳ· παῦλος,
τοῦ ἁγίου ἀποστόλου πέτρου· πλησίον τοῦ παλατίου.
ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος, τοῦ
ἁγίου φιλίππου ἐν τῷ βρεφοτροφείῳ· γεώργιος,
τῆς κύρου· ἀσέβιος, τῆς συμεωνίου· ζωτικός,
τοῦ ἁγίου ἀνδρέου· πλησίον τῆς σατορνίνου
πόρτης· θεόδωρος, μονῆς παῦ τοῦ καταστάσης·
πλησίον τοῦ μαρτυρίου τοῦ ἁγίου λαυρεντίου.
καὶ τῶν ὑπὸ θεούπολιν· παῦλος μοναχὸς καὶ
ἀποκρισιάριος, μονῆς τῆς μάρωνος· σευηριανὸς
πρεσβύτερος καὶ ἀρχιμανδρίτης, μονῆς ζωόρα
τῶν θερμῶν, σύρος· καπίσας πρεσβύτερος
καὶ ἀρχιμανδρίτης μονῆς λουκᾶ, σύρος· συμεώ-
νης διάκονος καὶ ἀποκρισιάριος, τῆς ἰακώβου.
ἰωάννης διάκονος καὶ ἀποκρισιάριος, τῆς
θεοδώρου· στέφανος πρεσβύτερος καὶ ἡγούμενος,
μονῆς εὐξερίου· ἰωάννης πρεσβύτερος καὶ ἀρχι-
μανδρίτης μονῆς τοῦ κυροῦ θωμᾶ, σύρος.
θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς
ἀνδρῶν, σύρος· φωτεινὸς μοναχὸς καὶ ἀπο-
κρισιάριος, μονῆς τοῦ ἁγίου στεφάνου· θεό-
δωρος διάκονος καὶ ἀποκρισιάριος, τῆς ἐκ- 613
κλησίας ἱερενδιληνῶν· σέργιος πρεσβύτερος

καὶ περιοδευτής· οἱ πάντες πράττοντες ὑπὲρ ἑαυτῶν
καὶ τῶν λοιπῶν, ἐπιμῶ, καὶ τῶν ὑπὸ τοῖς ἀγίοις Χριστοῦ
τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόποις· δομνῖνος πρεσβύτερος
καὶ ἀρχιμανδρίτης, μονῆς τοῦ μακαρίου μαρτυρίου·
ἡσύχιος πρεσβύτερος καὶ ἀποκρισιάριος, μονῆς
τοῦ μακαρίου θεοδοσίου· κασσιανὸς πρεσβύτερος
καὶ ἡγούμενος, τῆς λαύρας τοῦ μακαρίου σάββα·
κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος, τῶν πυργίων
τοῦ ἰορδάνου· μέσταβος πρεσβύτερος, τῆς λαύρας
τοῦ μακαρίου φιρμίνου· τερέντιος πρεσβύτερος,
τῆς νέας λαύρας· λεόντιος μοναχὸς καὶ τοποτηρητής,
τῆς ἐρήμου πάσης· τραϊανὸς πρεσβύτερος, τῶν
πυργίων τοῦ ἰορδάνου· πολύευκτος διάκονος,
τῆς μονῆς τοῦ ἀββᾶ θεοδοσίου· θεόδωρος διάκονος
καὶ μοναχός, τῆς νέας λαύρας· κήρυκος διάκονος,
τῆς αὐτῆς νέας λαύρας· ἀναστάσιος διάκονος, μονῆς
τοῦ μακαρίου μαρτυρίου· μάμας μοναχός, τῆς αὐτῆς
μονῆς· ἰωάννης μοναχός, τῆς αὐτῆς μονῆς· ἰουλιανὸς
μοναχός, μονῆς τοῦ ἀββᾶ θεοδοσίου· οἱ πάντες
πράττοντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων, καὶ
πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως, μοναχῶν·
ἰωάννης, πρεσβύτερος τῆς πεδιάδος· καὶ ὑπὲρ πάν-
των τῶν ἐκεῖσε μοναχῶν· θεωνᾶς, πρεσβύτερος



τοῦ σιναίου ὄρους· καὶ ἀποκρισιάριος τοῦ αὐτοῦ ὄρους, καὶ
τῆς ἐκκλησίας φαράν· καὶ λαύρας ῥαϊθοῦ· ὑπὲρ
πάντων τῶν ἐκεῖσε μοναχῶν· στρατήγιος διάκονος
καὶ μοναχός, μονῆς τοῦ μακαρίου ἰωάννου· ὑπὲρ
πάντων τῶν ὑπὸ σκυθόπολιν μοναχῶν:-

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπεν:-

Ἀναγνωσθέντων τῶν προειρημένων ταύτης ἕνεκα τῆς
ὑποθέσεως· καὶ ἀνεγνώσθησαν αἱ μὲν δύο πράξεις,
διὰ μακαρίου τοῦ εὐσεβεστάτου διακόνου καὶ νοτα-
ρίου· ἡ δὲ τρίτη, διὰ καλωνύμου τοῦ θεοσεβεστάτου
διακόνου καὶ νοταρίου:-

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος· καὶ πᾶσα ἡ ἁγία
σύνοδος, εἶπεν:-

Εἰ τὸ παρ᾽ ἡμῶν δίκαιον ἀληθὲς ἐπὶ τῇ ἀναζητήσει ἀνθίμου
τοῦ εὐλαβοῦς πέπραχασιν οἱ πρὸς τοῦτο ἀπονεμη-
θέντες θεοφιλέστατοι ἄνδρες, διδαχθῆναι βουλόμεθα:-

[illegible] ὁ ὁσιώτατος ἐπίσκοπος τῆς μητροπόλεως
συνάδων, εἶπε:-

Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης· καὶ
πάσης τῆς ὑποκειμένης ὑμῖν ἁγίας συνόδου
γενόμενος· ἅμα βάκχῳ τῷ θεοφιλεστάτῳ ἐπι- 614
σκόπῳ τῆς ἀντιοχέων λαμπρᾶς μητροπόλεως
τῆς πισιδῶν ἐπαρχίας· καὶ χριστοφόρῳ τῷ θεο

φιλεστάτῳ ἐπισκόπῳ Πορφυρεῶνος τῆς ὑπὸ Φοινίκην
παράλιον· καὶ Ἰουλιανῷ καὶ Ἀμμωνίῳ τοῖς θεοφι-
λεστάτοις πρεσβυτέροις, καὶ ἐκκλησιεκδίκοις
ταύτης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· καὶ Παύλῳ
καὶ Μακαρίῳ τοῖς θεοσεβεστάτοις διακόνοις· καὶ
νοταρίοις τοῦ ἁγίου ὑμῶν ἐπισκοπείου· ἐν τῷ
σεπτῷ ἀκτηρίῳ τοῦ ἁγίου μάρτυρος Σεργίου, ἐν
τοῖς Ὁρμίσδου· καὶ ζητούντων ἡμῶν Ἄνθιμον τὸν
εὐλαβέστατον, ἐπεδείχθη ἡμῖν οἶκος ἔνθα πρό-
τερον τὰς διατριβὰς ἐλέγετο ἔχειν· καὶ εὕρομεν
κλειστὴν ἐπικειμένην τὴν θύραν· ἐγενόμεθα δὲ καὶ
ἐν ἑτέροις τόποις, πρὸς ἀναζήτησιν τοῦ αὐτοῦ
εὐλαβεστάτου Ἀνθίμου, ἐν οἷς ἐνομίζετο εἶναι·
καὶ περιεργασάμενοι, οὐκ ἠδυνήθημεν γνῶναι
ποῦ διάγει· ἁπάντων ὡς ἐξ ἑνὸς στόματος
λεγόντων, μὴ ἑωρακέναι αὐτόν· μήτε εἰδέναι
ποῦ διάγει· ἀφ' οὗ ἐξῆλθε τῆς ἁγιωτάτης ἡμῶν
μεγάλης ἐκκλησίας· πάλιν μετὰ ταῦτα ἐν ἄλλῃ
ἡμέρᾳ ἀπελθόντες ἐν τῷ σεβασμίῳ οἴκῳ τοῦ
ἁγίου ἀρχαγγέλου Μιχαήλ· τῷ διακειμένῳ ἐν τοῖς
Ἀσεβᾶ παλατίῳ· καὶ συγκαλεσάμενοι τοὺς
εὐλαβεστάτους κληρικοὺς τοῦ αὐτοῦ ἀκτηρίου,
ἠρωτήσαμεν αὐτούς, περὶ τοῦ αὐτοῦ εὐλαβεστάτου



Ἀνθίμου· καὶ ἔφησαν μεθ' ὅρκου, μήτε ἑωρακέναι
μήτε εἰδέναι ποῦ διατρίβει· καὶ ταῦτα αὐτὰ ἐσπου-
δάσαμεν δῆλα καταστῆσαι τῇ ὑμετέρᾳ ἁγιωσύνῃ:–

Βάκχος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων
μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας ἐπι:–

Κατὰ τὴν ὁσίαν τῆς ὑμετέρας ἁγιωσύνης διαλαλιάν·
γενόμενος κἀγὼ ἅμα Θεαγένει καὶ Χριστοφόρῳ
τοῖς ὁσιωτάτοις ἐπισκόποις· καὶ Ἰουλιανῷ
καὶ Ἀμμωνίῳ τοῖς θεοφιλεστάτοις πρεσβυ-
τέροις καὶ ἐκκλησιεκδίκοις· καὶ Παύλῳ καὶ
Μακαρίῳ τοῖς θεοσεβεστάτοις διακόνοις καὶ
νοταρίοις· καὶ ἀναζητήσας σὺν αὐτοῖς Ἄνθιμον
τὸν εὐλαβέστατον ἐν διαφόροις τόποις, οὐδαμῶς
αὐτὸν εὑρεῖν δεδύνημαι:–

Χριστοφόρος ὁ ὁσιώτατος ἐπίσκοπος Πορφυρε-
ῶνος τῆς ἐπαρχίας Φοινίκης παραλίου ἐπι:–

Κατὰ τὰ κελευσθέντα ἡμῖν· παρά τε τῆς ὑμετέρας
μακαριότητος· καὶ τῆς συγκαθημένης ὑμῖν
ἁγίας συνόδου· γενόμενοι ἅμα Θεαγένης τε καὶ
Βάκχος· οἱ ὁσιώτατοι ἐπίσκοποι καὶ μητροπο-
λῖται· σὺν τῇ ἐμῇ ἀτελείᾳ· οὐ μὴν ἀλλὰ καὶ
Ἰουλιανὸς καὶ Ἀμμώνιος, οἱ θεοφιλέστατοι
πρεσβύτεροι· καὶ ἐκκλησιέκδικοι τῆς ἁγιω-

615 τὰ τῆς ἐκκλησίας· πρόσεστι δέ· καὶ Παῦλος καὶ
Μακάριος· οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτά-
ριοι τοῦ ἁγιωτάτου ὑμῶν ἐπισκόπου, ἀνεζητήσαμεν
ἄνθιμον τὸν ἀλαβέστατον· ἐφ' ᾧ καὶ ταῖς κινουμέναις
ἐπὶ ταύτης ἡμῶν τῆς ἱερᾶς συνόδου κατ' αὐτοῦ
κατηγορίας, προσαγγεῖλαι αὐτῷ· καὶ προτρέψαι
κατὰ τὸ δυνατόν, ἀπαντῆσαι αὐτόν· καὶ πρὸς
ταῖς μέμψεις ἀπολογήσασθαι· καὶ πρῶτον μὲν ἐν
τοῖς ὁρμισδου γενόμενοι· ἐν ᾧ οἴκῳ κατέμενε
πρὸ τοῦ ἁρπάσαι αὐτόν, τὸν τῆς βασιλίδος ταύ-
της πόλεως, ἀρχιερατικὸν θρόνον· κατινὰν
εὕρομεν ταῖς θύραις ἐμβεβλημένην· τοὺς δὲ τοῖς
ἐκεῖσε προσκαρτεροῦντας διερωτήσαντες· ὅπου
αὐτὸν ἐθεάσαντο, ἠκηκόαμεν λεγόντων μὴ
ἑωρακέναι τοῦτον, ἀπὸ πολλῶν ἡμερῶν· ὡσαύτως
δὲ καὶ ἐν τῷ σεπτῷ οἴκῳ τοῦ ἁγίου ἀρχαγγέλου
μιχαὴλ ἐν τῷ παλατίῳ γενόμενοι· ἑωρᾶτο γὰρ
τὸ πρωΐν, τοῖς ἐκεῖσε πυκνάζων· καὶ πυθό-
μενοι παρὰ τῶν αὐτόθι κληρικῶν· εἴ γε φάνη
αὐτοῖς ἐν ταῖς ἡμέραις ταύταις, ὁ παρ' ἡμῶν ἐπι-
ζητούμενος ἀλαβέστατος ἄνθιμος, μεθ' ὅρκων
παρ' αὐτῶν ἐπάθημεν· ὡς οὔτε εἶδον αὐτόν,
οὔτε γινώσκουσιν ὅπου ἐστίν· οὐκ ἐν τούτοις δὲ





μόνον, ἀλλὰ καὶ ἐν ἑτέροις μηνυθεῖσιν ἡμῖν
γεγονότες τόποις· καὶ πᾶσι δὲ αὐτοῦ τισὶ συζη-
τήσαντες· καὶ τούτους διερωτήσαντες· καθὼς
καὶ οἱ σὺν ἐμοὶ σταλέντες ὁσιώτατοι καὶ θεοφιλέ-
στατοι ἐπίσταται ἄνδρες, παρ' οὐδενὸς ἠδυνήθημεν
γνῶναι, ὅπου διάγει ὁ πολλάκις εἰρημένος
ἀλαβέστατος ἄνθιμος:-

βούλγαρος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ
ἐκκλησιέκδικος, εἶπε:-

Κατὰ τὴν ὁσίαν πρόσταξιν τῆς ὑμετέρας ἁγιω-
σύνης· ἀπελθὼν ἅμα θεαγενεῖ καὶ βακχίῳ
καὶ χριστοφόρῳ τοῖς ὁσιωτάτοις ἐπισκόποις·
καὶ ἀμμωνίῳ τῷ θεοφιλεστάτῳ πρεσβυτέρῳ
μου καὶ ἐκδίκῳ· καὶ παύλῳ καὶ μακαρίῳ
τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις,
ἀνεζήτησα σὺν αὐτοῖς ἄνθιμον τὸν εὐλαβῆ
ἐν πλείστοις καὶ διαφόροις τόποις· ἐν οἷς τοῦτον
εὑρεῖν ἐνομίσαμεν· καὶ οὐδαμοῦ τοῦτον
εὑρεῖν ἠδυνήθημεν· καὶ τοῦτο δὲ διδάσκω
τὴν ὑμετέραν ἁγιωσύνην· ὅτι προετέθη καὶ
τὸ πρόγραμμα τῆς ὑμετέρας ἁγιωσύνης,
καὶ οὐδὲ οὕτως αὐτὸν εὑρεῖν ἠδυνήθημεν:-

ἀμμώνιος πρεσβύτερος καὶ ἐκκλησιέκδικος, εἶπε:

665· Κατὰ τὰ κελευσθέντα παρὰ τῆς ὑμῶν ἁγιωσύνης· ἐγενόμην ἅμα τοῖς εἰρημένοις θεοφιλεστάτοις ἐπισκόποις· καὶ Ἰουλιανῷ τῷ θεοφιλεστάτῳ πρεσβυτέρῳ καὶ συνεκδίκῳ μου· καὶ Παύλῳ καὶ Μακαρίῳ τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις· πρῶτον μέν, ἐν τῷ οἴκῳ ἐν ᾧ κατέμενεν Ἄνθιμος ὁ εὐλαβέστατος· ὥστε εὑρισκομένου αὐτοῦ ἐκεῖσε, ἐμφανῆ αὐτῷ καταστῆσαι τὰ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου, προσταχθέντα· καὶ τὰς θύρας τοῦ αὐτοῦ οἴκου ἠσφαλισμένας εὑρόντες ἔξωθεν διὰ ἀκατίνας, ἐπυθανόμεθα τῶν παρατυχόντων, καὶ τοῦ ὀστιαρίου τοῦ οἴκου· ποῦ ἄρα διάγει ὁ εἰρημένος εὐλαβέστατος ἀνήρ· οἱ δέ, ἔφησαν, παντελῶς μὴ ἐπίστασθαι· μηδὲ γὰρ ὀφθῆναι αὐτὸν κατὰ τὸν αὐτὸν οἶκον, ἐκ πλείστου χρόνου· ἐγενόμεθα δὲ καὶ ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου ἀρχαγγέλου Μιχαήλ· καὶ τοὺς ἐν αὐτῷ θεοσεβεστάτους κληρικοὺς συναγαγόντες, ὡρκώσαμεν· εἴγε ἐπίστανται κατὰ τὸ αὐτὸ εὐκτήριον ἢ ἐν ἑτέρῳ τόπῳ διάγειν τὸν εἰρημένον εὐλαβέστατον ἄνδρα· οἱ δέ, ἀπωμόσαντο, μηδεμίαν παντελῶς τοιαύτην εἴδησιν περὶ αὐτοῦ ἔχειν· ἐγενόμεθα δὲ καὶ ἐν ἑτέροις διαφόροις τόποις, τοῦτον ἀναζητοῦντες· καὶ οὐδαμῶς



ἰσχύσαμεν καταλαβέσθαι ἔνθα διάγει· πάντων ταὐτὰ ἀπομνυμένων, οὐδαμῶς ἐπίστανται ποῦ νῦν ἐστί· διδάσκω δὲ τὴν ὑμῶν ἁγιωσύνην· ὡς καὶ τὸ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου γενόμενον πρόγραμμα· προσκαλούμενον τὸν εὐλαβέστατον Ἄνθιμον· παραγενέσθαι καὶ ἀπολογήσασθαι, τῇ ἁγίᾳ ὑμῶν ταύτῃ συνόδῳ, προτεθείκαμεν δημοσίᾳ ἀπὸ ἡμερῶν ἑπτά· ὥστε καὶ δι' αὐτοῦ μανθάνοντα τὰ παραστάντα τῇ ὑμῶν ἁγιωσύνῃ, ἐμφανῆ ἑαυτὸν καταστῆσαι· καὶ οὐδὲ οὕτω τινὰ οἵαν δή ποτε δήλωσιν, ἑαυτοῦ ἐποιήσατο:-

Παῦλος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος, εἶπε:-

Κατὰ πρόσταξιν δέσποτα τῆς ὑμετέρας μακαριότητος· καὶ τῆς ἁγίας ὑμῶν συνόδου, ἀπήλθομεν ἅμα τοῖς προειρημένοις θεοφιλεστάτοις ἀνδράσι· καὶ Μακαρίῳ τῷ θεοσεβεστάτῳ συνδιακόνῳ μου καὶ νοταρίῳ, ἐν διαφόροις τόποις· καὶ ἀναζητήσαντες Ἄνθιμον τὸν εὐλαβέστατον, τοῦτον εὑρεῖν οὐκ ἠδυνήθημεν:-

Μακάριος ὁ θεοσεβέστατος διάκονος νοτάριος καὶ ἀποκρισιάριος, εἶπε:-

Τοῖς ἅμα ἐμοὶ ἀπεσταλμένοις ὁσιωτάτοις ἀνδράσιν

ἀκολουθῶν, καὶ τῷ ταῦτα κατατίθεμαι:-

97 ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος, εἶπεν:-

Ἀναγινωσκέσθω καὶ τὸ προτεθὲν πρόγραμμα κατὰ
τὴν ἤδη προελθοῦσαν ψῆφον. καὶ λαβὼν Διόδωρος
ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος, ἀνέγνω:-

Μηνᾶς ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης
καὶ οἰκουμενικὸς πατριάρχης. καὶ πᾶσα ἡ ἐνδημοῦσα
τῇ αὐτῇ φιλοχρίστῳ νέᾳ Ῥώμῃ σύνοδος, Ἀνθίμῳ
τῷ ἀλαβεστάτῳ:-

Εἰ μέν τις ἦν σοι τοῦ προσήκοντος λόγος. καὶ τῆς
τῶν σοὶ ἐγχειρισθέντων ἀτόπων μεταμελείας ἐλπίς,
οὐδὲν ἂν τῶν παρόντων ἐδέησε κηρυγμάτων.
πάλαι δὲ ἂν τῷ τῆς ἀοιδίμου μνήμης πάπα τῆς
πρεσβυτέρας Ῥώμης Ἀγαπητῷ, φανερὰν τὴν
σαυτοῦ γνώμην καταστησάμενος. καὶ τὴν ἐπὶ τοῖς
ἤδη κατεγνωσμένοις δόγμασι μέμψιν ἀπολυ-
σάμενος, τῆς γοῦν τραπεζοποιῶν ἱερᾶς ἐπέφθης ἄν.
ἀλλ' οὔτε τὴν ὑπ' ἐκείνῳ ζήτησιν ὑπομείνας· ὑφ'
ἡμῶν τε προσκεκλημένος πολλάκις. καίτοι σοῦ τὸν
πρὸς μεταμέλειαν χρόνον τετυχηκώς, οὐδὲν σεαυ-
τοῦ γέγονας μετριώτερος. ἱερατικῆς τε φιλαν-
θρωπίας ὡς ἔοικε κρείττω τὴν ἑαυτοῦ διέδειξας

ἀπείθειαν. καὶ ἡμεῖς μέν, οὐδὲ συνιδεῖν ὑμῖν ἄξια τὰ
πραττόμενα παρὰ σοῦ. πλὴν ἀλλ' ἔτι τῷ τῶν ἀνθρώπων
ὀλισθηρῷ τὰ πταίσματα λογιζόμενοι. καὶ τὴν
μέχρι πολλοῦ πρὸς τοὺς ἡμαρτηκότας ἀνεξικακί-
αν, βραδείας γοῦν ὅμως ἐπανορθώσεως πρόφασιν
πολλάκις γενομένην ἀναθαρροῦντες, καὶ τῷ παρόντι
σε, προκαλούμεθα γράμματι. μὴ μέχρι παντὸς
ἐπὶ τῆς αὐτῆς ἑστάναι φιλονεικίας, τὴν σὴν παραι-
νοῦντες ἀλάβειαν. ἡμερῶν τεσσάρων τὸν ἀριθμὸν
ἐνδέξῃ. τῇ πάσῃ παραγενέσθαι συνόδῳ. καὶ ἣν ἐπὶ
τοῖς ὀρθοῖς κέκτησαι δόγμασι γνώμην, καθαρᾷ
διαδεῖξαι φωνῇ. σαφές τε τοῖς ἄλλοις ἅπασι
καταστῆσαι, ὁπόσα παρ' ὧν ἐπιεικῶν καὶ δικαστῶν
ἔστι φιλανθρώπων παραινέσεις, τοῖς ὀλισθαίνουσι
δύναται πρὸς ἀνάκλησιν. εἰ γὰρ δὴ καὶ ταύτης
ἡμῶν τῆς κλήσεως ὑπερίδοις, σοί τε οὐκ ἔτι
καιρὸς τὰ τῆς μετανοίας ἔσται λοιπόν. ἡμῖν δὲ ἀνάγκη
ἑτέρωθεν ἡ ἐξ ὧν πέπραχας, τὰ τῆς κρίσεως
εἰσαχθήσεται. ὑποσημηνάμενοι. προσετέθη
μηνὶ μαΐῳ πεντεκαιδεκάτῃ. ἰνδικτιῶνος,
τεσσαρεσκαιδεκάτης. μετὰ τὴν ὑπατείαν Φλα-
βίου Βελισαρίου τοῦ ἐνδοξοτάτου:-

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπεν:-

61 B Οἱ ὑπογράφοντες ἡμῖν εὐλαβέστατοι διάκονοι καὶ νοτάριοι, διδασκέτωσαν ἡμᾶς· τίνος χάριν τῆς ψήφου δέκα ἡμερῶν προθεσμίαν ὁριζούσης, τὸ προτεθὲν πρόγραμμα, ἓξ καὶ μόνον δίδωσι διορίαν:–

Οἱ νοτάριοι, εἶπον:–

Διδάσκομεν· ὡς ἡ μὲν ὁσία ψῆφος, προθεσμίαν δέδωκεν ἡμερῶν δέκα· ἐπί τε τῇ ἀναζητήσει καὶ τῷ προγράμματι· οὐκ ἐκέλευσε δὲ παραχρῆμα, τὸ κήρυγμα προτεθῆναι· γενομένης τοίνυν τῆς αὐτοῦ ἀναζητήσεως μέχρις ἡμερῶν τριῶν· καὶ ἐκείνου ἀφανοῦς ὑπάρχοντος, ἀναγκαῖον ἦν ταῖς ὑπολοίποις ἑπτὰ ἡμέραις, προτεθῆναι τὸ αὐτὸ ὅσιον πρόγραμμα τῆς ὑμετέρας μακαριότητος, καὶ τῆς συνούσης ὑμῖν ἁγίας συνόδου· τὸ ποιοῦν αὐτῷ τὰ παρ' ὑμῶν προστεταγμένα φανερά· ἐκείνην τοίνυν ἐφηκότως τὴν ἡμέραν, φέρει τὸ αὐτὸ κήρυγμα καθ' ἣν καὶ προτέθειται:–

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπεν:–

Οἱ ἐκ τῆς Ἰταλῶν χώρας συμπαρόντες ἡμῖν ὁσιώτατοι συλλειτουργοί· καὶ θεοφιλέστατοι διάκονοι καὶ οἱ εὐλαβέστατοι νοτάριοι τῆς ἀποστολικῆς καθέδρας· ἐπακούσαντες τῶν τε ἐπιδεδομένων δεήσεων τῷ θεοφυλάκτῳ ἡμῶν καὶ πιστοτάτῳ



βασιλεῖ· καὶ τῶν, Ἀγαπητῷ τῷ τῆς ἁγίας καὶ μακαρίας μνήμης προσδεδομένων λιβέλλων· καὶ ὧν παρ' ἡμῖν αὖθις οἱ τούτοις ἐπιδεδωκότες ἐποιήσαντο μέμψεων, κατὰ Ἀνθίμου τοῦ εὐλαβοῦς· καὶ ὡς ἐπὶ τοῖς κυριωτάτοις ἡ ἐπ' αὐτῷ προῆλθε κατηγορία· τοῦτο μέν, οὐχ ἑπομένου τοῖς ὀρθοῖς καὶ ἀποστολικοῖς τῆς ἀληθινῆς ἡμῶν πίστεως συγκαταθέσθαι δόγμασι· τοῦτο δέ, καὶ πρὸς τὴν Εὐτυχοῦς πλάνην τε καὶ κακοδοξίαν ἀποκλίναντος· καὶ τοὺς παρὰ τῆς ἐν Χαλκηδόνι ἁγίας καὶ οἰκουμενικῆς συνόδου· καὶ τῆς ἀποστολικῆς καθέδρας· καὶ τῆς ἐξ ἐκείνου μέχρι νῦν κρατούσης ἐκκλησιαστικῆς καταστάσεως· καθαιρεθέντας τε καὶ ἀναθεματισθέντας διὰ τὴν πρὸς Εὐτυχῆ κοινωνίαν τε καὶ ὁμοφροσύνην, περιπτυσσομένου· ἀφορῶντες δὲ καὶ πρὸς τὰς συνοδικὰς ἐπιστολάς· τὰς γενομένας παρὰ τοῦ τῆς ἁγίας καὶ μακαρίας μνήμης γενομένου ἡμῶν πατρὸς· τῆς πρεσβυτέρας Ῥώμης πάπα Ἀγαπητοῦ, κατὰ Ἀνθίμου· συλλογιζόμενοι δὲ καὶ τὴν μέχρι παντὸς αὐτοῦ ἀπείθειαν· μήτε κανονικαῖς κλήσεσιν εἶξαι· μήτε τὰς ἐπαχθείσας αὐτῷ μέμψεις, ἀποδύσασθαι

βουληθέντος. ὡς ἐπὶ τούτοις ἅπασι γνώμην ἔχουσιν, ἣν πᾶν ἀξιοῦ τῶς ἂν:-

Καὶ δὲ ἐγγραφωνημένην ἃς ὁ θεοσεβέστατος δὴ ἀναγνώστης καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, ἔχουσαν οὕτως:-

ανης επερισcοπιχοπινινι τασιαετηριυβρεραοκιες διαcονια ροs τολιcαεσεδις διχερυντ: δεφινιτιον ενσανcταερεcορδαπονις πατρισnος τριζυον δαn παραρεαgαρε τηnsυnοδιcις επιςτολις ρεκον ενασανcτισσιnοαρcηιεπισcοπονηις ρεgιαεηρο ισcονσταντινοπολιτανα εφαcτισαδι ταν δερερ σονα αντηνι τραρεζυηπιαγονδαν επισcοπιnος σεξυιρεροnηιαρροfιτενηηρ:-



Καὶ ἄλλοι πῆ σωεδραζουσα ἡ μὲν ἁγία σύνοδος. ἐπακούσασα πάντων τῶν ἐξ ἀρχῆς ἐπὶ τῇ κατὰ ἀνθίμον ὑποθέσει, πραχθέντων. καὶ τοῖς παρ᾽ ἡμῶν εἰρημένοις ἅπασι προσέχουσα, ἃ βούλεται προελθεῖν ἐπ᾽ αὐτῷ, φανερὰ ποιῆσαι καταξιώσατω:-



διὰ ὑπατίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς



ἐφεσίων μητροπόλεως τῆς ἀσιανῶν ἐπαρχίας, εἶπεν:



Πολλῶν παραβάσεων ἄνθιμος ὑπεύθυνος ἀποδέδεικται. τῶν μὲν περὶ ἱερῶν εὐαγῶν θεσμῶν, ὡς οὐδὲ καμμένων κατολιγωρήσας. καὶ μικροῦ δεῖν τῷ κατ᾽ αὐτὸν παραδείγματι, πᾶσαν ἐκκλησιαστικὴν συνταράξας κατάστασιν, τῷ μηδαμόθεν αὐτῷ προσήκοντι περιδεχθεὶς θρόνῳ. τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐπεμβαλὼν ἑαυτόν. καὶ κοινήν τινα σύγχυσιν τοῖς ἱερεῦσι τοῦ θεοῦ. καὶ τοῖς πιστοτάτοις λαοῖς, ἐργασάμενος. καὶ τοιοῦδε τοῦτο μόνον αὐτῷ κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν ἐσπουδάζετο. τῶν ἀτυχέστερον δὲ ὡς ἐξαλανθάνουσαν ἔχων. ἐπειδὴ τῆς οὕτω μεγάλης ἀρχιερωσύνης ἐγκρατὴς ἠδυνήθη γενέσθαι. καθ᾽ ὃν εἴρηται τρόπον, κατὰ σμικρὸν ᾤετο δεῖν τῷ τοιαύτην ἀσεβῆ νόσον ἐπινέμεσθαι ποιεῖν ταῖς ἁγιωτάταις τοῦ θεοῦ ἐκκλησίαις. καὶ τοὐναντίον ἢ παραιθεῖαι φωναὶ λέγουσιν, ἀντὶ τοῦ συναγείρειν τὰ λογικὰ τῆς ποίμνης τοῦ

θεοῦ πρόβατα, διαιρέσεις ἐμηχανᾶτο κατὰ πάσης τῆς ἐκκλησίας. ὡς κινδυνεῦσαι τὴν τοσούτοις κατορθωθεῖσαν πόνοις. τοῦ φιλοχρίστου ἡμῶν βασιλέως τῶν ἁγιωτάτων ἐκκλησιῶν ἕνωσιν,
620 εἰς πολλὰς διαιρέσεις ἐν βραχεῖ χρόνῳ κατατεμεῖν. ἀμέλει κατὰ μικρὸν παρεισδύουσαν τῇ τοιαύτῃ διαφθορᾷ. σχηματιζόμενος μὲν, δέχεσθαι τὰς ἁγίας συνόδους. τήν τε ἐν νικαίᾳ φαμὲν κατὰ τοῦ δυσσεβοῦς ἀρείου. καὶ τὴν ἐν κωνσταντινουπόλει. τὴν κατὰ τοῦ δυσσεβοῦς μακεδονίου. καὶ τὴν ἐν ἐφέσῳ πρώτην, τὴν κατὰ τοῦ δυσσεβοῦς νεστορίου. καὶ τὴν ἐν χαλκηδόνι. τὴν κατὰ τοῦ δυσσεβοῦς εὐτυχοῦς. καὶ τοῖς ἱεροῖς αὐτὰς ἔχων διπτύχοις συγκειμένης αὐταῖς, καὶ τῆς τοῦ μακαρίου πάπα λέοντος μνήμης. κατὰ μηδένα καιρὸν ἑτέρως ἢ μεταλαβὼν, ἢ μεταδιδοὺς τῶν παναγίων τοῦ θεοῦ μυστηρίων. ἑορτήν τε αὐτῶν κηρύττων καὶ ἐπὶ τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας, ποιῶν. ἀποπηδῶν δὲ καθόλου τῶν ὀρθῶν αὐτῶν ὁμολογιῶν. καὶ οὐδὲ μεγάλων ἀρχιερέων. οὔτε μὴν εὐλαβεστάτων ἡγουμένων. ὑπὲρ τῶν τοιούτων ἐπισκηπτόντων αὐτῷ, παντελῶς ἀνεχόμενος. ἢ τὴν τυχοῦσαν διδοὺς ἀπολογίαν. ὡς οὖν σμικρὸν ἑκάστης ἡμέρας,



αἴρεσθαι τὸ ἐπὶ τούτοις σκάνδαλον. τῶν μὲν ἀπίστων, ἐπεγγελώντων. τῶν δὲ πιστῶν, ὀδυρομένων. καὶ τῶν ὀλιγοπίστων ἔτι μᾶλλον θορυβουμένων τε καὶ εἰς τὸ χεῖρον καταπιπτόντων. ἐπὶ τοῖς τοιούτοις, καὶ βασιλεὺς ὁ μέγας εἰς αὐτὸν καθάψας. καὶ τῆς τοῦ πρώτου τῶν ἀποστόλων ἀναμνήσας αὐτὸν ὑφηγήσεως. ἥ φησιν, ἑτοίμους ἡμᾶς ἀεὶ χρῆναι εἶναι πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, πλέον οὐδὲν ὤνησεν. ἀλλὰ καὶ πρὸς τὴν αὐτοῦ γαληνότητα λόγοις ἀπατηλοῖς κεχρημένος, ἐπηγγέλλετο πάντα ποιήσειν, ὅσα ὁ τῆς μεγάλης ἀποστολικῆς καθέδρας ἀρχιερεὺς, ὑφηγήσοιτο. καὶ πρὸς τοὺς ἁγιωτάτους πατριάρχας ἔγραφεν. ἀκολουθεῖν διαπαντὸς τῇ ἀποστολικῇ καθέδρᾳ. τοῦ μεγάλου δὲ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ. μὴ μέχρι παντὸς τὰ τοιαῦτα προϊέναι συγχωροῦντος, ἐπέστη αὐτῇ τῇ βασιλίδι πόλει. κατὰ τὴν αὐτοῦ θεότητα, ἀγαπητὸς ὁ τῆς ἁγίας καὶ ἀοιδίμου μνήμης. ὁ μακαριώτατος πάπας. καὶ τοῖς μὲν ἱεροῖς κανόσιν εὐθεῖ μετὰ θεοῦ χαρᾷ ὀρέξας, τὸν μὲν, τῆς οὐ προσηκούσης αὐτῷ καθέδρας, ἀπήλασε. συγγνώμης δὲ τοῖς μετασχοῦσιν ἤτοι κεκοινωνηκόσι τοῦ τοιούτου πράγματος,

μετέδωκε· καὶ τῇ βασιλίδι καὶ φιλοχρίστῳ πόλει,
τὸν ἑαυτῆς ἱερατικὸν ἀποδέδωκε κόσμον· τὴν
ὑμετέραν ἀναδείξας μακαριότητα τῆς μεγάλης
ταύτης καὶ ἱερᾶς ἡγεῖσθαι καθέδρας· ἐπειδὴ δὲ
621. καὶ τῆς ἐπὶ τοῖς δόγμασιν ἀσεβείας ἐγκλήματα
αὐτῷ μυρία ἀκόντως ἐπηρτᾶτο, δεήσεσί τε καὶ λι-
βέλλοις πολλοῖς τῷ τε εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ·
καὶ αὐτῷ τῷ μακαριωτάτῳ πάπᾳ παρὰ διαφόρων
ἀλλαβώνων ἀνδρῶν, ἐπεδίδοντο· πολλοῖς μὲν ἱδρῶσι
τὴν αὐτοῦ ψυχὴν ἀνακαλέσασθαι προθύμως ἐσπού-
δασεν ὁ αὐτὸς ἁγιώτατος πάπας· ὡς δὲ ἀνιάτως
ἔχοντα εὗρε· καὶ τὰ μὲν εὐσεβῆ δόγματα παραιτού-
μενον· καὶ προσέτι γε διαβάλλοντα καὶ τὴν ἐν δύο
φύσεσι φωνὴν τοῦτο ὅπερ κατὰ Εὐτυχοῦς μάλιστα
ἡ ἐν Χαλκηδόνι ἁγία διώρισε σύνοδος, καθάπαξ
ἀρνούμενος· τοὺς δὲ ὀρθῶς κατακριθέντας ὑπὸ
τῆς αὐτῆς ἁγίας συνόδου, παραιτούμενον ἀποστρέ-
φεσθαι· τοὐναντίον μὲν οὖν καὶ περιπτυσσόμενον
αὐτούς· καὶ τό γε ἐπ' αὐτῷ, Διόσκορόν τε αὐτὸν
Εὐτυχέα, δεικνύναι σπουδάζοντα καθάπαξ
ἀνεύθυνον· ἐφ' οἷς ἑάλω κακοδοξιῶν, τῇ φορεν-
γράμμασιν ἐξάγει φιλανθρωπίας τε ἅμα καὶ
ἀποπρεποῦς ὁσιότητος μεστήν· ἐνδεδωκὼς μὲν αὐτῷ



μετανοίας καιρόν· ἀποφηνάμενος δὲ ἕως πρὸς
τὴν τοιαύτην γνώμην μεταβαλὼν, τὸν ἱκανὸν τοῖς
παρὰ τῶν ἁγίων πατέρων διωρισμένοις δογματικῶς
τε καὶ κανονικῶς ποιήσει· μήτε καθολικοῦ·
μήτε ἱερέως αὐτὸν ἔχειν ὄνομα· τούτοις ἑπόμενος
ὁ φιλόχριστος ἡμῶν βασιλεύς· ἀπιδὼν δὲ καὶ πρὸς
τὰς ἐπιδεδομένας τῇ αὐτῶν γαληνότητι παρὰ
διαφόρων ἀλλαβώνων προσώπων, δεήσεις· τήν τε
ὑμετέραν μακαριότητα καὶ ἡμᾶς σύμπαντας,
εἰς ταυτὸν ἐπὶ τούτῳ συνελθεῖν α̃ ποιῶν, ἐδικαί-
ωσε· καὶ τοῖς εὐαγέσι τῶν ἁγίων ἡμῶν πατέρων
ἀκολουθοῦντες κανόσι· κλήσεσί τε ἱεραῖς αὐτὸν
προσηγούμεθα, καὶ καιρὸν αὐτῷ μετανοίας ἐνε-
δεδώκαμεν· καὶ ἀποκρυπτομένῳ· καὶ τὴν ἰατρείαν
ἀπαγορεύοντι, καὶ κηρύγματι δῆλα τὰ παρ' ἡμῶν
ἐποιοῦμεν· ὡς δὲ τούτοις ἅπασιν αὐτὸν εἰς ἐπι-
στροφὴν ἀγαγεῖν οὐκ ἰσχύσαμεν, σαφῆ ταύτην
ἀπόδειξιν τῆς αὐτοῦ κακοδοξίας λαβόντες· ἀ-
κολουθοῦντες δὲ καὶ τοῖς ὑπὸ τοῦ ἁγιωτάτου
καὶ μακαριωτάτου πάπα καλῶς δεδοκιμα-
σμένοις, συνορῶμεν ἅ τοῦτο ὑμῖν παρασαίκ,
καθάπαξ αὐτὸν ὡς μέλος ἄχρηστον καὶ σεσηπός,
ἀποβληθῆναι τοῦ σώματος τῶν ἁγίων τοῦ θεοῦ

ἐκκλησιῶν· καὶ τῆς Τραπεζουντίων ἐπισκοπῆς ἔξω
γινόμενον· καὶ πάσης ἱερατικῆς ἀλλοτριούμενον
ἀξίας καὶ ἐνεργείας· καὶ κατὰ τὴν αὐτοῦ τοῦ ἁγιω-
τάτου πάπα ψῆφον, τῆς τοῦ καθολικοῦ προσηγορί(ας):-

622. : ψῆφος μηνᾶ κατὰ ἀνθίμου:-

ὁ ἁγιώτατος καὶ μακαριώτατος οἰκουμενικὸς
ἀρχιεπίσκοπος καὶ πατριάρχης μηνᾶς, εἶπε:

Τοῦ σωτῆρος ἡμῶν ἰῦ χῦ τοῦ ἀληθινοῦ θῦ ἡμῶν· δεδωκότος
ἐξουσίαν τοῖς οἰκείοις ἱερεῦσιν· ἐκτίλλειν τε καὶ κατα-
φυτεύειν· καθαιρεῖν τε καὶ οἰκοδομεῖν, εὐχόμεθα
τοῦ μὲν οἰκοδομεῖν τε καὶ καταφυτεύειν, ἅπαντα
ἡμῖν εἶναι καιρόν· μηδένα δὲ τοῦ ἐκτίλλειν τε καὶ
καθαιρεῖν· ἀλλὰ δεινὸν ὡς ἔοικεν ἡ τῆς ἀληθείας
παράβασις· καὶ μεγίστη τοῖς χρησαμένοις ὁδὸς, πρὸς
ἀπώλειαν· ἔνεστι γὰρ ἀκριβῶς σκοπουμένοις τὴν
ἀνθίμου προαίρεσιν, πολλοὺς εἰς αὐτὸν ἱερατικοὺς
ἰδεῖν παραβαθέντας θεσμούς· ὁ δὲ, τὴν πρὸς τὸ θεῖον
οὐ διατηρήσας ὁμολογίαν· ἀλλὰ καὶ τῆς ἐκεῖθεν
ἀναχωρήσας ἐλπίδος, πῶς οὐ τῆς οἰκείας ἀντικρὺς
εἶναι δόξειε κατήγορος ἀτοπίας, ταύτῃ τοι ἄρα
καὶ ἡμεῖς ὥσπερ τινὰ ἕλκους τῶν ἀνιάτων νομὴν
ἐπειγόμενοι στῆσαι· εἰ τὴν τοῦ πεπονθότος μέλους ἐκ-
τομὴν ποιησαίμεθα· περιφρονοῦντες τῆς ἐντεῦθεν



συμβησομένην ὀδύνην, πρὸς τὴν παροῦσαν ἐλθεῖν
ἠναγκάσμεθα, ψῆφον· βαλλόμενοι μὲν, ταῖς ἐκ ταύ-
της ἀνίαις· τῷ δὲ κοινῷ τῆς καθολικῆς ἐκκλησίας
συμφέροντι, τὸ σύμπαν νέμοντες· ἢ παρὰ ταῖς αὐτοῦ
ἕκαστος ἡμῶν, οἰκείαις συμπαθείαις· ἐπειδὴ γὰρ
διαφόρων ἐπ' αὐτῷ μεμψέων δογματικῶν τε καὶ
κανονικῶν γενομένων· ὁ μὲν τῆς ὁσίας μνήμης
πάπας τῆς πρεσβυτέρας ῥώμης, ἀγαπητός· μετα-
μελείας αὐτῷ καιρὸν ἐνδιδούς· ἕως ἂν ἅπαντα
τὰ τοῖς ἁγίοις πατράσι διωρισμένα φανείη δεξά-
μενος, οὐδὲ ἱερέως· οὐδὲ καθολικοῦ προσηγορί(ας)
αὐτὸν ἔχειν, συνεχώρει· ἡμεῖς δέ· καὶ γὰρ περὶ
τῶν αὐτῶν ἐνοχλουμένους περιορᾶν οὐκ ἐνῆν τὰ
λεγόμενα· τὴν ἱερᾶσι πρέπουσαν ἐπὶ τοῖς τοιούτοις
ὁδὸν μετιόντες, κανονικαῖς αὐτὸν ἐπηγόμεθα
κλήσεσιν· ἀνακωχαῖς τε παρειχόμεθα πρὸς μετά-
γνωσιν· καὶ τὸ δὴ πέρας, οὐδὲ τῶν εἰθισμένων
ἀπεσχόμεθα προγραμμάτων· ὁ δὲ, τοσοῦτον ἐδέησε
τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς, ἢ τῆς τῶν προσηγ-
γελμένων ἀπολογίας, ὡς μηδὲ παραγενέσθαι
καθάπαξ· μηδὲ αὐτὸ γοῦν τὴν παρ' ἡμῶν ἐξέτα-
σιν ὑποστῆναι· καὶ γὰρ ἦν αὐτῷ κατήγορος ὡς 623.
ἔοικεν ἡ συνείδησις· καὶ τὸ τοῖς ἐγκεκληκόσιν

ἀποχωρεῖν, καθαρὰν εἰσάγε τοῦ πταίσματος συγκατά-
θεσιν· ψυχήν τε πλημμελεῖν εἰθισμένην, δύσκολος
εἰς μετάνοιαν· καὶ ὃ μάλιστα πολλὰ εἶναι τὰ εἰς
ταύτην ἀνθέλκοντα· ὅθεν ἐπιδακρύσαντες τῇ
ἀμεταμελήτῳ τῆς αὐτοῦ προαιρέσεως ἀπειθείᾳ·
καὶ τῇ καταλαβούσῃ τὴν ἐκείνου ψυχὴν ἐπιστενάζον-
τες πλάνῃ· ἑπόμενοι τῇ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν παναγίᾳ φωνῇ διδασκούσῃ μηδὲ τῶν οἰκεί-
ων φείδεσθαι μελῶν· εἴπερ ἡμῖν σκανδάλου παραί-
τια γίνοιντο· ἀλλὰ καὶ τὴν τούτων ἐκτομὴν ποιεῖσθαι
παραινούσης, πρὸς τὴν τοῦ παντὸς ἀκεραιότητα
σώματος· ἀποβλέποντες δὲ καὶ πρὸς τὰ παρὰ σοῦ τὰ
πρώην ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης πάπᾳ τῆς
πρεσβυτέρας ῥώμης· καὶ ὡς οὐδὲ καιρὸν λαβὼν
μετανοίας, εἵλετο τῆς καλλίονος γνώμης γενόμενος,
τοὺς ὑπ' αὐτοῦ σκανδαλισθέντας πληροφορῆσαι·
καὶ νῦν καὶ πρὸς τὰ νῦν παρὰ τῆς συνούσης ἡμῖν
ἁγίας κεκριμένα συνόδου· καὶ τῆς τραπεζουντίων
τὸν αὐτὸν αὐθίμον, ἱερωσύνης ἔξω καθεστάναι
συγχωροῦμεν· πάσης τε ἑτέρας αὐτὸν ἱερατικῆς
προσηγορίας τε ἅμα καὶ ἀξίας καὶ ἐνεργείας,
ἀλλότριον εἶναι τοῦ λοιποῦ· καὶ ὅλως τοῖς ἐν
ὀρθοδόξοις ἀριθμεῖσθαι ἀποψηφιζόμεθα· οὐδὲ





τῆς αὐτῆς τραπεζουντίων ἐπὶ καθάπαξ, οὐδὲ τῆς
βασιλίδος ταύτης ἐπιβῆναι δυνάμενον πόλεως:-
Καὶ μετὰ τὸ ἀναστῆναι τὴν ἁγίαν σύνοδον· οἱ ἐκ τῆς
ἀνατολικῆς· καί τινες δὲ τῶν ἄλλων ἐπισκόπων·
καὶ οἱ μοναχοί· καὶ οἱ κληρικοί, ἐβόησαν:-
Πολλὰ τὰ ἔτη τοῦ βασιλέως· πολλὰ τὰ ἔτη τοῦ
πατριάρχου· πέτρον· καὶ ζωόραν· καὶ σευῆρον,
ἄρτι ἀναθεμάτισον· τοὺς ἐχθροὺς τοῦ θεοῦ, ἄρτι
ἀναθεμάτισον· ὀρθόδοξον βασιλέα ἔχων, τί
φοβῆσαι· τοὺς παραβάτας, ἔξω βάλε· καὶ
ἐπιδόντων τῶν μοναχῶν ἱεροσολύμων χάρτην,
ἅπαντες ἐβόησαν· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου·
τὸν λίβελλον τῶν μοναχῶν, ἄρτι δέξαι· ὁ λίβελλος,
ἄρτι ἀναγνωσθήτω· τοὺς κατ' οἶκον βαπτίζοντας,
ἔξω βάλε· τὸ σπήλαιον τοῦ ζωόρα, ἄρτι στρέψον·
πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· τὸν παραβατιστήν,
ἄρτι ἀναθεμάτισον· τοῦ χριστιανοῦ βασιλέως,
πολλὰ τὰ ἔτη· ὀρθοδόξου βασιλέως, πολλὰ τὰ
ἔτη· τὰ σπήλαια τῶν αἱρετικῶν, ἄρτι καῦσον·
πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· τὰ μοναστήρια
πέτρου, ἄρτι στρέψον· νικᾷ ἡ πίστις τοῦ βασιλέως·
ὀρθόδοξον βασιλέα ἔχει· τίνα φοβῆσαι· πέτρος
μοναστήρια διατί ἔχει· πάντας τοὺς αἱρετικοὺς

524

ἐκεῖ ἔχει· Σευῆρον καὶ Πέτρον καὶ Ζωόραν, δέσποτα ἀναθεμάτισον· ἡ Τριάς, τοὺς τρεῖς ἀναθεματίζει· ἀνάθεμα Σευήρῳ καὶ Πέτρῳ καὶ Ζωόρᾳ· Σευῆρον τὸν μανιχαῖον, δέσποτα ἀναθεμάτισον· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· τοὺς ἐχθροὺς τοῦ Χριστοῦ, δέσποτα ἀναθεμάτισον· τοὺς αἱρετικούς, δέσποτα ἀναθεμάτισον· τοὺς ἀναθεματισθέντας, δέσποτα ἀναθεμάτισον· νικᾷ ἡ πίστις τῶν χριστιανῶν:-

ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε:-

Νομίζομεν μηδὲ τὴν ὑμετέραν ἀγάπην ἀγνοεῖν τὴν προαίρεσιν καὶ τὸν ζῆλον τοῦ εὐσεβοῦς καὶ θεοφυλάκτου ἡμῶν βασιλέως, ὃν ἐπὶ τῇ ὀρθοδόξῳ ἡμῶν ἔχει πίστει· καὶ προσήκει μηδὲν τῶν ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κινουμένων, παρὰ γνώμην αὐτοῦ καὶ κέλευσιν γενέσθαι· παρακαλοῦμεν τοίνυν τὴν ὑμετέραν ἀγάπην, ἐπὶ τοῦ παρόντος ἡσυχάσαι· ὥστε καιρὸν ἡμᾶς λαβεῖν ἀνενεγκεῖν ταῖς εὐσεβέσιν αὐτοῦ ἀκοαῖς, τὰ παρ᾽ ὑμῶν ἐκβοηθέντα· ἡμεῖς γάρ, ὡς καὶ ἡ ὑμῶν ἐπίσταται ἀγάπη, τῷ ἀποστολικῷ θρόνῳ ἐξακολουθοῦμέν τε καὶ πειθόμεθα· καὶ τοὺς κοινωνικοὺς αὐτοῦ, κοινωνικοὺς ἔχομεν· καὶ τοὺς ὑπ᾽ αὐτοῦ κατακριθέντας, καὶ ἡμεῖς κατακρίνομεν:-



ὑπογραφαί:-

Μηνᾶς ἐλέῳ θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης· ὁρίσας, ὑπέγραψα:-

Ὑπάτιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας, ὁρίσας, ὑπεσημηνάμην:-

Κωνσταντῖνος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν τὴν φιλόχριστον μητρόπολιν τῆς Εὐρώπης ἐπαρχίας, ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· ὁρίσας, ὑπέγραψα:-

Εὐσέβιος ἐπίσκοπος Κυζίκου· ὁρίσας, ὑπεσημηνάμην:-

ἐγὼ σαβῖνς ἐπίσκοπς σανκτε ἐκκλεσιαε κανυσιων
ε δεφινιτιονης ἀνκταε ρεσορδατιονις ρατρις νος
τρι ραραε αδαρετι δερερσονα ἀντηινι τραρεζυν
πιδ νον δαν ἐπισκοπις ε δυε νσι νομνιδυσσυ δ σκρι
ρσι:-

ἐγὼ ἐπιρηνάνιυς· ἐπίσκοπς σανκταε ἐκκλεσιαε κλα
νενσις δεφινιτιονες σανκταε· καὶ τὰ λοιπὰ ὁμοίως
διὰ ῥωμαϊκῶν γραμμάτων:-

ἐγὼ ἀστέριυς ἐπίσκοπ. σανκταε ἐκκλεσια εσαλερνι
τανα ε· δεφινιτιονε· καὶ τὰ λοιπὰ ὁμοίως:

ἐγὼ ῥυστικυς ἐπίσκοπ. σανκταε ἐκκλεσιαε φεσυλα
ναε δεφινιτιονες ἀνκταε· κ(αὶ) τὰ λοιπὰ ὁμοίως:-

ἰννοcιηεδομινι· ινεσυσηρῖς πιλίοννε episcop. εccλ-
εσίαε νοζανας· δεφινιτιονε· καὶ τὰ λοιπὰ ὁμοίως:-
ζηεορηάνες διάκονος· cανcται· εccλεσιαε ρομανας
δεφινιτιόνε· καὶ τὰ λοιπὰ ὁμοίως:-
πελάγιυς διάκονος σανcτας εccλεσίαε ρομανας· δε-
φινιτιόνε, καὶ τὰ λοιπὰ ὁμοίως:-
Ἀναστάσιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας· διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστάς, σύμψηφος γενόμενος πᾶσι τοῖς ὁρισθεῖσιν, ὑπεσημηνάμην:-
Αὐξέντιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Σεβαστηνῶν· διὰ τῆς ἀναγνώσεως, καὶ τὰ λοιπά:-
Θεόδουλος ἐπίσκοπος τῆς Ἰκονιέων μητροπόλεως, ὑπεσημηνάμην:-
Θεαγένης ἐπίσκοπος Σωαάδων· ὁρίσας, ὑπεσημηνάμην:-
Βάκχος ἐπίσκοπος Ἀντιοχείας τῆς Πισιδῶν ἐπαρχίας· ὁρίσας, ὑπεσημηνάμην:-
Μάμας ἐπίσκοπος Μελιτηνῆς· ὁρίσας, ὑπεσημηνάμην:-
Ἰλαριανὸς ἐπίσκοπος Πέργης· ὁρίσας, ὑπεσημηνάμην:-
Βοσπόριος ἐπίσκοπος Νεοκαισαρείας, ὑπεσημηνάμην:-
Παῦλος ἐπίσκοπος Τυάνων· ὁρίσας, ὑπεσημηνάμην:-



Κόνων ἐπίσκοπος Σίδης· ὁρίσας, ὑπεσημηνάμην:-
Ἀκάκιος ἐπίσκοπος Παρνοσσῶν· ὁρίσας, ὑπεσημηνάμην:-
Προκόπιος ἐπίσκοπος Γάγρας· ὁρίσας, ὑπεσημηνάμην:-
Πέτρος ἐπίσκοπος Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας· ὁρίσας, ὑπεσημηνάμην:-
Μάρκος ἐπίσκοπος Ἀπαμείας· ὁρίσας, ὑπεση:-
Ἠσαΐας ἐπίσκοπος Κίου· ὁρίσας, ὑπεσημηνάμην:-
Ὑάκινθος ἐπίσκοπος τῆς Μεληνσίων μητροπόλεως, ὑπεσημηνάμην:-
Ἰωάννης ἐπίσκοπος Βοσπόρου· ὁρίσας, ὑπεσημηνάμην:-
Θαλάσσιος ἐπίσκοπος Βηρυτοῦ· ὁρίσας, ὑπεσημηνάμην:-
Μάρας ἐπίσκοπος Βεροίας τοῦ πρώτου Σύρων ἔθνους· ὁρίσας, ὑπεσημηνάμην:-

ὑπογραφαὶ διὰ συριακῶν γραμμάτων:

Χριστοφόρος ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης Παραλίου· ὁρίσας, ὑπέγραψα:-
Αἰθέριος ἐπίσκοπος Μαριάμμης· ὁρίσας, ὑπ:-
Δομετιανὸς ἐπίσκοπος Ζηκχίας· ὁρίσας, ὑπέγραψα:-

Εὐσέβιος ἐπίσκοπος παλαιᾶς πόλεως· ὁρίσας, ὑπ:-
Ἀναστάσιος ἐπίσκοπος ἰωτάβης· ὁρίσας, ὑπέγραψα:-
Δόμνος ἐπίσκοπος μαξιμιανουπόλεως· ὁρίσας, ὑπ:-
Ἀρχέλαος ἐπίσκοπος κωρύκου· ὁρίσας, ὑπέγραψα:-
Ἰωάννης ἐπίσκοπος ζωόρων· ὁρίσας, ὑπέγραψα:-
Ἀλέξανδρος ἐπίσκοπος βαρκούσων· ὁρίσας, ὑπ:-
Πελάγιος ἐπίσκοπος παρνασοῦ· ὁρίσας, ὑπέγραψα:-
Εὐγένιος χάριτι θεοῦ ἐπίσκοπος τῆς κατὰ ἄπιον ἐκ-
κλησίας· ὁρίσας, ὑπέγραψα:-
Εὐστάθιος ἐπίσκοπος βεριουπόλεως· ὁρίσας, ὑπ:-
Ἐπιφάνιος ἐπίσκοπος ἡρακλείας ποντικῆς· ὁρί-
σας, ὑπέγραψα:-
Ἀβραάμιος ἐπίσκοπος κρατίας· ὁρίσας, ὑπ:-
Παῦλος ἐπίσκοπος πόλεως σεκτορίου· ὁρίσας, ὑπ:-
Ἀστέριος ἐπίσκοπος τῆς κατὰ ἄμαστριν ἐκκλησίας·
ὁρίσας, ὑπέγραψα:-
Ἰωάννης ἐπίσκοπος καισαρείας· ὁρίσας, ὑπ:-
Ἀνδρέας ἐπίσκοπος τῆς πελτηνῶν πόλεως·
ὁρίσας, ὑπέγραψα:-
Λεόντιος ἐπίσκοπος ἐλαιουπόλεως· ὁρίσας, ὑπ:-
Ἀνδρέας ἐπίσκοπος τῆς πανιτῶν· ἤτοι θεοδοσιου-
πολιτῶν· ὁρίσας, ὑπέγραψα:-
Ἐπιτύγχανος ἐπίσκοπος γέρμης· ὁρίσας, ὑπ:-



Θεόδωρος ἐπίσκοπος τῆς γορδηνῶν πόλεως· ὁρίσας,
ὑπέγραψα:-
Ἰωάννης ἐπίσκοπος τραϊανουπόλεως· φρυγίας πακα-
τιανῆς· ὁρίσας, ὑπέγραψα:-
Κυριακὸς ἐπίσκοπος θεοδοσιουπόλεως· ὁρίσας, ὑπ:-
Θεοδώριτος ἐπίσκοπος ἀλίνδων· ὁρίσας, ὑπέγραψα:-
Ματθίας ἐπίσκοπος κύμης· ὁρίσας, ὑπέγραψα:-
Φλαβιανὸς ἐπίσκοπος κοτένων· ὁρίσας, ὑπέγραψα:-
Θεόδωρος ἐπίσκοπος μύρου· ὁρίσας, ὑπέγραψα:-
Μακεδόνιος ἐπίσκοπος βρόζου· ὁρίσας, ὑπέγραψα:-
Μάρκελλος ἐπίσκοπος δυέων· ὁρίσας, ὑπέγραψα:-
Πέτρος ἐπίσκοπος τῆς ἀλαβλασίων πόλεως·
ὁρίσας, ὑπέγραψα:-
Ἰωάννης ἐπίσκοπος μηδαΐου· ὁρίσας, ὑπέγραψα:-
Μαρτύριος ἐπίσκοπος τῆς βαρατέων πόλεως·
ὁρίσας, ὑπέγραψα:-
Παντολέων ἐπίσκοπος τῆς ἰουλιουπολιτῶν πόλεως·
ὁρίσας, ὑπέγραψα:-
Ζώσιμος ἐπίσκοπος τῆς ἀνταν δρέων πόλεως·
ὁρίσας, ὑπέγραψα:-
Κυριακὸς ἐπίσκοπος τῆς σοφηνῆς ἐπαρχίας·
ὁρίσας, ὑπέγραψα:-
Διονύσιος ἐπίσκοπος πόλεως· ἐπισαὶ τοῖς

ὁρισθεῖσιν, ὑπέγραψα.

Λουκῖνος ἐπίσκοπος Πατάρων· ὁρίσας, ὑπέγραψα.

Παῦλος ἐπίσκοπος τῆς Οἰνοανδέων πόλεως· ὁρίσας, ὑπέγραψα.

Ἐπιφάνιος ἐπίσκοπος τῆς Πατραιέων πόλεως· ὁρίσας, ὑπέγραψα.

Τρύφων χάριτι θεοῦ ἐπίσκοπος τῆς Κολβασσέων πόλεως· ὁρίσας, ὑπέγραψα.

Εὐστάθιος ἐπίσκοπος τῆς Τλωέων πόλεως· ὁρίσας, ὑπέγραψα.

Μάγνος πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἀποστολικοῦ θρόνου τῆς Θεουπολιτῶν· καὶ ἀποκρισιάριος τοῦ ἁγιωτάτου πατριάρχου Ἐφραιμίου· ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων· ἐπὶ τῇ καθαιρέσει Ἀνθίμου τοῦ αἱρετικοῦ, ἀλλότριον αὐτὸν ἔχω τῆς ἱερατικῆς ἀξίας· καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν χριστιανῶν, καὶ ὑπέγραψα.

Ἡράκλειος διάκονος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου· καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἐφραιμίου· ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων· καὶ τὰ λοιπά, ὁμοίως ὑπέγραψα.



Σαβῖνος διάκονος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως· πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων· ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων· καὶ τὰ λοιπά, ὁμοίως ὑπέγραψα.

Ψῆφος Πέτρου τοῦ Ἱεροσολύμων, κατὰ Ἀνθίμου.

Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης· καὶ ἡ ἁγία εὐαγὴς σύνοδος, εἶπε· δέδεικται καὶ νῦν ἐπὶ τῶν πραγμάτων, ἀληθὴς ὁ προφητικὸς λόγος· ὅτι οὐ παροικήσει πονηρὸς τῷ θεῷ· οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. ὁποῖόν τι γεγενῆσθαι καὶ ἐπὶ Ἀνθίμου παρέστησε τὰ ἀρτίως ἀνεγνωσμένα ἱερατικά τε καὶ βασιλικὰ δόγματα. οὗτος γὰρ πρώην τὴν Τραπεζουντίων ἐπισκοπήσας πόλιν· καὶ τῶν ὑπ' αὐτὸν ἐκδιαιτήσας δογμάτων· ἔνδυμα περιβαλλόμενος προβάτου· λύκος δὲ ὢν ἅρπαξ· εὐαγγελικῶς εἰπεῖν, τῷ ἀρχιερατικῷ τῆς βασιλίδος ἐπεπήδησε θρόνῳ· ὑποκρινόμενος μέν, τὴν ἀληθινὴν καὶ ἀμώμητον ἡμῶν πρεσβεύειν πίστιν. καὶ τὰς ἁγίας τέσσαρας καὶ οἰκουμενικὰς ἀσμένως προσίεσθαι συνόδους· τήν τε ἐν Νικαίᾳ τῶν τιη' καὶ ἁγίων, καὶ τῶν ἐν Κωνσταντινουπόλει, ρν'· καὶ

τῶν ἐν Ἐφέσῳ σ'· καὶ τῶν ἐν Χαλκηδόνι χλ'· συνῳδὴ
ὁσία ἐπιστολὴ Λέοντος τοῦ μακαρίου πάπα τῆς πρεσβυ-
τέρας Ῥώμης· συγγραφεῖσα μὲν, πρὸς Φλαβιανὸν
τὸν τῆς βασιλίδος πόλεως πρόεδρον· ἐμφερομένη
δὲ, τοῖς πεπραγμένοις ὑπὸ τῆς ἐν Χαλκηδόνι εὐαγε-
στάτης συνόδου· ἐν δὲ τῷ τῆς διανοίας βάθει τὴν ἑαυτοῦ
κατακρύπτων κακοπιστίαν ὁ ἄθεσμος ὁ μνημονευθεὶς,
πρὸς τῷ προτέραν ἤδη μᾶς ἐπαναγαγεῖν ἑαυτοῦ σε,
ζάλην· καὶ τὰς ἁπανταχοῦ ἁγίας καὶ καθολικὰς
συνταράξαι ἐκκλησίας· ὡς γὰρ ἐγκρατὴς ᾤετο τῆς
δολερᾶς καὶ ἀθεμίτου αὐτοῦ γεγενῆσθαι σπουδῆς·
ἀθρόον μεταβαλών, καὶ αὐτὸ δὴ τὸ τῆς ὑποκρίσεως
ἀπεσείσατο σχῆμα· καὶ ἐρρῶσθαι τοῖς ἐγγράφως
παρ' αὐτοῦ συντεθειμένοις φράσας, πρὸς τὰ ὀρθὰ
ἀπέναντι δόγματα· οὐδαμῶς ὁμολογεῖν ἀνεχόμενος
ἐν δύο φύσεσιν· ἀσυγχύτως· ἀτρέπτως· ἀδιαιρέ-
τως· ἀχωρίστως γνωρίζεσθαι τὸν ἕνα καὶ τὸν αὐτὸν
κύριον ἡμῶν καὶ θεὸν καὶ σωτῆρα Ἰησοῦν Χριστόν· μὴ συνεγνωκὼς ὁ
ἠλίθιος, τῶν οὕτως ἀσεβῶν ῥημάτων τὴν δύναμιν·
πρόδηλον γὰρ ὡς τὸ ἀσύγχυτον καὶ ἀδιαίρετον·
ἄτρεπτόν τε καὶ ἀχώριστον, καὶ τὴν ἄκραν δηλοῖ
τῶν οὐσιῶν ἕνωσιν· καὶ τὴν τούτων φυλάττει
διαφοράν, ἐφ' ἑνὶ προσώπῳ καὶ ὑποστάσει μιᾷ·

ἀλλ' οὐδὲ τοὺς ὑπὸ τῆς ἁγίας ἐν Χαλκηδόνι κατακεκρι-
μένους συνόδου, ἀποκηρύξαι εἵλετο· καίτοι ταύτης
ὁμόφρονα δεικνὺς ἑαυτὸν, τῆς Εὐτυχοῦς τοῦ παρα-
φρονος καὶ Διοσκόρου, πλάνης· καὶ τὸ δὴ χαλεπώ-
τερον, ὅτι μηδὲ τὴν ἀπὸ τῆς διδασκαλίας ὑπέ-
μεινεν ἰατρείαν· καίτοι φιλανθρωπίας αὐτῷ βασιλικῆς
ὑπηργμένης· καὶ ἅμα καὶ ὡς χρῆς ἱεροπρεποῦς δεδομένης
πρός τε μετάμελον ἀρκούσης· καὶ πρὸς τὴν τῆς ἀλη-
θινῆς πίστεως προαγούσης ὁμολογίαν· ὡς ὅσιον
λανθάνων ἐπέμενε· καὶ τῇ χρονίᾳ ἀποφυγῇ
ἐναργῶς προεμήνυε· πάσης τε αὐτὸν ἐστερῆσθαι
ἀπολογίας· καὶ ἀνιάτως πρὸς τὴν οἰκείαν ἔχειν
δυσσέβειαν, καθαιρέσεως αὐτῷ προῆλθε ψῆ-
φος· ἀρχθεῖσα μὲν, ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας
καὶ ἀοιδίμου μνήμης προέδρου τῆς πρεσβυτέρας
Ῥώμης· συμπραχθεῖσα δὲ, παρὰ Μηνᾶ τοῦ
ἁγιωτάτου τῆς βασιλίδος πατριάρχου· καὶ τῆς παρ'
αὐτῷ συγκροτηθείσης εὐαγεστάτης συνόδου· κἀν-
τεῦθεν, οὐ τῆς Τραπεζουντίων μόνον ἐπισκοπῆς
διαπέπτωκεν ὁ ἄθεσμος ὁ μνημονευθεὶς, ἀλλὰ
καὶ τῆς ἱερατικῆς ἀξίας τε καὶ ἐνεργείας· τοῦ
παντὸς χωρισθεὶς τῆς ἁγιωτάτης ἐκκλησίας,
σώματος· ἐπεὶ καὶ τῆς τοῦ καθολικοῦ ἐστέρηται

προσηγορίας· ὥστε πρὸς τὴν ἀδιόρθωτον ἐκείνου
πλάνην, τὴν ὥσπερ ἐφαρμόζεσθαι προφητείαν·
ὅτι σὺ ἐπίγνωσιν ἀπώσω· κἀγὼ ἀπώσομαί σε τοῦ
ἱερατεύειν μοι. Ταῦτα τῶν κατὰ τὴν βασιλίδα
πόλιν πεπραγμένων διαρρήδην ἐχόντων· ἡμεῖς
ὁρῶντες ὀρθῶς τε καὶ κανονικῶς πάντα ἐπὶ
Ἀνθίμῳ προεληλυθότα· καὶ τὴν τῶν κλήσεων
ἐπαινέσαντες τάξιν· καὶ τὴν ἐντεῦθεν ὑπηργμένην
αὐτῷ φιλανθρωπίαν· κατεγνωκότες δὲ καὶ τῆς
ὀλεθρίας Ἀνθίμου ἐνστάσεως· σύμψηφοι γινόμενοι
τοῖς διατετυπωμένοις ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς
ὁσίας μνήμης· καὶ τοῖς ὡρισμένοις παρὰ Μηνᾶ
τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλίδος πόλεως·
καὶ τῆς παρ' αὐτοῦ ἀθροισθείσης εὐαγεστάτης συ
νόδου· ἀκολουθοῦντες δὲ καὶ τῇ περὶ τούτων
κυρωθείσῃ τοῦ θείου καὶ βασιλικοῦ νόμου, προσθέ
μεθα τῇ ἐπ' Ἀνθίμῳ καθαιρέσει· ὡς καὶ τὴν
ἀρχὴν παρὰ τοὺς ἱεροὺς εἰσφρήσαντι κανόνας,
τῷ ἀρχιερατικῷ τῆς βασιλίδος θρόνῳ· καὶ
ἐναργεστάτην ὕστερον τῆς αὐτοῦ κακοπιστίας
καὶ ἀμεταβλήτου γνώμης, παρασχομένῳ
ἀπόδειξιν· ὥστε τῷ θείῳ ἐπ' αὐτῷ πληρωθῆναι
γραφήν, λέγουσαν· ἐν ἡμέραις ἐλέγχου ἐν ταῖς



φυλαῖς τοῦ Ἰσραήλ, ἔδειξα πιστά· ἐγένοντο οἱ ἄρχοντες
Ἰούδα ὡς μετατιθέντες ὅρια· ἐπ' αὐτοὺς ἐκχεῶ ὡς
ὕδωρ τὸ ὅρμημά μου· καὶ πάλιν ἑτέραν γραφήν·
ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα· καὶ λόγον ὅσιον
ἐβδελύξαντο. Κατὰ ταῦτα τοίνυν ἀλλότριον
τοῦτον ὁριζόμεθα, πάσης ἱερατικῆς ἀξίας τε
καὶ ἐνεργείας· καὶ αὐτῆς δὲ τῆς τοῦ καθολικοῦ
προσηγορίας· ὥσπερ γὰρ οὐδεμία τῷ σκότει
πρὸς τὸ φῶς κοινωνία, οὕτως οὐδὲ καταρρυ
παίνεσθαι ταῖς ἱεραῖς προσήκει λειτουργίας
ὑπ' ἀνδρῶν οὐκ εἰλικρινῶς τὸν δεσπότην πρε
σβευόντων Χριστὸν τὸν ἀληθινὸν θεόν:-

:Ὑπογραφαί:-

Πέτρος ἐπίσκοπος Ἱεροσολύμων· ὁρίσας, ὑπε
σημηνάμην:-
Ἠλίας ἐπίσκοπος Καισαρείας· ὁρίσας, ὑπεση
μηνάμην:-
Θεοδόσιος ἐπίσκοπος Σκυθοπόλεως· ὁρίσας,
ὑπεσημηνάμην:-
Ἰωάννης ἐπίσκοπος Τιβεριάδος· ὁρίσας, ὑπε
σημηνάμην:-
Στέφανος ἐπίσκοπος Σεριφαίας· ὁρίσας, ὑπε
σημηνάμην:-

Ἀναστάσιος ἐπίσκοπος Γαβῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Ἐπιφάνιος ἐπίσκοπος Ῥαφίας· ὁρίσας, ὑπεσημηνάμην:-

Ἠλίας ἐπίσκοπος Ἰόππης· ὁρίσας, ὑπεσημηνάμην:-

Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως· ὁρίσας, ὑπεσημηνάμην:-

Νικόστρατος ἐπίσκοπος Ἀβίλης· ὁρίσας, ὑπεσημηνάμην:-

Λάζαρος ἐπίσκοπος Ἀζώτου· ὁρίσας, ὑπεσημηνάμην:-

Λεόντιος ἐπίσκοπος Σωζούσης· ὁρίσας, ὑπεσημηνάμην:-

Στέφανος ἐπίσκοπος Ἀρδῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Ἀναστάσιος ἐπίσκοπος Ἐλευθεροπόλεως· ὁρίσας, ὑπεσημηνάμην:-

Γρηγόριος ἐπίσκοπος Ἱεριχούντων· ὁρίσας, ὑπεσημηνάμην:-

Ἠλίας ἐπίσκοπος Ἀρεοπόλεως· ὁρίσας, ὑπεσημηνάμην:-

Θεόκτιστος ἀρχιδιάκονος καὶ νοτάριος τοῦ ὁσιωτάτου ἐπισκόπου Ἠλία, ἔγραψα ὑπὲρ αὐτοῦ κατ' ἐγγράφοις ἐντολαῖς αὐτοῦ:-

Ἰωάννης ἐπίσκοπος Ἀδρῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Δημήτριος ἐπίσκοπος Χαραχμώβων· ὁρίσας, 758
ὑπεσημηνάμην:-

Στέφανος ἐπίσκοπος τῆς Μηνυτῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Ζαχαρίας ἐπίσκοπος τῆς Πελλαίων· ὁρίσας, ὑπεσημηνάμην:-

Μανουήλιος ἐπίσκοπος τοῦ Βιτυλίου· ὁρίσας, ὑπεσημηνάμην:-

Ἀναστάσιος ἐπίσκοπος Ἰωτάβης· ὁρίσας, ὑπεσημηνάμην:-

Ζηνόβιος ἐπίσκοπος Ἐλούσης· ὁρίσας, ὑπεσημηνάμην:-

Μαρκιανὸς ἐπίσκοπος Γάζης· ὁρίσας, ὑπεσημηνάμην:-

Θεόδωρος ἐπίσκοπος Πετρῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Ζηνόβιος ἐπίσκοπος Νικοπόλεως· ὁρίσας, ὑπεσημηνάμην:-

Ἀράξιος ἐπίσκοπος Γαδάρων· ὁρίσας, ὑπεσημηνάμην:-

Προκόπιος ἐπίσκοπος Ἐλενουπόλεως· ὁρίσας, ὑπεσημηνάμην:-

Κυριακὸς ἐπίσκοπος Διοκαισαρείας· ὁρίσας, ὑπεσημηνάμην:-

Βαράχος ἐπίσκοπος τῆς Βακάνων· ὁρίσας, ὑπεσημηνάμην:-

Διονύσιος ἐπίσκοπος Ἀσκάλωνος· ὁρίσας, ὑπεσημηνάμην:-

Ἰω(άννης) ἐπίσκοπος Φαινοῦς· ὁρίσας, ὑπεσημηνάμην:-

Μακάριος ἐπίσκοπος Ἀρινδήλων· ὁρίσας, ὑπεσημηνάμην:-

Βασίλειος ἐπίσκοπος Συκομαζόνος· ὁρίσας, ὑπεσημηνάμην:-

Ἰωάννης ἐπίσκοπος Νέας πόλεως· ὁρίσας, ὑπεσημηνάμην:-

Πέτρος ἐπίσκοπος τῶν Παρεμβολῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Ζαχαρίας ἐπίσκοπος τῆς Λιβισιῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Δόμνος ἐπίσκοπος Μαξιμιανουπόλεως· ὁρίσας, ὑπεσημηνάμην:-

Πελάγιος ἐπίσκοπος Σεβαστῆς· ὁρίσας, ὑπεσημηνάμην:-

Στέφανος ἐπίσκοπος τῆς Ἰαμνιτῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Παρθένιος ἐπίσκοπος Ἐξάλους· ὁρίσας, ὑπεσημηνάμην:-





Θεόδωρος ἐπίσκοπος ἔγραψα ὑπὲρ αὐτοῦ, διὰ τὸ ἀσθενεῖν αὐτόν:-

Θεόδωρος ἐπίσκοπος Γαδάρων· ὁρίσας, ὑπεσημηνάμην:-

Παῦλος ἐπίσκοπος τοῦ Αἰλᾶ· ὁρίσας, ὑπεσημηνάμην:-

Θεόδωρος ἐπίσκοπος τῆς Ἱππηνῶν· ὁρίσας, ὑπεσημηνάμην:-

Θεοδόσιος ἐπίσκοπος Καπετωλίου· ὁρίσας, ὑπεσημηνάμην:-

Διονύσιος ἐπίσκοπος Ἀμαθουσίων· ὁρίσας, ὑπεσημηνάμην:-

Δωρόθεος ἐπίσκοπος τῆς Θηδδόνος· ὁρίσας, ὑπεσημηνάμην:-

Λόγος τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ· καταπεμφθεὶς πρὸς Μηνᾶν τὸν ἁγιώτατον καὶ μακαριώτατον ἀρχιεπίσκοπον τῆς εὐδαίμονος πόλεως, καὶ πατριάρχην· κατὰ Ὠριγένους τοῦ δυσσεβοῦς· καὶ τῶν ἀνοσίων αὐτοῦ δογμάτων:

Ἡμῖν μὲν ἀεὶ σπουδὴ γέγονέ τε καὶ ἔστι, τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν τῶν χριστιανῶν· καὶ τὴν κατάστασιν τῆς ἁγιωτάτης τοῦ θεοῦ καθολικῆς

καὶ ἀποστολικῆς ἐκκλησίας, ἀπαράχαρον διὰ πάντων
φυλάττεσθαι. καὶ ταύτην πρώτην τῶν ἄλλων τὴν
φροντίδα τιθέμεθα. δι' ἧς καὶ τὴν ἐν τῷ παρόντι
κόσμῳ βασιλείαν ἡμῖν ἀπὸ θεοῦ παραδεδόσθαι καὶ
φυλάττεσθαι, πεπιστεύκαμεν. καὶ τοὺς ἐχθροὺς
τῆς ἡμετέρας πολιτείας, ὑποτάττεσθαι. δι' ἧς καὶ ἐν
τῷ μέλλοντι αἰῶνι, ἔλεος ἐνώπιον τῆς αὐτοῦ ἀγα-
θότητος, εὑρεῖν ἐλπίζομεν. εἰ καὶ τὰ μάλιστα γὰρ
ὁ τοῦ ἀνθρωπίνου γένους πολέμιος. διαφόρους
ἐφευρίσκει προφάσεις. δι' ὧν σπουδάζει ταῖς τῶν
ἀνθρώπων ἐπιβουλεύειν ψυχαῖς, ἀλλ' ὅμως ἡ τοῦ θεοῦ φι-
λανθρωπία τὴν ἐκείνου καταργοῦσα πονηρίαν.
καὶ τοὺς ἐναντίους διελέγχουσα, οὐ συγχωρεῖ τὴν
ἰδίαν καταβλάπτεσθαι καὶ σκορπίζεσθαι, ποίμνην.
ταῦτα δὲ ἡμῖν εἴρηται, ἐπειδὴ ἦλθεν εἰς ἡμᾶς.
ὥς τινες μὴ ἔχοντες κατὰ νοῦ τὸν τοῦ θεοῦ φόβον.
μηδὲ τὴν τῶν ὀρθῶν δογμάτων διάκρισιν ἐπιστά-
μενοι. δι' ἧς πᾶς ὁ γινώσκων τὴν ἀλήθειαν σῴ-
ζεται. καταλείψαντες τὰς θείας γραφὰς καὶ
τοὺς ἁγίους πατέρας. οὓς ἡ καθολικὴ τοῦ θεοῦ ἐκκλη-
σία διδασκάλους ἔχει. καὶ δι' ὧν πᾶσα μὲν
πανταχοῦ αἵρεσις ἀπελήλαται. ἡ δὲ ὀρθόδοξος
πίστις, σεσαφήνισται. ὠριγένους τε καὶ τῶν



ἑλληνικῶν. καὶ ἀρειανικῶν. καὶ μανιχαϊκῶν
αὐτοῦ δογμάτων, ἀντιποιοῦνται. δι' ὧν ἐκεῖνος
εἰς βόθρον ἐνέπεσεν. οἱ δὲ τοιοῦτοι, πῶς δύναν-
ται χριστιανοῖς συναριθμεῖσθαι, προσώπου ἀντι-
ποιούμενοι τὰ ἑλλήνων. καὶ μανιχαίων. καὶ
ἀρειανῶν. καὶ τῶν ἄλλων αἱρετικῶν, σπουδά-
σαντος παραδοῦναι. ὅς τις πρὸ πάντων, εἰς
αὐτὴν τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα, βλασφη-
μίας ἐτόλμησεν εἰπεῖν. τὸν μὲν πατέρα, μείζονα
τοῦ υἱοῦ εἶναι. τὸν δὲ υἱόν, τοῦ ἁγίου πνεύματος. τὸ δὲ
ἅγιον πνεῦμα, τῶν ἄλλων πνευμάτων. προστέ-
θεικε δὲ καὶ τοῦτο τῇ ἑαυτοῦ ἀσεβείᾳ, εἰπών.
μηδὲ τὸν υἱὸν δύνασθαι τὸν πατέρα ἰδεῖν. μηδὲ τὸ
ἅγιον πνεῦμα, τὸν υἱόν. καὶ ὅτι ὁ υἱὸς καὶ τὸ ἅγιον
πνεῦμα, κτίσματά εἰσι. καὶ ὅπερ ἡμεῖς ἐσμὲν πρὸς
τὸν υἱόν, τοῦτο ὁ υἱός ἐστι πρὸς τὸν πατέρα. προσ-
τίθησι δὲ ταῖς ἑαυτοῦ βλασφημίαις, καὶ τοῦτο
ἐν τῷ περὶ ἀρχῶν αὐτοῦ πρώτῳ λόγῳ. ἐπ' αὐτῆς
› λέξεως, εἰπὼν οὕτως. ἐν τῇ ἐπινοουμένῃ
› ἀρχῇ. τοσοῦτον ἀριθμὸν τῷ βουλήματι αὐτοῦ
› ὑποστῆσαι τὸν θεὸν νοερῶν οὐσιῶν, ὅσον ἠδύνατο
› διαρκέσαι. πεπερασμένην γὰρ εἶναι καὶ τὴν
› δύναμιν τοῦ θεοῦ λεκτέον. καὶ μὴ προφάσει

εὐφημίας, τὴν περιγραφὴν αὐτῆς περιαιρετέον.
ἐὰν γὰρ ἡ ἄπειρος ἡ θεία δύναμις, ἀνάγκη αὐτὴν
μηδὲ ἑαυτὴν νοεῖν. τῇ γὰρ φύσει τὸ ἄπειρον, ἀπερί-
ληπτον. πεποίηκε τοίνυν τοσαῦτα, ὧν ἠδύνατο
περιδράξασθαι καὶ ἔχειν αὐτὰ ὑπὸ χεῖρας. καὶ
συγκρατεῖν ὑπὸ τὴν αὐτοῦ πρόνοιαν. ὥσπερ καὶ
τοσαύτην ὕλην κατεσκεύασεν, ὅσην ἠδύνατο
κατακοσμῆσαι. ποίαν ταύτης μείζονα βλασφη-
μίαν κατὰ τοῦ θεοῦ προενεγκεῖν Ὠριγένης ἠδύνατο.
καὶ ἐπὶ τῆς ἁγίας τριάδος βαθμοὺς ἐπινοήσας.
πολυθεΐαν καὶ ἐντεῦθεν εἰσάγειν βουλόμενος.
καὶ αὐτὴν δὲ τοῦ θεοῦ τὴν δύναμιν περιγραπτὴν
εἶναι τερατευόμενος. κἀκεῖνο δὲ τὸ πάσης
δυσσεβείας ἀνάμεστον, τῆς αὐτοῦ ἐστι μυθολογίας.
τὸ λέγειν ὅτι πάντα τὰ γένη καὶ τὰ εἴδη, συναΐδιά
ἐστι τῷ θεῷ. καὶ ὅτι τῶν λογικῶν τὰ ἁμαρτήσαντα.
καὶ διὰ τοῦτο ἐκπεσόντα τῆς ἐν ᾗ ἦσαν καταστά-
σεως κατὰ τὴν ἀναλογίαν τῶν οἰκείων ἁμαρτη-
μάτων, τιμωρίας χάριν σώμασιν ἐνεβλήθη. καὶ
καθαιρόμενα πάλιν, ἀνάγονται ἐν ᾗ πρότερον
ἦσαν καταστάσει. παντελῶς ἀποτιθέμενα τὰ
σώματα. καὶ πάλιν ἐκ δευτέρου καὶ τρίτου καὶ
πλεονάκις, διαφόροις ἐμβάλλονται σώμασι



πρὸς τιμωρίαν. ὑποτίθεται δὲ καὶ διαφόρους κόσμους
συστῆναί τε καὶ συστήσεσθαι. τοὺς μὲν, παρελθόντας.
τοὺς δὲ, μέλλοντας. καὶ τίς οὕτως ἐστὶν ἠλίθιος, ὅσ-
τις τῶν τοιούτων ἀκούων, οὐ φρίξει τὴν διάνοιαν
διὰ τὴν τῆς ἀσεβείας ὑπερβολήν. τίς δὲ οὐκ ἂν
βδελύξηται τὸν μανέντα Ὠριγένην. τοιαύτας
πλασάμενόν τε καὶ ἐγγράφως ἐκθέμενον, κατὰ
θεοῦ βλασφημίας. αἵτινας ὡς πᾶσι χριστιανοῖς
ἀπηγορευμένας. καὶ προφανῆ τῆς δυσσεβείας
ἐχούσας τὸν ἔλεγχον, περιττὸν ἐνομίσαμεν ἀντιρ-
ρήσεως ἀξιῶσαι. εἰ τοίνυν ὥσπερ ἅπαντες αἱρετικοὶ
ἐπὶ ἑνὸς τυχὸν ἢ δευτέρου δόγματος παρατροπῇ
ἐκβέβληνται τῆς ἁγιωτάτης ἐκκλησίας. ὑπο-
βληθέντες ἀναθέματι μετὰ τῶν ἰδίων δογμάτων,
τίς ὅλως χριστιανῶν, ἀνέξεται Ὠριγένους τε καὶ
τῶν πονηρῶν αὐτοῦ συγγραμμάτων ἀντιποιεῖ-
σθαι. τοσαύτας μὲν εἰρηκότος βλασφημίας.
πᾶσι δὲ σχεδὸν αἱρετικοῖς τοσαύτην ὕλην
βλασφημίας παρασχομένου. καὶ διὰ τοῦτο
καὶ παρὰ τῶν ἁγίων πατέρων ἐκ πάλαι ὑπὸ ἀνάθεμα
γενομένου μετὰ τῶν μυσαρῶν αὐτοῦ δογμάτων.
εἰ γὰρ καὶ δοίη τις τὸν θεομάχον Ὠριγένην. ὅτι
καὶ παρὰ τοῖς ἄλλοις αἱρετικοῖς εὑρίσκεται.

ὅτι καὶ πρὸ τῆς ε' οἰκουμενικῆς συνόδου, ὁ Ὠριγένης ἀνεθεματίσθη παρὰ τῶν ἁγίων:

ἀναμίξαι τινὰ τοῖς πονηροῖς αὐτοῦ συγγράμμασιν ἐκ
τῶν ὀρθῶν δογμάτων, ταῦτα οὐκ ἴδια ἐκείνου καθέ-
στηκεν· ἀλλὰ τῆς ἁπάσης τοῦ θεοῦ ἐκκλησίας ὑπάρχει·
καὶ τοῦτο δὲ αὐτὸ κακούργως καὶ πρὸς ἀπάτην τῶν
ἁπλουστέρων ἐκεῖνος ἐμηχανήσατο· ταῖς γὰρ τῶν
ἑλλήνων μυθολογίαις ἐν γραφαῖς· καὶ ταῦτας
ἐπικτῆναι βουλόμενος, ἐσχηματίσατο τὰς θείας
δῆθεν ἑρμηνεύειν γραφάς· ἵνα τούτῳ τῷ τρόπῳ,
τὰ ἑαυτοῦ μυσαρὰ δόγματα· τοῖς τῶν θείων συγ-
γραφῶν ὑπομνήμασιν ἀναμίξας κακοήθως,
τὴν ἑλληνικὴν καὶ μανιχαϊκὴν αὐτοῦ πλάνην καὶ
ἀγαρηνικὴν μανίαν, εἰσαγάγῃ· καὶ τοῖς μὴ ἠκριβω-
μένοις τὰ τῆς θείας γραφῆς, δυνηθῇ δελεάσαι·
τί γὰρ ἕτερον παρὰ τὰ πλάτωνι εἰρημένα τῷ τὴν
ἑλληνικὴν μανίαν πλατύναντι, ὠριγένης ἐξέ-
θετο· ἢ παρὰ τίνος ἑτέρου ἀφορμὰς λαβών, τὴν
οἰκείαν συνεγράψατο νόσον, ὃ πρὸς ὄλεθρον
τῆς ἑαυτοῦ ψυχῆς εἰς τὴν ἄπειρον καὶ ὁμοούσιον
τριάδα βαθμοὺς ἐπινοήσας· ἐν τίνι δὲ οὗτος τοῦ
μανιχαίου ἀπολιμπάνεται· ὁ λέγων τὰς τῶν
αὐτῶν ψυχάς, διὰ ἁμαρτίας τοῖς σώμασι, τιμωρί
χάριν ἐμβληθῆναι· ὡς δὴ πρῶτον μὲν νόας
οὔσας καὶ ἁγίας δυνάμεις· ἔπειτα κόρον



λαβούσας τῆς θείας θεωρίας· καὶ πρὸς τὸ χεῖρον
τραπείσας· καὶ διὰ τοῦτο τῆς τοῦ θεοῦ ἀγάπης
ἀποψυγείσας· καὶ ἐντεῦθεν ψυχὰς ὀνομασθείσας·
καὶ τιμωρίας χάριν, τοῖς σώμασιν ἐμβληθείσας·
ὃ γὰρ καὶ μόνον ἱκανὸν ἦν, εἰς πλάνην αὐτοῦ κατά-
κρισιν· οἷα τῆς ἑλληνικῆς ὑπάρχον δυσσεβείας·
τοῦ γὰρ θεοῦ εἰπόντος· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα
καὶ ὁμοίωσιν ἡμετέραν· εὑρίσκεται κατὰ τοὺς
ἐκείνου ματαίους λόγους, σῶμα μόνον δίχα
ψυχῆς, κατ' εἰκόνα καὶ ὁμοίωσιν γενόμενον
τοῦ θεοῦ· ἐὰν ὅλως προϋπῆρχε ψυχὴ καὶ μετὰ
τὸ γενέσθαι τὸ σῶμα, ἐνεβλήθη ἢ κατηνέχθη ἐν
αὐτῷ· καὶ ἀνάγκη πᾶσα τοῦ λέγειν καὶ αὐτὸν
τὸν θεὸν τὸν τοῦ ἀνθρώπου δημιουργόν, σῶμα ὑπάρχειν·
ὡς τὸ σῶμα κατ' εἰκόνα καὶ ὁμοίωσιν ἰδίαν,
ποιησάμενον· πῶς δὲ δύναται εἰκὼν εἶναι τοῦ
ἀσωμάτου, τὸ σῶμα· ὅπερ μὴ γένοιτο τοῦτοις
χριστιανοῖς σωθεῖσθαι· εἰ δὲ κατὰ τὴν ὠριγένους
βλασφημίαν προϋπῆρχον αἱ ψυχαί· καὶ διὰ
τὸ ἁμαρτῆσαι αὐτάς· τιμωρίας χάριν εἰς τὰ
σώματα κατεπέμφθησαν· ἵνα παιδευθεῖσαι,
σωφρονισθῶσιν, ἐχρῆν αὐτὰς μηκέτι ἁμαρ-
τάνειν· εἰ γὰρ πρὸς κόλασιν τῇ ψυχῇ διὰ τὴν

ἁμαρτίαν ἐδόθη τὸ σῶμα· ὥστε αὐτὴν ὀδυνωμένην
παιδευθῆναι πρὸς τὸ τιμᾶν τὸν θεόν, πῶς οὖν ἐνεργεῖ καὶ
συναγωνίζεται αὐτῇ τὸ σῶμα, πρὸς τὸ ἁμαρτάνειν·
δεσμοὶ γὰρ καὶ φυλακαὶ καὶ πέδαι· καὶ συντόμως
εἰπεῖν τὰ τοιαῦτα, ἐφεκτικὰ τοῦ ἀδικεῖν καὶ τοῦ
ἁμαρτάνειν, τοῖς κολαζομένοις γίνονται· οὐ γὰρ
ὅπως ὁ ἁμαρτήσας πλέον ἁμαρτῇ, συνεργὸς αὐτῷ
πρὸς τὴν ἁμαρτίαν ὁ δεσμὸς δίδοται, ἀλλ᾽ ὅπως
παύσηται τοῦ ἁμαρτάνειν διὰ τῶν δεσμῶν
βασανιζόμενος· πρόδηλον τοίνυν ὅτι οὐ διὰ
σωφρονισμὸν προλαβουσῶν ἁμαρτιῶν τοῖς
σώμασιν ἐνεβλήθησαν αἱ ψυχαὶ κατὰ τὸν
ἐκείνου λῆρον, ἀλλὰ κατὰ ταυτὸν ὁ θεὸς τό τε
σῶμα τήν τε ψυχὴν· τουτέστι τὸν τέλειον ἄνθρωπον,
ἐδημιούργησεν· ὅθεν τῶν διὰ τοῦ σώματος ἡμῖν
πεπραγμένων εἴτε ἀγαθῶν εἴτε φαύλων, τὴν
ἀνταπόδοσιν ἀναμένομεν· τοῦτο γὰρ ἡμῖν
παραδίδωσι καὶ ὁ θεῖος ἀπόστολος παῦλος,
λέγων· ὅτι πάντας ἡμᾶς φανερωθῆναι δεῖ
ἔμπροσθεν τοῦ βήματος τοῦ χριστοῦ· ἵνα κομίσηται
ἕκαστος διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν·
εἴτε ἀγαθὸν εἴτε φαῦλον· προσέχειν τοίνυν
δεῖ τοῖς τοῦ ἀποστόλου ῥήμασιν· ὅτι οὐκ εἶπε·



κομίζεσθαι δεῖν τὸν κρινόμενον πρὸς ἃ ἔπραξε πρὸ
τοῦ σώματος· ἀλλὰ διὰ τοῦ σώματος· εἰ δὲ ἐπὶ μόνοις
τοῖς διὰ τοῦ σώματος κολάζεται αὐτὸς παρὰ τοῦ
κρίνοντος τὴν γῆν, ἢ τῆς δεούσης ἀξιοῦται τιμῆς·
μνήμη δὲ οὐδεμία προγενεστέρων ἁμαρτημάτων,
δῆλον ὅτι οὐ προϋπάρχουσι τῶν σωμάτων, αἱ
ψυχαί· εἰ γὰρ προϋπῆρχον, εἶπεν ἂν ὁ ἀπόστολος
ὥσπερ τὰ διὰ τοῦ σώματος, οὕτω καὶ τὰ πρὸ τοῦ
σώματος· ὅτι δὲ αἱ τῶν ἀνθρώπων ψυχαὶ νοεραί τε καὶ
λογικαὶ τυγχάνουσι, τῶν ὁμολογουμένων ἐστίν·
ὅπερ οὐδὲ τοὺς ὠριγένους αὐτὴ ποιουμένους,
νομίζομεν ἀπαρνεῖσθαι· εἰ πάντως ἂν τοίνυν οἱ
τὰ ὠριγένους φρονοῦντες· αἱ ψυχαὶ αἱ ἑαυτῶν
εἴ γε ἄρα καθὼς λέγουσι προϋπῆρχον τῶν σωμάτων·
πρὶν ἢ ἐν τοῖς σώμασιν εἰσέλθωσιν, ἐν ποίᾳ
τάξει ὑπῆρχον· ἢ τί δὲ ἔπραττον τότε· ἐχρῆν γὰρ
αὐτοὺς εἰδέναι ποῦ ἦσαν, εἰ προῆσαν· καὶ
πῶς ἐνταῦθα παρεγένοντο· εἰ δὲ τοῦτο αὐτοῖς
ἀμήχανόν ἐστι λέγειν· ὡς τῆς ἀληθείας μὴ
οὔσης, δῆλον ὅτι μῦθοι τὰ κατ᾽ αὐτοὺς ὑπάρ-
χουσιν· ἴσως δὲ ἐροῦσιν, ὅτι μετὰ τὸ εἰσελθεῖν
τὰς ψυχὰς ἐν τοῖς σώμασι, τότε δύνανται δια-
κρίνειν τε καὶ γινώσκειν τὰ πραττόμενα παρ᾽

αὐτῶν. εἰ δὲ τοῦτο εἴπωσιν, εὑρίσκεται τὸ σῶμα κατὰ
τοὺς αὐτῶν ματαίους λόγους, τιμιώτερον τῆς ψυ-
χῆς· οἷα χωριζόμενον αὐτῆς, τὸ νοεράν τε καὶ λογικὴν
γενέσθαι. ἀλλὰ ἐλέγχειν τοῦτο, πάσης ἐστὶν ἀνοίας
καὶ ἀτοπίας μεστόν. διατί δὲ ὅλως εἰ γὰρ ὡς λέγουσι
προϋπῆρχεν ἡ ψυχή, μαθήσεως τινὸς ἢ διδαχῆς
δεῖται, ἐν τῷ σώματι γινομένη. κατὰ μικρὸν
εἰσαγομένη καὶ προκόπτουσα εἰς τὰ μείζονά τε
καὶ τελειότερα. εἰ γὰρ προῆν, καὶ ἐγίνωσκεν αὐ-
τὰ συμφέροντα. μηδεμιᾶς μαθήσεως δεομένη.
καὶ ὡς ἐν γνώσει τυγχάνουσα, διωρθοῦτο ταῖς
ἐπιμελείαις. καὶ τὸ ἔπταισμα ἐγίνωσκεν. οὐκ ἐδι-
δάσκετο ὡς προεπισταμένη. εἰ δὲ διδάσκεται
ὡς ἀγνοοῦσα, οὐ προῄδει. εἰ δὲ οὐ προῄδει, οὐ
προῆν. ἀλλὰ δῆλον ὅτι οὐ προῆν. τῆς γὰρ γενέ-
σεως ἡμῶν, αἴτιος ἐστὶ μόνος ὁ θεός. ὅτι καθὼς
οὐκ ὄντας ἡμᾶς ἐποίησεν, οὕτω καὶ γενομένους,
σώζει τῇ ἰδίᾳ χειρί, ἐὰν ἄξιοι καὶ ἐπιτήδειοι
φανῶμεν. ὁ θεὸς γὰρ εἰπών. ποιήσωμεν ἄνθρωπον
κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν, ἀμφό-
τερα κατὰ ταυτὸν ἐδημιούργησε. τουτέστι σῶμα
πεπλάσας καὶ ψυχὴν νοεράν τε καὶ λογικὴν
δημιουργήσας. ἅμα γὰρ σῶμα ἔπλασεν ὁ θεός,



καὶ τὴν ψυχὴν ἐδημιούργησε. τέλειον τὸν ἄνθρωπον
ἀποτελέσας. οὐδὲ γὰρ σῶμα χωρὶς ψυχῆς. οὐδὲ ψυχὴ
χωρὶς σώματος, ἄνθρωπος. εἰ δὲ προϋπῆρχεν ἡ ψυχή
καθὼς ὠριγένης ληρεῖ, τίνος ἕνεκεν ὁ ἀπὸ σώ-
ματος προφήτης ζαχαρίας, εἶπε. πλάσσων
πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. εἰ γὰρ προῆν, ἔδει μᾶλλον
εἰπεῖν. καταγίζων ἢ καταπέμπων πνεῦμα
ἀνθρώπου ἐν αὐτῷ. νῦν δὲ λέγων ὁ προφήτης πλάσσων,
δείκνυσιν ὅτι ὥσπερ τὸ σῶμα, οὕτω καὶ τὴν ψυ-
χὴν οὐ προϋπάρχουσαν, ἐποίησεν ὁ θεὸς τῇ ἰδίᾳ
ἀγαθότητι. καθὼς οὖν εἴρηται τὸ κατ' εἰκόνα
καὶ ὁμοίωσιν τοῦ θεοῦ γενέσθαι τὸν ἄνθρωπον. καὶ τοῦ
θείου ἐμφυσήματος ἀξιωθῆναι, δηλοῖ, μὴ
μόνον νοερὰν καὶ λογικὴν ἀλλὰ καὶ ἀθάνατον,
τὴν ψυχὴν δημιουργηθῆναι. πρὸς τὸ ὑπερέχειν πάντων
τῶν ἐπὶ γῆς ποιημάτων. τοῦτο γάρ ἐστι καὶ τὸ
εἰρημένον τῷ θεολόγῳ γρηγορίῳ, περὶ τῆς
ψυχῆς. τὴν ἐκ θεοῦ καὶ θείαν. καὶ τῆς ἄνωθεν
εὐγενείας μετέχουσαν. οὐχ ὥς τινες φανταζό-
μενοι λέγουσι τῆς θεϊκῆς οὐσίας ὑπάρχουσαν
τὴν ψυχήν, ἀλλ' ὡς διὰ τοῦ ἐμφυσήματος τοῦ
θεοῦ, γενομένην. καὶ χάρισμα παρ' αὐτοῦ λαβοῦ-
σαν, τοῦ νοερὰν καὶ λογικὴν καὶ ἀθάνατον εἶναι.

καὶ μὴ ἴσω ἀποθνήσκειν τῷ σώματι καθ' ὁμοιότητα
τῶν ἀλόγων ζώων· ἀλλὰ κατὰ χάριν μετέχειν τῆς
ἄνωθεν ἀειγενείας· τουτέστιν, ἀθανασίας· μαρτυρεῖ δὲ
τούτοις, καὶ ὁ ἐν ἁγίοις ἰωάννης ὁ κωνσταντινου-
πόλεως πρόεδρος· ἐν τῷ ια λόγῳ τῷ εἰς τὴν κτίσιν·
λέγει γὰρ οὕτω· καὶ ἐνεφύσησε φησὶν εἰς τὸ πρό-
σωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς
ψυχὴν ζῶσαν· ἐνταῦθα τινὲς τῶν ἀγνωμόνων
ἐξ οἰκείων λογισμῶν κινούμενοι· καὶ οὐδὲν θεο-
πρεπὲς ἐννοοῦντες· οὔτε τὴν συγκατάβασιν τῶν
ῥημάτων λογιζόμενοι, λέγειν ἐπιχειροῦσιν ὅτι
ἐκ τῆς τοῦ θεοῦ οὐσίας ἐστὶν ἡ ψυχή· ὢ τῆς μανίας.
ὢ τῆς παραφροσύνης· καὶ ταῦτα μὲν ὅπερ περὶ
τῶν προκειμένων· σκόπει δὲ ὅπερ, περὶ μὲν
τῶν ἄλλων ἁπάντων τῶν ἐπὶ γῆς ποιημάτων,
εἶπεν ὁ θεός, γεννηθήτω καὶ ἐξαγαγέτω ἡ γῆ, καὶ
ἐγένετο· περὶ δὲ τοῦ ἀνθρώπου, λέγει· ποιήσωμεν
ἄνθρωπον· καὶ οὐ μόνον ποιήσωμεν, ἀλλὰ καὶ κατ'
εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν· καὶ λαβὼν χοῦν
ἀπὸ τῆς γῆς ταῖς ἰδίαις χερσίν, ἔπλασε τὸν ἄνθρωπον·
καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ, πνοὴν
ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος, εἰς ψυχὴν ζῶσαν.
ἐντεῦθεν τοίνυν ἔστιν ἰδεῖν, πῶς ὁ θεὸς τὸν ἄνθρωπον



τιμιώτερον ἐποίησε τῶν ἄλλων ἁπάντων τῶν ἐπὶ
γῆς κτισμάτων· τὰ μὲν γὰρ ἄλλα πάντα, λόγῳ εἶπε
καὶ ἐγένετο· τὸν δὲ ἄνθρωπον καθὼς εἴρηται, αὐτὸς
ταῖς ἰδίαις χερσὶ κατὰ τὴν θείαν γραφήν, ἐδη-
μιούργησε· πάντα δὲ τὰ γενόμενα ὑπ' αὐτοῦ ἐπὶ
τῆς γῆς, ὑπέταξε τῷ ἀνθρώπῳ τῷ γενομένῳ ἐν τῇ
ἕκτῃ ἡμέρᾳ· ἵνα πάντων τῶν ἐπὶ τῆς γῆς
κτισμάτων ἤδη προγεγονότων καὶ ἑτοιμα-
σθέντων αὐτῷ, δεσπόζῃ αὐτός· ὑπὸ τοῦ πλάστου
δεσποζόμενος· τοῦτο δὲ ἡμᾶς διδάσκει, καὶ
ὁ ἐν ἁγίοις θεολόγος γρηγόριος, ἐν τῷ λόγῳ
τῷ εἰς τὴν νέαν κυριακήν· λέγει γὰρ ταῦτα·
αὐτῷ τὶ πρῶτον ἐν ἡμέραις ἀριθμεῖται· καὶ
δεύτερον καὶ τρίτον, καὶ τὰ ἑξῆς, ἄχρι τῆς
ἑβδόμης καὶ καταπαυσίμου τῶν ἔργων ἡμέρας·
αἷς καταμερίζεται τὰ γινόμενα· λόγοις ἀρρή-
τοις ταττόμενα· καὶ οὐκ ἀθρόως ἀναδιδό-
μενα τῷ παντοδυνάμῳ λόγῳ· οὗ καὶ τὸ νοῆ-
σαι μόνον καὶ εἰπεῖν, ἔργον ἐστὶ παριστάμενον·
εἰ δὲ τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη· καὶ ταῦτα
χειρὶ θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν
οὐδέν· ἔδει γὰρ ὥσπερ βασιλεῖ προϋποστῆναι
τὰ βασίλεια, καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα

πᾶσιν ἤδη δορυφορούμενον. εἰ τοίνυν κατὰ τὴν τοῦ θεολόγου Γρηγορίου διδασκαλίαν, τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη· καὶ ταῦτα χειρὶ θεοῦ καὶ εἰκόνι τετιμημένος· καὶ πάντα παρὰ τοῦ θεοῦ αὐτῷ προητοιμάσθη. καὶ ὥσπερ βασιλεῖ προϋφίσταται τὰ βασίλεια· καὶ οὕτως εἰσήχθη παρὰ τοῦ θεοῦ· ὡς βασιλεὺς πᾶσιν ἤδη δορυφορούμενος, πῶς λέγουσιν οἱ κατὰ τὸν Ὠριγένην παραφρονοῦντες, ὅτι προϋπάρχουσαι αἱ ψυχαί, διὰ ἁμαρτίας ἐν σώμασι καταπέμπονται. ὀφείλουσαι δίκας ὑποσχεῖν τῶν πρώην ἡμαρτημένων. τὸ ἔμπαλιν γὰρ ὅ, τε ἅγιος Γρηγόριος, καὶ ὕστερον πάντων λέγει τὸν ἄνθρωπον γεγενῆσθαι. καὶ τιμηθῆναι ὑπὸ θεοῦ· καὶ βασιλεύειν τῶν ἐπὶ γῆς πάντων. ὅπερ τιμωρίας μέν, οὐκ ἔστι· πάσης δὲ τοὐναντίον προνοίας καὶ εὐεργεσίας, ἔνδειξις ὑπάρχει· σύμφωνα δὲ τοῖς τοῦ θεολόγου Γρηγορίου, καὶ ὁ ἅγιος Ἰωάννης Κωνσταντινουπόλεως πατριάρχης, ἡμᾶς διδάσκει· ἐν τῷ ἑνδεκάτῳ λόγῳ τῷ ἐς τὴν κτίσιν. λέγων οὕτως· ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ τίνος ἕνεκεν εἰ τιμιώτερον ἡ ψυχὴ τοῦ σώματος, τὸ ἔλαττον πρῶτον δημιουργεῖται καὶ τότε τὸ μεῖζον καὶ ὑπερέχον. οὐχ ὁρᾷς ἀγαπητέ· ὅτι καὶ ἐπὶ τῆς κτίσεως τὸ αὐτὸ τοῦτο



γέγονεν, ὥσπερ γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ· καὶ ὁ ἥλιος. καὶ σελήνη· καὶ τὰ ἄλλα πάντα ἐδημιουργήθη· καὶ μετὰ ταῦτα πάντα ὁ ἄνθρωπος. ὁ τούτων πάντων τὴν ἀρχὴν μέλλων ἐγχειρίζεσθαι, τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν αὐτῇ τῇ διαπλάσει τοῦ ἀνθρώπου, πρότερον τὸ σῶμα πλάττεται, καὶ τότε ἡ ψυχή, ἡ τιμιωτέρα. ὃν γὰρ τρόπον τὰ ἄλογα· τὰ πρὸς ὑπηρεσίαν μέλλοντα εἶναι χρήσιμα. πρὸ τοῦ ἀνθρώπου δημιουργεῖται ἵνα ἑτοίμην ἔχῃ τὴν ὑπηρεσίαν ὁ μέλλων τῆς τούτων χρείας ἀπολαύειν, οὕτω καὶ τὸ σῶμα πρὸ τῆς ψυχῆς δημιουργεῖται· ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψυχὴ παραχθῇ, ἔχῃ τὰς οἰκείας ἐνεργείας ἐπιδείκνυσθαι διὰ τῆς τοῦ σώματος κινήσεως. καὶ ταῦτα μέν, ὅσον ἐπιδεῖξαι τοῖς ἀκροωμένοις· ὅτι τὰ αὐτὰ τοῖς ἁγίοις πᾶσι φθεγγόμεθα. πανταχοῦ τὴν τῶν ψυχῶν προϋπαρξιν, ἀναιροῦσι. πάλιν δὲ τῆς ἁγίας λεγούσης γραφῆς περὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας· εὐλόγησεν αὐτοὺς ὁ θεός· καὶ εἶπεν αὐξάνεσθε καὶ πληθύνεσθε· καὶ πληρώσατε τὴν γῆν· καὶ κατακυριεύσατε αὐτῆς. πῶς ἄρα εἰ προϋπῆρχον αἱ ψυχαὶ τῶν σωμάτων, ἔμελλε κατὰ τὴν θείαν πρόσταξιν αὐξάνεσθαι καὶ

πληθύνεσθαι τὰ προϋπάρχοντα κατὰ τοὺς ἐκείνων
μύθους· ἢ πῶς εἰ χρὴ ὁ θεὸς εὐλογῆσαι ταῖς ψυχαῖς ταῖς
ἁμαρτίαις ἤδη ὑποπεσούσας, εἰς τὸ αὐξηθῆναι τε
καὶ πληθυνθῆναι· ἁμαρτήσασαι γὰρ αἱ ψυχαὶ, κατά
ρας μᾶλλον ἤπερ εὐλογίας ἔτυχον ἄξιαι· εἰ δὲ προ
ϋπῆρχον αἱ ψυχαὶ ἐν ἑτέρᾳ τάξει ὑπάρχουσαι κατὰ
τοὺς ὠριγένους μύθους, διατί μόνον ἀδὰμ ἔπλα
σεν ὁ θεός· ἄρα μόνον ἡ ψυχὴ τοῦ ἀδὰμ τότε ἦν ἁμαρ
τήσασα· καὶ διὰ τοῦτο ἓν σῶμα ἔπλασεν ὁ θεός, εἰ γὰρ
ἦσαν πρὸ τούτου καὶ ἄλλαι ψυχαὶ, ἔδει καὶ ἄλλα
σώματα ἅμα πλασθῆναι· ὑποδεχόμενα ταῖς ψυχαῖς·
πῶς δὲ ἡ ἁμαρτήσασα κατὰ τοὺς αὐτῶν λόγους ψυχὴ
καὶ διὰ τιμωρίαν εἰς σῶμα βληθεῖσα, εἰς τὸν παρά
δεισον τῆς τρυφῆς παρὰ τοῦ θεοῦ ἐτέθη· εἰ γὰρ διὰ
τιμωρίαν σῶμα περιενεβλήθη, οὐκ ἐν παραδείσῳ
τῆς τρυφῆς, ἀλλ᾽ ἐν κολάσεως ἂν ἀπετίθετο τόπῳ·
τοσοῦτον δὲ ὁ θεὸς ἠγάπησε τὸν ἄνθρωπον· ὃν μετὰ πάντα
τὰ δημιουργήματα ἔπλασεν, ὅτι καὶ μετὰ τὸ
παραβῆναι αὐτὸν τὴν δοθεῖσαν αὐτῷ παρὰ τοῦ
θεοῦ ἐντολήν· καὶ διὰ τοῦτο ἐκβληθῆναι τοῦ
παραδείσου· αὐξανομένου τοῦ γένους τῶν ἀνθρώπων·
καὶ πληθυνομένης τῆς ἁμαρτίας· διὰ τὸ ἐγκεῖ
σθαι τὴν διάνοιαν τῶν ἀνθρώπων ἐπιμελῶς ἐπὶ τὰ





χείρονα, οὐ περιεῖδεν ὁ θεὸς ὡς ἀγαθὸς, τὸ ἴδιον
πλάσμα· ἀλλὰ διαφόροις ἐνουθέτησε τρόποις·
τοῖς ἀπὸ τῆς ἁγίας δηλουμένης γραφῆς· ἐπειδὴ
δὲ ἐπὶ δεινοτέροις τοῖς ἀρρωστήμασι μείζονος
ἐδεόμεθα τῆς ἰατρείας· αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ
λόγος· ὁ εἷς· τουτέστι τὸ ἓν πρόσωπον τῆς ἁγίας
τριάδος, διὰ τὴν ἑαυτοῦ φιλανθρωπίαν, αὐτὸς
γίνεται μένων θεός· μήτε τὴν θεϊκὴν αὐτοῦ οὐσίαν,
ἀλλοιώσας εἰς τὴν ἀνθρωπίνην· μήτε τὴν
ἀνθρωπίνην αὐτοῦ οὐσίαν, εἰς τὴν θεϊκὴν μετα
βαλών· καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς ἐν ἑκατέραις ταῖς
φύσεσιν, ἀσυγχύτως καὶ ἀδιαιρέτως, γνωριζό
μενος· μείνας γὰρ ὅπερ ἦν, γέγονεν ὅπερ οὐκ
ἦν· καὶ τὸν ὀφειλόμενον ἡμῖν θάνατον
ἐκ τῆς διὰ τὴν παράβασιν κατακρίσεως ἐν τῇ
ἰδίᾳ σαρκὶ ἀναδεξάμενος, ἠλευθέρωσεν ἡμᾶς
τοῦ αἰωνίου θανάτου· ἀπαρχὴ τῶν κεκοιμη
μένων γενόμενος· καὶ πρωτότοκος ἐκ νεκρῶν
ἀναστάς, συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς
ἐν τοῖς ἐπουρανίοις· καθὼς ἡμᾶς ἐκδιδάσκει
ἡ ἀποστολικὴ παράδοσις· εἰ γὰρ καὶ τὴν ἀρχὴν
ἡ ἀνθρωπίνη φύσις· διὰ τὴν παρακοὴν ἐστε
ρήθη τοῦ παραδείσου, ἀλλ᾽ ὅμως ὡς εἴρηται·

ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ· διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ
ἣν ἠγάπησεν ἡμᾶς· τὴν ἡμετέραν φύσιν ἑνώσας ἑαυτῷ
ἀδιασπάστως καθ᾽ ὑπόστασιν ἐν τῇ μήτρᾳ τῆς ἁγίας
ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου μαρίας, μείζονος
ἡμᾶς ἠξίωσε χάριτος· τὴν ἐν οὐρανοῖς βασιλείαν ἡμῖν
δωρησάμενος· μαρτυρεῖ δὲ τούτοις, καὶ ὁ ἐν ἁγίοις
ἰωάννης· ὁ κωνσταντινουπόλεως πρόεδρος· ἐν τῷ
λόγῳ τῷ εἰς τὴν ἀνάληψιν, λέγων οὕτως· ἡμεῖς οἱ
τῆς γῆς ἀνάξιοι φανέντες, σήμερον εἰς τὸν οὐρανὸν
ἀνήχθημεν· οἱ μηδὲ τῆς κάτω ἀρχῆς ὄντες ἄξιοι,
πρὸς τὴν βασιλείαν ἀνέβημεν τὴν ἄνω· ὑπερέβημεν
τοὺς οὐρανούς· ἐπελαβόμεθα τοῦ θρόνου τοῦ βασιλικοῦ·
καὶ ἡ φύσις δι᾽ ἣν ἐφύλαττε τὸν παράδεισον τὰ χερου-
βίμ, αὕτη ἐπάνω τῶν χερουβὶμ κάθηται σήμερον·
ἀποδέδεικται τοίνυν· ὅτι οὐχ ὡς ὠριγένης ληρεῖ,
ἐν οὐρανοῖς αἱ ψυχαὶ προϋπάρχουσαι· ἔπειτα ἁμαρτή-
σασαι, κατεπέμφθησαν τιμωρίας χάριν, εἰς τὰ
σώματα· ἀλλ᾽ ἐκ τῶν ἐναντίων· ἐπὶ γῆς δημιουργη-
θεῖσα ὅλη ἡ τοῦ ἀνθρώπου φύσις· τουτέστι σώματος καὶ
ψυχῆς· διὰ τῆς ὑπερβαλλούσης τοῦ θεοῦ ἀγαθότητος,
τῆς ἐν οὐρανοῖς ἠξίωται βασιλείας· ὥστε τοὺς ἀνθρώπους
τοὺς τὴν ἐντολὴν τοῦ θεοῦ φυλάττοντάς τε καὶ πληροῦν-
τας, ἀξιοῦσθαι τῆς ἐν οὐρανοῖς τῶν ἀγγέλων συν-



διαγωγῆς· οἱ ἐν τῇ γῇ διὰ τῆς πρὸς θεὸν ὑμνολογίας,
μιμεῖσθαι προσετάχθημεν· βουλόμενος γὰρ ὁ θεὸς διὰ
τὴν ἄφραστον αὐτοῦ φιλανθρωπίαν· ὃν τρόπον ἐν
οὐρανοῖς ὑπὸ τῶν ἁγίων δυνάμεων δοξάζεται· οὕτω
καὶ ἐπὶ τῆς γῆς ὑπὸ τῶν ἀνθρώπων δοξάζεσθαι, ἐδημιούρ-
γησε τὸν ἄνθρωπον· δεύτερον ἄγγελον ἐπὶ τῆς γῆς· ὡς ἂν
πληρωθῇ τὰ πάντα, δόξης θεοῦ· ὅθεν καὶ ὁ κύριος παρα-
διδοὺς τοῖς ἑαυτοῦ μαθηταῖς ὅπως ὀφείλουσι προσεύ-
χεσθαι, λέγει· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω
τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω
τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· σύμ-
φωνα δὲ τοῖς παρ᾽ ἡμῶν εἰρημένοις, καὶ ὁ ἐν ἁγίοις
θεολόγος γρηγόριος· ἐν τῷ λόγῳ τῷ εἰς τὸ ἅγιον πά-
σχα, διδάσκει· λέγων οὕτω· τοῦτο δὴ βουληθεὶς
ὁ τεχνίτης ἐπιδείξασθαι λόγος· καὶ ζῶον ἓν ἐξ
ἀμφοτέρων· ὁρατῆς λέγω καὶ ἀοράτου φύσεως,
δημιουργεῖ τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης,
λαβὼν τὸ σῶμα· ἤδη προϋποστάσης· παρ᾽ ἑαυτοῦ δὲ
πνοὴν ἐνθείς· ὃ δὴ ψυχὴν νοερὰν καὶ εἰκόνα θεοῦ
οἶδεν ὁ λόγος· οἷόν τινα κόσμον δεύτερον ἐν
μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἵστησιν· ἄγγελον ἄλλον·
προσκυνητὴν μικτόν· ἐπόπτην τῆς ὁρατῆς κτίσεως·
μύστην τῆς νοουμένης· βασιλέα τῶν ἐπὶ γῆς, βασι-

λαόμενον ἄνωθεν. πρόσχες τοίνυν· ὅτι πλείων ὁ περὶ
ψυχῆς ἐξ ἀμφοτέρων ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, προ-
σέθηκεν ὅτι τὸ μὲν σῶμα ἐξ ὕλης ἤδη προϋποστάσης,
ἔλαβε· τὴν δὲ ψυχήν, οὐδὲ προϋπάρχειν εἶπεν·
οὐδὲ ἔκ τινος προϋπαρχούσης αἰτίας, γεγενῆσθαι·
ἀλλ' ὅτι παρ' ἑαυτοῦ ὁ θεός, ἐνέθηκε τὴν ζωήν. ὁ δὲ
ψυχὴν οὐρανὴν καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος· καὶ τὸ
εἰπεῖν δὲ τὸν πατέρα· ὅτι βασιλέα ἐπὶ τῆς γῆς ἐποίησεν
ὁ θεὸς τὸν υἱόν· βασιλαόμενον ἄνωθεν, δῆλα ἄρα τὸ
λέγειν ὡς διὰ κόλασιν ἐνεβλήθησαν αἱ ψυχαὶ τοῖς
σώμασι· τὸ γὰρ βασιλεύειν ἐπὶ τῆς γῆς· καὶ ὑπὸ θεοῦ
μόνου βασιλεύεσθαι, οὐ τιμωρίας, ἀλλὰ μεγάλης
ἐστὶ τῆς τοῦ θεοῦ δωρεᾶς. πρὸς τούτοις δέ, κἀκεῖνο
εἰπεῖν ἀναγκαῖον ἡγούμεθα πρὸς τοὺς τὴν προϋ-
πάρξιν λέγοντας· ὅτι εἴπερ ἀληθὲς ἦν τὸ προϋπάρ-
χειν τὰς ψυχὰς τῶν σωμάτων, ἐγίνωσκον ἂν καὶ
ἐμέμνηντο, ὅτι ἔπραττον καὶ πρὸ τοῦ εἰσαχθεῖν
ἐν τοῖς σώμασιν· ὥσπερ καὶ μετὰ τὴν τελευτήν,
ἐπίστανται καὶ γινώσκουσι τὰ πραχθέντα αὐταῖς
ἐν τοῖς σώμασιν· ἀποδείξομεν δὲ τὸ γινώσκειν
τὴν ψυχὴν μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν τὰ αὐτῇ
πεπραγμένα, ἐξ αὐτῶν τῶν τοῦ ἁγίου εὐαγγελίου
ῥημάτων· λέγει γὰρ ὁ δεσπότης ἡμῶν καὶ σωτὴρ χριστὸς



ἐν τῷ κατὰ λουκᾶν εὐαγγελίῳ εἰς τὴν περιοχὴν τοῦ
λαζάρου καὶ τοῦ πλουσίου, ταῦτα· ἄνθρωπός τις ἦν
πλούσιος καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον·
εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. πτωχὸς
δέ τις ἦν ὀνόματι λάζαρος, ὃς ἐβέβλητο πρὸς
τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος· καὶ ἐπιθυμῶν
χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων
ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ
κύνες, ἀπέλειχον τὰ ἕλκη αὐτοῦ, ἐρχόμενοι·
ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχόν· καὶ ἀπενεχθῆ-
ναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων, εἰς τὸν κόλπον
ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ
ἐτάφη· καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς
αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν ἀβραὰμ
ἀπὸ μακρόθεν· καὶ λάζαρον ἐν τοῖς κόλποις
αὐτοῦ· καὶ αὐτὸς φωνήσας, εἶπε· πάτερ ἀβραάμ,
ἐλέησόν με καὶ πέμψον λάζαρον· ἵνα βάψῃ
τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ, ὕδατος· καὶ
καταψύξῃ τὴν γλῶσσάν μου· ὅτι ὀδυνῶμαι
ἐν τῇ φλογὶ ταύτῃ. εἶπε δὲ ἀβραάμ· μνή-
σθητι τέκνον, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου
ἐν τῇ ζωῇ σου· καὶ ὁ λάζαρος, ὁμοίως τὰ κακά·
νῦν δὲ ὀδυνᾶσαι· καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ

ἡμῶν τε καὶ ὑμῶν, χάσμα μέγα ἐστήρικται· ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς, μὴ δύνωνται· μηδὲ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. εἶπε δέ· ἐρωτῶ οὖν σε πάτερ· ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς· ἵνα μὴ καὶ αὐτοὶ εἰσέλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. αἰσχυνθήτωσαν οὖν οἱ Ὠριγένους αὐτὸ ποιούμενοι, καὶ ἐκ τῶν τοῦ ἁγίου εὐαγγελίου ῥημάτων· εἰ γὰρ προϋπῆρχον αἱ ψυχαὶ τῶν σωμάτων, ἐγίνωσκον ἂν καὶ τὰ πρὸ τοῦ σώματος αὐταῖς πραχθέντα· καθάπερ καὶ μετὰ τὴν ἀποβίωσιν μέμνηνται τῶν διὰ τοῦ σώματος αὐταῖς πεπραγμένων· τοῦτο γὰρ ἐκ τῶν ῥήσεων τοῦ ἁγίου εὐαγγελίου, ἐδιδάχθημεν· ὅτι δὲ ταῖς θεοπνεύστοις γραφαῖς ἀκολουθοῦντες οἱ ἅγιοι πατέρες· τὰ τοιαῦτα κατέκριναν δόγματα σὺν Ὠριγένει τῷ ταῦτα μυθολογήσαντι, ἐξ αὐτῶν τῶν εἰρημένων τοῖς ἁγίοις πατράσι, καὶ ἤδη μὲν, σαφῶς ἀπεδείξαμεν· οὐδὲν δὲ ἧττον, καὶ διὰ τῶν ἐφεξῆς μαρτυριῶν τῶν ἁγίων πατέρων, ἀποδείξομεν· καὶ πρῶτον, τὸν ἅγιον Πέτρον ἐπίσκοπον Ἀλεξανδρείας γενόμενον καὶ μάρτυρα, παραθησόμεθα τοῖς τοιούτοις ἡμῶν μαρτυροῦντα λόγοις:-



Τοῦ ἁγίου Πέτρου ἐπισκόπου Ἀλεξανδρείας, καὶ μάρτυρος· ἐκ τοῦ πρώτου λόγου· περὶ τοῦ μηδὲ προϋπάρχειν τὴν ψυχήν· μηδὲ ἁμαρτήσασαν, διὰ τοῦτο εἰς σῶμα βληθῆναι:

Ἡγούμεθα τὰ περὶ τοῦ πρώτου ἐκ γῆς χοϊκοῦ γεγενημένου ἀνθρώπου παραθέσθαι, πρὸς τὸ δεῖξαι ἕνα καὶ τὸν αὐτὸν ἐν τῷ αὐτῷ καιρῷ γενόμενον· καὶ μερικῶς ποτὲ ὁ ἔσω καὶ ἔξω λέγηται ἄνθρωπος· εἰ γὰρ καὶ κατὰ τὸν σωτήριον λόγον· ὁ ποιήσας τὰ ἔσωθεν καὶ τὰ ἔξωθεν ἐποίησεν, ἀλλ᾽ ὅμως γε ἐφάπαξ καὶ ἐν ἑνὶ καιρῷ· τουτέστι, τῇ αὐτῇ ἡμέρᾳ· ὅτε εἶπεν ὁ θεός· ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν· ὡς ἐκ τούτου εὔδηλον εἶναι, ὅτι οὐκ ἀπὸ συνόδου· ὡς προόντος τινὸς ἑτέρου· καὶ ἀφ᾽ ἑτέρου τόπου συνεληλυθότος, γεγένηται· εἰ γὰρ σύνοδος ἦν, τίνος ἕνεκεν καὶ πεποιημένον ἀνεγράφη: [illegible] ὥστε οὐκ ἐνδέχεται πρὸ σωμάτων, ἐν οὐρανῷ ἁμαρτάνειν ψυχάς· μηδὲ ὅλως πρὸ σωμάτων ὑποστάσας· τὸ μάθημα τοῦτο, τῆς ἑλληνικῆς ἐστι φιλοσοφίας· ξένης καὶ ἀλλοτρίας οὔσης, τῶν ἐν Χριστῷ εὐσεβῶς θελόντων ζῆν:-

Τοῦ αὐτοῦ ἐκ τῆς μυσταγωγίας ἧς ἐποιήσατο

Πρὸς τὴν ἐκκλησίαν, μέλλων τὸν τοῦ μαρτυρίου
στέφανον ἀναδέχεσθαι:-

Διὰ τοῦτο παρακαλῶ γρηγορεῖτε· ὅτι ἐς θλῖψιν
πάλιν μέλλετε εἰσελθεῖν· οἴδατε πόσοις κινδύνοις
ὑπέμεινεν ὁ ἀναθρεψάμενός με πατήρ μου καὶ ἐπίσκοπος
θεωνᾶς, ἀπὸ τῶν μαινομένων εἰς τὰ εἴδωλα· οὗ
καὶ τὸν θρόνον διεδεξάμην· εἴθε δὲ καὶ τὸν τρόπον·
ὡσδέ, καὶ ὁ μέγας διονύσιος· κατακρυπτόμενος
ἀπὸ τόπων εἰς τόπους· πρὸς τούτοις καὶ σαβελλίου
θλίβοντος· τί δὲ εἴπω ἡρακλᾶν καὶ δημήτριον
τοὺς μακαρίους ἐπισκόπους· οἵους πειρασμοὺς
ὑπέστησαν, ὑπὸ τοῦ μανέντος ὠριγένους· καὶ αὐτοῦ
σχίσματα βαλόντος ἐν τῇ ἐκκλησίᾳ· τὰ καὶ
ἕως σήμερον ταραχὰς αὐτῇ ἐγείροντα· +

Πῶς τοίνυν δύναταί τις τῶν εὖ φρονούντων ἐναντι-
οῦσθαι τοῖς κατὰ ὠριγένους εἰρημένοις, παρὰ
τοῦ ἁγίου μάρτυρος καὶ ἐπισκόπου ἀλεξανδρείας,
πέτρου· ὅστις τὸν καλὸν ὑπὲρ χριστοῦ ἀναδεξάμενος
ἀγῶνα· οὐ μόνον ἀπεκήρυξεν ὠριγένην καὶ τὰ
μυσαρὰ αὐτοῦ δόγματα, ἀλλὰ καὶ μαρτυρεῖ,
ὡς οἱ πρὸ αὐτοῦ ἅγιοι πατέρες, πολλοὺς ὑπέμειναν
πειρασμούς, ὑπὸ τῆς ἐκείνου φρενοβλαβείας·
εἶπε δὲ καὶ ὁ ἐν ἁγίοις ἀθανάσιος ἐπίσκοπος



καὶ αὐτὸς ἀλεξανδρείας γενόμενος· ἐν τῷ λόγῳ
τῷ εἰς τὸν βίον τοῦ μακαρίου ἀντωνίου, ταῦτα·
πῶς δὲ χλευάζειν ἡμᾶς τολμᾶτε· λέγοντας τὸν
χριστὸν ἄνθρωπον πεφανερῶσθαι· ὅπου γε ὑμεῖς ἐκ τοῦ
νοῦ τὴν ψυχὴν ὁρίζοντες, φάσκετε πεπλανῆσθαι
αὐτὴν καὶ πεπτωκέναι ἀπὸ τῆς ἀψῖδος τοῦ
οὐρανοῦ, εἰς σῶμα. δεῖ προσέχειν τοῖς ἀκροω-
μένοις· ὅτι ὁ ἐν ἁγίοις ἀθανάσιος σαφῶς ἐναν-
τιοῦται τοῖς λέγουσι προϋπάρχειν τὸν νοῦν· καὶ
ἐκ τούτου γεγενῆσθαι τὴν ψυχὴν ἁμαρτήσασαν·
καὶ πεπτωκυῖαν ἀπὸ τῆς ἀψῖδος τοῦ οὐρανοῦ, εἰς
σῶμα:-   τοῦ ἁγίου ἀθανασίου:

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ ἀρειανῶν δευτέρου λόγου:-

Πᾶσα ἡ φαινομένη κτίσις, ἐν ἓξ ἡμέραις γέγονε·
καὶ τῇ μὲν πρώτῃ, τὸ φῶς· ὅπερ ἐκάλεσεν
ἡμέραν· τῇ δὲ δευτέρᾳ, τὸ στερέωμα· καὶ τῇ
τρίτῃ συναγαγὼν τὰ ὕδατα, ἔδειξε τὴν ξηράν·
καὶ τοὺς ἐν αὐτῇ ποικίλους προήγαγε καρπούς·
καὶ τῇ τετάρτῃ, πεποίηκε τὸν ἥλιον καὶ τὴν
σελήνην· καὶ πάντα τὸν τῶν ἀστέρων χορόν·
τῇ δὲ πέμπτῃ, τῶν ἐν τῇ θαλάσσῃ ζώων καὶ τῶν
ἐν τῷ ἀέρι πετεινῶν, τὴν γένεσιν ἔκτισε· τῇ δὲ
ἕκτῃ, τετράποδα ἐπὶ τῆς γῆς πεποίηκε· καὶ

λοιπόν, τὸν ἄνθρωπον τὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος.
τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιή-
μασι νοούμενα, καθορᾶται· καὶ οὔτε τὸ φῶς, ὡς
ἡ νύξ· οὔτε ὁ ἥλιος, ὡς ἡ σελήνη· οὔτε ἄλογα, ὡς
λογικοὶ ἄνθρωποι εἰσίν· οὔτε ἄγγελοι, ὡς οἱ θρόνοι· οὔτε
οὗτοι, ὡς αἱ ἐξουσίαι· ἀλλὰ πάντα μέν ἐστι κτίσματα·
ἕκαστον δὲ τῶν γενομένων κατὰ γένος, τὴν ἰδίαν
οὐσίαν ὡς γέγονεν ἔστι τε καὶ μένει· τί δ᾽οὐ καὶ ὁ ἐν
ἁγίοις Ἀθανάσιος παραδίδωσιν· ὅτι μετὰ πάντα
τὰ κτίσματα, ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· τὸν ἐκ σώ-
ματος καὶ ψυχῆς νοερᾶς καὶ λογικῆς· οὐ γὰρ εἶπε
τὸ σῶμα μετὰ πάντα γενέσθαι· ἵνα προϋπάρχουσα
ψυχὴ εἰσέλθῃ ἐν αὐτῷ· ἀλλ᾽ εἶπε μετὰ πάντα τὰ
κτίσματα, τὸν ἄνθρωπον γεγενῆσθαι τὸν ἐκ ψυχῆς
λογικῆς καὶ σώματος· δεικνὺς ὅτι ἀμφότερα
τουτέστι σῶμά τε καὶ ψυχήν, ὁ θεὸς κατὰ ταυτὸν
ἐδημιούργησεν. ἐπειδὴ δὲ καὶ τοῦτο μετὰ τῶν
ἄλλων Ὠριγένους βλασφημιῶν, εἴρηται· ὅτι
ἡ τοῦ κυρίου ψυχή, προϋπῆρχε· καὶ ταύτῃ ὁ λόγος
ἥνωτο πρὸ τῆς ἐκ παρθένου σαρκώσεως, καὶ
τὴν τοιαύτην ἀναιρῶν ληρῳδίαν αὐτὸς ὁ ἐν ἁγίοις
Ἀθανάσιος ἐν τῇ πρὸς Ἐπίκτητον ἐπιστολῇ,
λέγει τάδε· εἰκότως καταγνώσονται ἑαυτῶν



πάντες οἱ νομίζοντες πρὸ τῆς Μαρίας εἶναι, τὴν
ἐξ αὐτῆς σάρκα· καὶ πρὸ ταύτης ἐσχηκέναι ψυχὴν
ἀνθρωπίνην, τὸν θεοῦ λόγον· καὶ ἐν αὐτῇ πρὸ τῆς
ἐπιδημίας ἀεὶ γεγενῆσθαι. εἰ τοίνυν κατὰ τὰ
εἰρημένα τῷ ἐν ἁγίοις Ἀθανασίῳ· ἡ ψυχὴ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τοῦ κατὰ πάντα ὁμοιωθέντος
ἡμῖν χωρὶς ἁμαρτίας· οὐ προϋπῆρχε τῆς ἐν
σαρκὶ αὐτοῦ ἐπιδημίας, ποίας ἂν εἴη μανίας
τὸ λέγειν τὰς ἄλλας τῶν ἀνθρώπων ψυχάς, προ-
ϋπάρχειν τῶν σωμάτων· ἀκούσωμεν δὲ πρὸς
τούτοις, καὶ τοῦ ἐν ἁγίοις Βασιλείου ἐν τῷ λόγῳ
τῷ, ἐν ἀρχῇ ἦν ὁ λόγος· καὶ ὁ λόγος ἦν πρὸς τὸν
θεόν· λέγοντος οὕτως· ὅρα μή ποτέ σε παρα-
κρούσηται τὸ ὁμώνυμον τῆς φωνῆς· πῶς γὰρ
ἐν ἀρχῇ ἦν ὁ ἀνθρώπινος λόγος· τοῦ ἀνθρώπου
κάτω που λαβόντος, τὴν ἀρχὴν τῆς γενέσεως·
πρὸ ἀνθρώπου, θηρία· πρὸ ἀνθρώπου, κτήνη· τὰ ἑρπετὰ
ὅσα χερσαῖα καὶ ἔνυδρα· τὰ πετεινὰ τοῦ
οὐρανοῦ· ἀστέρες· ἥλιος· σελήνη· βοτάναι· γῆ·
θάλαττα· οὐρανός· ἰδοὺ ὁ πατὴρ σαφῶς ἡμῖν
προαγορεύει μὴ συναπαχθῆναι τοῖς τοῦ
Ὠριγένους μύθοις περὶ τῆς τῶν ψυχῶν προ-
ϋπάρξεως· διδάσκει γὰρ ἡμᾶς ἐν ἀρχῇ τὸν

ἀνθρώπινον λόγον· τουτέστι τὴν ψυχήν· ἀλλὰ διαρρήδην βοᾷ· ὅτι ἡ ἀνθρώπου γένεσις, ὑστέρα ἐστὶ πάντων τῶν τοῦ θεοῦ κτισμάτων· εἰ τοίνυν πάντα τὰ κτίσματα πρὸ τοῦ ἀνθρώπου, πῶς προϋπῆρχον αἱ ψυχαί· ὁ γὰρ πατήρ, οὐ πρὸ τοῦ σώματος, ἀλλὰ πρὸ τοῦ ἀνθρώπου· ὅπερ ἐστὶ ψυχή τε καὶ σῶμα, εἴπερ τὰ πάντα γεγενῆσθαι· καὶ ἐκ τούτου δεῖ κἀκεῖνα ἅμα ἑκάτερον δημιουργηθῆναι· λέγει δὲ καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης ἐκ τῆς περὶ τὸν ἄνθρωπον πραγματείας· τάχα γὰρ οὐκ ἔξω τῆς προκειμένης ἡμῖν πραγματείας ἐστὶ τὸ διεξετάσαι τὸ ἀμφιβαλλόμενον ταῖς ἐκκλησίαις, περί ψυχῆς τε καὶ σώματος· τισὶ μὲν γὰρ δοκεῖ τῶν πρὸ ἡμῶν· οἷς ὁ περὶ τῶν ἀρχῶν ἐπραγματεύθη λόγος· καθάπερ γάρ τινα δῆμον ἐν ἰδιαζούσῃ πόλει, τὰς ψυχὰς προϋφεστάναι λέγει· προκεῖσθαι δὲ κἀκεῖ, τά τε τῆς κακίας καὶ τῆς ἀρετῆς ὑποδείγματα· καὶ παραμένουσαν μὲν ἐν τῷ καλῷ τὴν ψυχήν, τῆς πρὸς τὸ σῶμα συμπλοκῆς μένειν ἀπείρατον· εἰ δὲ ἀπορρυῇ τῆς τοῦ ἀγαθοῦ μετουσίας, πρὸς τὸν τῇδε βίον κατολισθαίνειν· καὶ οὕτως ἐν σώματι γίνεσθαι· ἕτεροι δὲ τῇ κατὰ τὸν Μωσέα τάξει τῆς κατασκευῆς τοῦ ἀνθρώπου προσέχοντες, δευτέραν εἶναι τὴν ψυχὴν τοῦ σώματος κατὰ τὸν



χρόνον, φασίν· ἐπειδὴ πρῶτον λαβὼν ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς, τὸν ἄνθρωπον ἔπλασεν· ἔπειτα οὕτως ἐψύχωσε διὰ τοῦ ἐμφυσήματος· καὶ μετ' ὀλίγα· οἱ τῷ προτέρῳ παριστάμενοι λόγῳ· καὶ πρεσβυτέραν τῆς ἐν σαρκὶ ζωῆς τὴν πολιτείαν τῶν ψυχῶν δογματίζοντες, οὐ μοι δοκοῦσι τῶν ἑλληνικῶν καθαρεύειν· τῶν περὶ τῆς μετεμψυχώσεως μεμυθολογημένων· ἀλλ' εἴ τις ἀκριβῶς ἐξετάσειε, πρὸς τοῦτο κατὰ πᾶσαν ἀνάγκην τὸν λόγον αὐτοῖς εὑρήσει, κατασυρόμενον· φασί τινα τῶν παρ' Ἕλλησι σοφῶν, εἰρηκέναι· ὅτι καὶ ἀνὴρ γέγονε, καὶ γυναικὸς σῶμα ἠμφιάσατο· καὶ μετ' ὀρνέων ἀνέπτη· καὶ θάμνος ἔφυ· καὶ τὸν ἔνυδρον ἔλαχε βίον· οὐ πόρρω τῆς ἀληθείας κατὰ τὴν ἐμὴν κρίσιν φερόμενος, ὁ περὶ αὑτοῦ ταῦτα λέγων· ὄντως γὰρ βατράχων τινῶν· ἢ κολοιῶν φλυαρίας· ἢ ἀλογίας ἰχθύων· ἢ δρυῶν ἀναισθησίας, ἄξια τὰ τοιαῦτα δόγματα· τὸ μίαν ψυχὴν λέγειν διὰ τοσούτων ἐλθεῖν· τῆς δὲ τοιαύτης ἀτοπίας, αὕτη ἐστὶν ἡ αἰτία· τὸ προϋφεστάναι τὰς ψυχὰς, οἴεσθαι· δι' ἀκολούθου γὰρ ἡ ἀρχὴ τοῦ τοιούτου δόγματος, ἐπὶ τὸ προσεχὲς καὶ παρακείμενον τὸν λόγον προάγουσα, μέχρι τούτου τερατευομένη διεξῆλθεν·

εἰ γὰρ διά τινος κακίας ἀποσαθεῖσα τῆς ὑψηλοτέρας
ἡ ψυχὴ πολιτείας ἄγονος γίνεται· ἐμπαθεστέρα δὲ πάντως
ὁ ἐν σαρκὶ βίος συνομολόγηται παρὰ τὸν ἀΐδιον καὶ
ἀσώματον, ἀνάγκη πᾶσα τὴν ἐν τῷ τοιούτῳ γινο-
μένην βίῳ· ἐν ᾧ καὶ πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν
εἰσὶν ἀφορμαί, ἐν πλείονί τινι τῇ κακίᾳ γίνεσθαι·
καὶ ἐμπαθεστέραν διατεθῆναι· ἀνθρωπίνης δὲ
ψυχῆς πάθος, ἡ πρὸς τὸ ἄλογον ἐστὶν ὁμοίωσις.
καὶ τούτῳ προσοικειωθεῖσαν αὐτὴν, εἰς κτηνώδη
φύσιν μεταρρυῆναι· ἅπαξ τε διὰ κακίας ὁδεύουσαν,
μηδὲ ἐν ἀλόγῳ γενομένην, τῆς ἐπὶ τὸ κακὸν προόδου
λῆξαί ποτε· ἡ γὰρ τοῦ κακοῦ στάσις, ἀρχὴ τῆς κατ'
ἀρετήν ἐστιν ὁρμῆς· ἀρετὴ δὲ ἐν ἀλόγοις οὐκ ἔστιν.
οὐκοῦν πρὸς τὸ χεῖρον ἐξ ἀνάγκης ἀλλοιωθήσεται.
πάντοτε πρὸς τὸ χεῖρον καὶ ἀτιμότερον προϊοῦσα.
καὶ ἀεὶ τὸ χεῖρον τῆς ἐν ᾗ ἐστι φύσεως, ἐξευρίσκουσα.
ὥσπερ δὲ τοῦ λογικοῦ τὸ αἰσθητὸν ὑποβέβηκεν,
οὕτω καὶ ἀπὸ τούτου ἡ μετάπτωσις γίνεται· ἀλλὰ
μέχρι τούτου προϊὼν ὁ λόγος αὐτοῖς, καὶ ἔξω τῆς
ἀληθείας φέρεται· ἀλλά γε διά τινος ἀκολου-
θίας, ἄτοπον ἐξ ἀτόπου μεταλαμβάνει· τὸ δὲ
ἐντεῦθεν ἤδη διὰ τῶν ἀσυναρτήτων αὐτοῖς τὸ
δόγμα μυθοποιεῖται· ἡ μὲν ἀκολουθία,



παντελῆ διαφορὰν τῆς ψυχῆς ὑποδείκνυσιν· ἡ γὰρ
ἅπαξ τῆς ὑψηλῆς πολιτείας ἀπολισθήσασα, ἐν
οὐδενὶ μέτρῳ κακίας στῆναι δυνήσεται· ἀλλὰ διὰ
τῆς πρὸς τὰ πάθη σχέσεως· ἀπὸ μὲν τοῦ λογικοῦ,
πρὸς τὸ ἄλογον μεταβήσεται· ἀπ' ἐκείνου δὲ, πρὸς
τὴν τῶν φυτῶν ἀναισθησίαν μετατεθήσεται· τῷ δὲ
ἀναισθήτῳ πως, τὸ ἄψυχον· τούτῳ δὲ, τὸ ἀνύ-
παρκτον ἕπεται· ὥστε διόλου διὰ τῆς ἀκολουθί-
ας πρὸς τὸ μὴ ὂν αὐτοῖς ἡ ψυχὴ μεταχωρήσει· οὐκοῦν
ἀμήχανον αὐτὴν πάλιν εἶναι ἡ πρὸς τὸ κρεῖττον
ἐπάνοδος· ἀλλὰ μὴν ἐκ θάμνου ἐπὶ τὸν ἄνθρωπον
τὴν ψυχὴν ἐπανάγουσιν· οὐκοῦν προτιμοτέραν
τὴν ἐν θάμνῳ ζωὴν τῆς ἀσωμάτου διαγωγῆς,
ἐκ τούτων ἀποδεικνύουσι· δέδεικται γὰρ ὅτι
πρὸς τὸ χεῖρον γινομένη πρόοδος τῆς ψυχῆς, πρὸς
τὸ κατώτερον κατὰ τὸ εἰκὸς ὑποβήσεται· ὑπο-
βέβηκε δὲ τὴν ἀναίσθητον φύσιν, τὸ ἄψυχον·
εἰς ὃ διὰ ἀκολουθίας ἡ ἀρχὴ τοῦ δόγματος αὐτῶν,
τὴν ψυχὴν ἄγει· ἀλλ' ἐπειδὴ τοῦτο οὐ βούλονται,
ἢ τῷ ἀναισθήτῳ τὴν ψυχὴν κατακλάουσιν, ἢ εἴπερ
ἐντεῦθεν ἐπὶ τὸν ἄνθρωπον αὐτὴν ἐπανάγοιεν
βίον, προτιμότερον καθὼς εἴρηται τὸν
ξυλώδη βίον, τῆς πρώτης ἀποδείξωσι κατα-

στάσεως· εἴπερ ἐκεῖθεν μὲν ἢ πρὸς κακίαν κατα-
πτώσεις γεγόναμεν· ἐντεῦθεν δέ, ἢ πρὸς ἀρετὴν ἐπάνοδος
γίνεται· οὐκοῦν ἀκέφαλός τις καὶ ἀτελὴς ὁ τοιοῦτος
διελέγχεται λόγος· ὅτι αἱ ψυχαὶ ἐν ἑαυτῷ πρὸ τῆς ἐν
σαρκὶ ζωῆς, βιοτεύειν κατασκευάζων· καὶ διὰ κακί-
αν δεδέσθαι τοῖς σώμασι· προδήλου τοίνυν οὔσης
τῆς τοῦ πατρὸς διδασκαλίας· καὶ ἀποκρυπτούσης
τὸ λέγειν προϋπάρχειν τὰς ψυχὰς τῶν σωμάτων,
ἀκούσωμεν καὶ τοῦ ἐν ἁγίοις θεοφίλου τοῦ ἐπι-
σκόπου ἀλεξανδρείας· ἀπὸ τοῦ λόγου τοῦ
γραφέντος πρὸς τινὰς μοναχοὺς τὰ ὠριγένους
φρονοῦντας, λέγοντος τάδε· οὐκοῦν ἀναθεμα-
τίζοντες τὸν ὠριγένην καὶ τοὺς ἄλλους αἱρετικούς·
ὥσπερ ἡμεῖς τε καὶ ὁ τῆς ῥωμαίων ἁγίας ἐκ-
κλησίας ἐπίσκοπος ἀναστάσιος· ἐκ παλαιο-
τέρων ἀγωνισμάτων ἔνδοξος στρατηγὸς ἐπι-
σήμου λαοῦ χειροτονηθείς· ᾧ καὶ πᾶσα τῶν
μακαρίων κατὰ τὴν δύσιν ἐπισκόπων, ἕπεται
σύνοδος· ἀποδεχομένη τῆς τῶν ἀλεξανδρέων
ἐκκλησίας τὴν κατὰ τοὺς ἀσεβοῦς ψῆφον:—

θεοφίλ(ου)

τοῦ αὐτοῦ· ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν ...
... διὰ τοὺς ἐξακολουθοῦντας τῶν
δογμάτων ὠριγένους, καθαιρέσιν:—





Ἐτόλμησαν τινὲς εἰπεῖν διδάσκαλον εἶναι τῆς ἐκ-
κλησίας, ὠριγένην· πῶς ἄρα πρέπον τῶν τοιούτων
ἀνέχεσθαι; εἰ διδάσκαλός ἐστι τῆς ἐκκλησίας
ὠριγένης, μεγαλοφρονοῦσιν ἄρα ἀρειανοὶ καὶ
ἀνομοιανοί· καὶ ἕλληνες· οἱ μέν, εἰς τὸν υἱὸν
καὶ εἰς τὸ πνεῦμα βλασφημοῦντες· οἱ δέ, μετὰ τοῦ
δυσσεβεῖν ὁμοίως αὐτοῖς, καὶ τὴν ἀνάστασιν
τῶν νεκρῶν χλευάζοντες· σαφὲς τοίνυν ἐκ τῶν
εἰρημένων γεγένηται· ὅτι περ ὁ τοῖς ἁγίοις
πατράσιν ἀκολουθῶν, οὐκ ἀμφιβάλλει
ὡς οἱ τὰ ὠριγένους φρονοῦντες τῇ ἑλληνικῇ
πλάνῃ καὶ ἀρειανικῇ ἀκολουθοῦσι μανίᾳ·
λέγει δὲ καὶ ὁ ἐν ἁγίοις κύριλλος ἐπίσκοπος
ἀλεξανδρείας· ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς
ἐν φουᾶ μοναχούς· κατὰ τῶν λεγόντων μὴ
εἶναι ἀνάστασιν σωμάτων, τάδε· φασὶ
τοίνυν τῶν ἐν ὑμῖν τινες· ἀρνεῖσθαι τῶν ἀνθρω-
πίνων σωμάτων τὴν ἀνάστασιν· ὅπερ ἐστὶ μέρος
τῆς ὁμολογίας ἡμῶν ἧς ποιούμεθα προσιόντες
τῷ ἁγίῳ βαπτίσματι· ὁμολογοῦντες γὰρ τὴν
πίστιν, προσεπάγομεν, ὅτι πιστεύομεν καὶ
εἰς σαρκὸς ἀνάστασιν· εἰ δὲ ἀναιροῦμεν καὶ
οὐ πιστεύομεν ὅτι χριστὸς ἐκ νεκρῶν ἐγήγερται·

ἵνα ἡμᾶς ἀναστήσῃ σὺν ἑαυτῷ, χλευάζουσιν ἣν ἔχομεν
τὴν πίστιν· καὶ τὴν βασιλικὴν ἀφέντες ὁδὸν, βαδί-
ζομεν τὴν διεστραμμένην. ἐπειδὴ τοιαύτην κακοδοξίαν,
τῆς Ὠριγένους φρενοβλαβείας· ὃν καὶ οἱ πατέρες
ἡμῶν ὡς διαστρέφοντα τὴν ἀλήθειαν, ἀπεκήρυ-
ξαν καὶ ἀνεθεμάτισαν· οὐ γὰρ ἐφρόνησεν ὡς
χριστιανός· ἀλλὰ ταῖς ἑλλήνων ἀκολουθήσας
φλυαρίαις, πεπλάνηται. ἡ δὲ ἀρχὴ τοῦ νοσή-
ματος, ἐντεῦθεν αὐτῷ συμβέβηκε· φησὶ γὰρ ὅτι
προϋπάρχουσιν αἱ ψυχαὶ τῶν σωμάτων· καὶ ἀπὸ
ἀπασμοῦ παρηνέχθησαν εἰς ἐπιθυμίας πονηράς·
καὶ ἀπέστησαν θεοῦ· καὶ ταύτης ἕνεκα τῆς αἰτίας,
κατεδικάσθησαν αὗται· καὶ ἐσωματώθησαν· καὶ εἰσὶν
ὡς ἐν δεσμωτηρίῳ, ἐν σαρκί:-

τοῦ αὐτοῦ· ἐκ τῆς πρὸς τοὺς ἐν Φοινα μοναχ(οὺς) [illegible]

Ἡ δὲ ἐκκλησία ταῖς θεοπνεύστοις ἑπομένη γραφαῖς,
οὐκ οἶδε τῶν σωμάτων προϋπάρχουσαν τὴν
ψυχήν· ἀλλ᾽ οὐδὲ προαμαρτήσασαν πρὸ αὐτῶν.
πῶς γὰρ ἡ μὴ ὑφεστῶσα, ἁμαρτεῖν ἠδύνατο·
φαμὲν δέ· ὅτι ἔπλασε μὲν ὁ τῶν ὅλων δημι-
ουργὸς τὸ σῶμα ἐκ γῆς· ἐψύχωσε δὲ αὐτὸ, ψυχῇ
νοερᾷ· καὶ αὕτη ἐστὶν ἡ τοῦ ἀνθρώπου κατασκευή:-

Καὶ μεθ᾽ ἕτερα: ὅπου οὐκ ἐκ προγενεστέρων ὡς



φασὶν ἁμαρτημάτων, καταδεδίκασται ἡ τοῦ ἀνθρώπου
ψυχή· καὶ εἰς τοῦτον κατεπέμφθη τὸν κόσμον,
πιστώσεται γράφων καὶ ὁ πάνσοφος Παῦλος·
τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμ-
προσθεν τοῦ βήματος τοῦ Χριστοῦ· ἵνα κομίσηται
ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν,
εἴτε ἀγαθὰ, εἴτε φαῦλα· διὰ τί γὰρ μόνα τὰ διὰ
τοῦ σώματος φανερωθήσεσθαι φησί· καὶ οὐχὶ
δὴ μᾶλλον, καὶ τὰ πρὸ τοῦ σώματος· εἴπερ ἤδει
προοῦσαν καὶ προαμαρτήσασαν τὴν ψυχήν· ἀλλ᾽ ἐ-
πὶ μόνοις κρινόμεθα τοῖς διὰ τοῦ σώματος,
οὐκ ἔχομεν δῆλον ὅτι προγενεστέραν τοῦ σώματος
ἁμαρτίαν· οὐ γὰρ ὑφέστηκεν ὅλως ἡ τοῦ ἀνθρώπου
ψυχή, πρὸ αὐτοῦ· πληροφορεῖ δὲ πρὸς τοῦτο
ἡμᾶς, καὶ ἡ τοῦ νομικοῦ γράμματος δύναμις·
εἰ γὰρ ὡς φησὶν ὁ πεπλανημένος Ὠριγένης, ἐκ
τῶν προγενεστέρων ἁμαρτημάτων λόγῳ κολά-
σεως ἤτοι τιμωρίας ἐδέξατο τὸ σῶμα ἡ ψυχή,
διὰ ποίαν αἰτίαν ἠπείλησε θάνατον τοῖς ἁμαρ-
τάνουσιν· ἔδει γὰρ μᾶλλον τοὺς δικαίους ἀπο-
θνήσκειν· ἵνα ἀπαλλαγῶσι ταχέως τῶν δεσμῶν
καὶ τῆς τιμωρίας· ζῆν δὲ τοὺς ἀλιτηρίους ἵνα
κολάζωνται, μὴ ἀπαλλαττόμενοι τῶν δεσμῶν:-

ταῦτ

Ἐκ τῆς ἐκτεθείσης τῶν κατ᾽ Αἴγυπτον καὶ Ἀλεξάνδρειαν ἐπισκόπων συνοδικῆς ἐπιστολῆς, κατὰ ὠριγένους δογμάτων:–

Οὗτος τοίνυν ὁ προκείμενος ὠριγένης· καθάπερ τὸ τῆς ἐρημώσεως βδέλυγμα, ἐν μέσῳ τῆς ἀληθοῦς ἐκκλησίας γεγένηται· καὶ πρεσβύτερος χειροτονηθεὶς ὑπὸ τῆς κανονικῆς τε καὶ μιᾶς χοροῦ ἀληθινῆς, εἶχε τὸ ἀξίωμα τοῦ πρεσβυτέρου ψιλόν τε καὶ μόνον· καθάπερ καὶ τὸ τῆς ἀποστολῆς ἀξίωμα εἶχεν ὁ κλέπτης καὶ προδότης ἰούδας· ἀρξαμένου γὰρ αὐτοῦ βλασφήμους ὁμιλίας ὁμιλεῖν· ὁ κατ᾽ ἐκεῖνο καιροῦ μακαρίτης ἐπίσκοπος ἡρακλᾶς· ὡς δραστήρ καὶ ἀμπελουργὸς φιλαλήθης τοῦ τῆς ἐκκλησίας χωρίου τυγχάνων, ἐκ μέσου τοῦ καλοῦ σίτου, τοῦτον ἐξέτιλεν· ὡς τοῦ πονηροῦ ζιζανίου ὄντα ἀληθῶς: καὶ μετ᾽ ὀλίγα: ἐκπεσὼν γοῦν οὗτος ἐπὶ τὴν γῆν οὐρανόθεν ὡς ἀστραπή· καθάπερ ὁ τούτου πατὴρ ὁ διάβολος· θυμοῦ τοῦ πολλοῦ καὶ δεινοῦ κατὰ τῆς ἀληθείας ἐπὶ τὴν καλουμένην παλαιστίνην χώραν ἔπλασε, πνεύσας· καὶ καθίσας ἐν τῇ καισαρέων μητροπόλει· κἀκεῖσε τὸ πρόσωπον ἀποκαλύψας ὅλον ἐξ ὅλου τοῦ καλύμματος· καθάπερ οἱ ἰχθύς· ἡ σηπία παρ᾽ ἀπισ-



καλουμένη· ὅπερ αὐτοῦ καθ᾽ ἣν ὁδὸν ἣν ἐντύχῃ χανεῖ σκοτεινόν τε καὶ μέλαν, ἰὸν ἐξεμέσας, ἐκεῖσε ἐγγράφως ἀπετυπώσατο· καὶ καθάπερ ἰοῦ δαϊκὸς κάπηλος· πρόσχημα τοῦ ἀγαθοῦ, τὴν πικρὰν γλυκὺ κατέμιξε· τότε γὰρ ὁ κακομήχανος καὶ μανιώδης, λέγει· ὡς φησὶ πρὸ σώματος ἡ ψυχή, ἐν οὐρανοῖς προοῦσα· κἀκεῖσε φησὶν ἁμαρτήσασα, ἐν φυλακῇ κατήγισται· τουτέστιν, ἐν τῷ σώματι κατεπέμφθη· εἰς καθαρισμὸν φησὶ καὶ σωφρονισμόν, τῶν ἐν οὐρανοῖς αὐτῇ γεγενημένων ἁμαρτιῶν· πρῶτον ἐνθένδε ἀθέως, ὁ ἀσεβέστατος μυθολογεῖ· καὶ μάχεσθαι τῇ ἀληθείᾳ ἐθέλει:–

καὶ μετ᾽ ὀλίγα· εἰ δὲ προῆν ἡ ψυχὴ ἐν τοῖς οὐρανοῖς· καὶ προημάρτηκεν ἐκεῖσε· καθὼς ὠριγένης ὁ μανιώδης καὶ θεομάχος ἔφησεν, ἔδει μὴ λέγειν τὸν ἀψευδέστατον προφήτην· καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ· ἀλλὰ μᾶλλον, καταγίζων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ· ἢ τάχα καταπέμπων· νῦν δὲ μὴ τοῦτο λέγων, ἀλλὰ πλάσσων ἐν αὐτῷ, δείκνυσι τὸν λύκον ὄντα βδελυρώτατον· ἐνδεδυμένον ἔξωθεν πρὸς ἀπάτην, ἀπωλάσας τὰ κώδια· ὡς οὐρανόθεν γὰρ ὁ ἐπίληπτος· καὶ τὰ ἕκαστα διατετυπωμένα ἐπιστάμενος προφανῶς·

ὡς οὐ μόνον προοῦσαν, ἀλλὰ καὶ προημαρτηκέναι τὴν ψυχὴν λέγει. ἀποδέδεικται τοίνυν διά τε τῆς θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων, ὅτι οὐδέ τι τῶν χριστιανῶν ἀληθινῇ πίστει, οὐδὲ τῷ ὀρθῷ λόγῳ, συμβαίνουσιν αἱ τῶν αἱρετικῶν περὶ προϋπάρξεως ψυχῶν φαντασίαι. καὶ τοῦτο δὲ πρὸς τοῖς ἄλλοις, τὴν Ὠριγένους περιέχει παράνοιαν· τὸ λέγειν τὸν οὐρανὸν καὶ τὴν σελήνην καὶ τὸν ἥλιον καὶ τοὺς ἀστέρας καὶ τὰ ὕδατα τὰ ἐπάνω τῶν οὐρανῶν, ἔμψυχα καὶ λογικὰ καὶ τινὰς εἶναι δυνάμεις. ταῦτα δὲ σαφῶς ἀπαγορεύει, καὶ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῷ τρίτῳ λόγῳ τοῦ ὑπομνήματος, τῆς ἑξαημέρου· λέγων κατὰ τῶν Ὠριγένους δογμάτων, οὕτως· ἡμῖν δὲ καὶ πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἐστὶν ὁ λόγος περὶ τῶν διακριθέντων ὑδάτων· οἳ προφάσει ἀναγωγῆς καὶ νοημάτων δῆθεν ὑψηλοτέρων, εἰς ἀλληγορίαν κατέφυγον· δυνάμεις λέγοντες πνευματικὰς καὶ ἀσωμάτους τροπικῶς, ἐκ τῶν ὑδάτων σημαίνεσθαι· καὶ ἄνω μὲν ἐπὶ τοῦ στερεώματος, μεμενηκέναι τὰς κρείττους· κάτω δὲ τοῖς περιγείοις καὶ ὑλικοῖς τόποις, προσαπομεῖναι τὰς πονηράς· διὰ τοῦτο δή φασι καὶ τὰ ἐπάνω τῶν οὐρανῶν ὕδατα, αἰνεῖν τὸν κύριον·



τουτέστι τὰς ἀγαθὰς δυνάμεις· ἀξίας οὔσας διὰ καθαρότητα τοῦ ἡγεμονικοῦ, τὸν πρέποντα αἶνον ἀποδιδόναι τῷ κτίσαντι· τὰ δὲ ὑποκάτω τῶν οὐρανῶν ὕδατα, πνεύματα εἶναι τῆς πονηρίας· ἀπὸ τοῦ κατὰ φύσιν ὕψους, εἰς τὸ τῆς κακίας βάθος καταπεσόντα· ἅπερ ὡς ταραχώδη, ὄντα καὶ στασιαστικὰ· καὶ τοῖς θορύβοις τῶν παθῶν κυμαινόμενα, θάλασσαν ὀνομάζεσθαι· διὰ τὸ εὐμετάβλητον καὶ ἄστατον τῶν κατὰ προαίρεσιν κινημάτων· τοὺς δὲ τοιούτους λόγους· ὡς ὀνειράτων συγχύσεις· καὶ γραώδεις μύθους ἀποπεμψάμενοι, τὸ ὕδωρ, ὕδωρ νοήσωμεν· καὶ τὴν διάκρισιν τὴν ὑπὸ τοῦ στερεώματος, κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν, δεξόμεθα· καὶ εἰ δοξολογίαν ποτὲ τοῦ κοινοῦ τῶν ὅλων δεσπότου τὰ ὑπεράνω τῶν οὐρανῶν παραλαμβάνηται ὕδατα, οὐ λογικὴν αὐτὰ φύσιν, παρὰ τοῦτο τιθέμεθα· οὔτε γὰρ οἱ οὐρανοὶ ἔμψυχοι· ἐπειδὴ διηγοῦνται δόξαν θεοῦ, οὐδὲ τὸ στερέωμα ζῷον αἰσθητικόν, ἐπειδὴ ἀναγγέλλει ποίησιν τῶν χειρῶν αὐτοῦ· δεῖ δὲ προσέχειν τοὺς ἀκροατάς· ὅτι τὸ εἰπεῖν τὸν πατέρα πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἐστὶν ἡμῖν

λόγος, περὶ ὠριγένους διαλέγεται· τῆς τοῦ θῦ
χάριτος· καὶ τῆς ἁγίας τοῦ θῦ ἐκκλησίας, ἀπελα-
θέντος· καὶ τῶν ὁμοφρόνων ἐκείνῳ· οὐ γὰρ εἶπε·
πρὸς τοὺς ἐν τῇ ἐκκλησίᾳ· ἀλλὰ πρὸς τοὺς ἀπὸ
τῆς ἐκκλησίας ἡμῶν ἐστὶν ὁ λόγος· καὶ διὰ μὲν
τοῦ εἰπεῖν ἡμῶν, τοὺς τῆς ἐκκλησίας ἐδήλωσε·
διὰ δὲ τοῦ εἰπεῖν ἀπὸ, τοὺς ταύτης ἀποπεσόντας
ἐσήμανεν· ἓν δὲ καὶ μόνον τῶν ἀναιδῶς εἰς ὠρι-
γένην εἰσπουδασμάτων· τὸ τὴν ἑλληνικὴν
πλάνην κρατῦναι· καὶ ταῖς τῶν σαθροτέρων
ψυχαῖς, ζιζάνια ἐγκατασπεῖραι· διὸ κἀκεῖνο·
τὸ γέλωτος μὲν ἄξιον· παρ' αὐτοῦ δὲ ὅμως
εἰρημένον· περὶ τῆς τῶν ἀνθρώπων ἐκ νεκρῶν
ἀναστάσεως, προσθεῖναι συνείδομεν· λέγει γὰρ
ὅτι ἐν τῇ ἀναστάσει, σφαιροειδῆ ἐγείρονται
τὰ σώματα τῶν ἀνθρώπων· ὢ τῆς ἀνοίας καὶ ἀμα-
θίας τοῦ φρενοβλαβοῦς τούτου· καὶ τῶν
ἑλληνικῶν δογμάτων ἐξηγητοῦ· ὅστις τυφλώτ-
των τὴν διάνοιαν· καὶ τῇ τῶν χριστιανῶν πίστει
μύθους ἐπιμίξαι σπουδάσας, αὐτὴν τὴν χριστι-
ανῶν ἐλπίδα τε καὶ σωτηρίαν· τουτέστι τὴν ἐπηγ-
γελμένην ἡμῖν ἀνάστασιν, ἐσπούδασεν ἐνυβρίσαι·
μὴ δὲ τὴν τοῦ κῦ ἀνάστασιν ἐντρεπόμενος· ἐγερθεὶς



γὰρ ὁ κς ἐκ νεκρῶν, καὶ ἀπαρχὴ τῶν κεκοιμη-
μένων γενόμενος, τοῖς μαθηταῖς ὤφθη· καὶ
ἔδειξεν αὐτοῖς καὶ τὰς διατρήσεις τῶν χειρῶν
καὶ τῶν ποδῶν, καὶ τὴν πληγὴν τῆς πλευρᾶς·
καὶ ἔφαγε μετὰ τὴν ἀνάστασιν· οὐ χρείας τροφῆς
δεόμενος· ἀλλ' ἵνα τῷ τρόπῳ τούτῳ, τὴν τοῦ
ἀναστάντος σώματος φύσιν, πιστώσηται· ἀμέλει-
τοι καὶ ἀναλαμβανομένου τοῦ κῦ, ὁ ἄγγελος
πρὸς τοὺς μαθητὰς ἔλεγεν· οὗτος ὁ ἰς ὁ ἀναλη-
φθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐνόν, οὕτως ἐλεύσεται
ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς
τὸν οὐνόν· εἰ δὲ καθὼς ὠριγένης μαίνεται
σφαιροειδὲς ἦν τὸ σῶμα τοῦ κῦ, πῶς εἶχε
δεῖξαι τὰς τῶν χειρῶν καὶ ποδῶν διατρήσεις·
ἢ τὴν πληγὴν τῆς πλευρᾶς· ἢ πῶς φαγεῖν ἠδύ-
νατο· ἢ ὅλως ὑπὸ τῶν μαθητῶν γνωρισθῆναι·
πῶς δὲ καὶ τὰ τῶν ἁγίων σώματα μετὰ τὴν τοῦ
κῦ ἀνάστασιν ἐγερθέντα· καὶ ὀφθέντα ἐν τῇ
ἁγίᾳ πόλει, δυνατὸν ἦν παρὰ τῶν ἄλλων
γνωρισθῆναι· εἴπερ ἐν ἄλλῳ σχήματι ἦν παρ'
ὅπερ ἔτυχαν ἐν τῇ ζωῇ· ἐν τῇ πέτρᾳ τοίνυν
τῆς πίστεως ἐστηριγμένος οὐδαμῶς· ἀλλὰ
τοιαύτας καὶ τούτων πολλῷ χείρους βλασφημ-

ὁ δυσσεβὴς Ὠριγένης ἐκθέμενος, εἰκότως ἐν τῷ καιρῷ
τοῦ μαρτυρίου, τὸν μὲν χριστὸν ἀπηρνήσατο· τὴν δὲ παρ'
αὐτοῦ εἰσαγομένην ἑλληνικὴν πολυθεΐαν, προσεκύ-
νησε· καὶ τοῦτο δὲ κατὰ θεοῦ γέγονε πρόνοιαν· ἵνα
μὴ αὐτὴ μάρτυρος ἐν τῇ ἐκκλησίᾳ δεχθῇ· καὶ
ἐντεῦθεν τῇ ποίμνῃ τοῦ χριστοῦ, βλάβη προσγένηται·
εἰ γάρ τινες εἰσὶ καὶ νῦν· ὁμολογοῦντες μὲν τὸ
ἐκείνου πτῶμα· ἀντιποιούμενοι δὲ τῶν αὐτοῦ,
πῶς οὐκ ἔμελλον τὰ αὐτοῦ, ὡς μάρτυρος καὶ πατρὸς,
ἐκδικεῖν· εἰ γὰρ συνέβη αὐτὸν μὴ προσκυνήσαντα
τοῖς εἰδώλοις, τελειωθῆναι· οὐδεὶς γὰρ τῆς
ἀληθείας ἀντεχόμενος, ἐκπίπτει θεοῦ· ἢ ἐγκατα-
λιμπάνεται ὑπ' αὐτοῦ· κατὰ τὸ εἰρημένον τῇ
θείᾳ γραφῇ· ἐμβλέψατε εἰς ἀρχαίας γενεάς,
καὶ ἴδετε· τίς ἐπίστευσε τῷ κυρίῳ, καὶ ἐγκατελεί-
φθη· ἢ τίς ἤλπισεν εἰς αὐτὸν, καὶ ὑπερεῖδεν
αὐτόν· Ὠριγένης δὲ ὁ δυσσεβής· ταῖς ἑαυτοῦ
βλασφημίαις, οὐ μέχρις ἑαυτοῦ ἔστησεν· ἀλλὰ
διὰ τῶν ἰδίων συγγραμμάτων, καὶ εἰς πολλοὺς
ἑτέρους, τὴν οἰκείαν πλάνην παρέπεμψεν·
ὥστε πάνυ ἐπ' αὐτῷ ἁρμόδιον εἶναι τὴν τοῦ ἁγίου
ἀποστόλου Παύλου, φωνήν· λέγουσαν· ὅτι
τινῶν μὲν αἱ ἁμαρτίαι, πρόδηλοί εἰσι προ-

άγουσαι εἰς κρίσιν· τισὶ δὲ καὶ ἐπακολουθοῦσιν·
οἱ γὰρ διαδοχὴ τῆς πλάνης αὐτοῦ ἐν ταῖς τῶν
σαθροτέρων ἐνέρπουσα ψυχαῖς, δίδωσιν ἀκο-
λουθεῖν αὐτῷ τὰς ἐξ ἀρχῆς ὑπ' αὐτοῦ γενομένας
ἁμαρτίας· ὡς γὰρ οὐκ ἐξαρκούσης τοῖς τὰ
Ὠριγένους δοξάζουσι· τῆς περὶ προϋπάρξεως
τῶν ψυχῶν ἀσεβείας· καὶ τῶν ἄλλων αὐτοῦ
ματαιολογιῶν καὶ τῶν περὶ τῆς ἁγίας τριάδος
βλασφημιῶν, καὶ τοῦτο τῇ οἰκείᾳ προστιθέ-
ασι πλάνῃ· ἐκ τῶν ἐκείνου διεστραμμένων
ὁδηγούμενοι, λόγων· τὸ λέγειν ὅτι πάντων
ἀσεβῶν ἀνθρώπων· καὶ προσγε δαιμόνων, ἡ κό-
λασις πέρας ἔχει· καὶ ἀποκατασταθήσονται
ἀσεβεῖς τε καὶ δαίμονες, εἰς τὴν προτέραν
αὐτῶν τάξιν· ταῦτα δὲ λέγοντες, ῥαθύμους
μὲν ποιοῦσι τοὺς ἀνθρώπους περὶ τὸ πληροῦν τὰς
ἐντολὰς τοῦ θεοῦ· τῆς στενῆς καὶ τεθλιμμένης
αὐτοὺς ἀποτρέποντες ὁδοῦ, καὶ πρὸς τὴν
πλατεῖαν καὶ εὐρύχωρον ἀποπλανῶντες·
ἐναντιοῦνται δὲ καθάπαξ, καὶ τοῖς τοῦ
μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, λεγομένοις·
αὐτὸς γὰρ ἐν τῷ ἁγίῳ εὐαγγελίῳ διδάσκει·
ὡς οἱ μὲν ἀσεβεῖς, ἀπελεύσονται εἰς κόλασιν

› αἰώνιον. οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον. καὶ πάλιν
› λέγει τοῖς μὲν ἐκ δεξιῶν, δεῦτε οἱ εὐλογημένοι
› τοῦ πατρός μου καὶ κληρονομήσατε τὴν ἡτοιμα-
› σμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς
› κόσμου. τοῖς δὲ ἐξ εὐωνύμων, πορεύεσθε ἀπ'
› ἐμοῦ οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον.
› τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις
› αὐτοῦ. φανερῶς οὖν τοῦ κυρίου διὰ τοῦ ἁγίου
εὐαγγελίου, ἀτελεύτητον τὴν κόλασιν καὶ
τὴν βασιλείαν ἐπαγγελλομένου, πρόδηλοι
καθεστήκασιν οὗτοι. τὰ ὠριγένους ληρήματα
προτιμῶντες, τῶν τοῦ κυρίου ἀποφάσεων.
ὅπου γε κἀκεῖθεν αὐτῶν ἡ ἄνοια διελέγχεται.
εἰ γάρ τις κατὰ τοὺς ἐκείνου λήρους. ὑπόθοιτο
πέρας ἔχειν τὴν κόλασιν, ἀνάγκη τὸν τοιοῦτον
ση(μείωσαι) ἀναγκαῖον — καὶ τῇ ἐπηγγελμένῃ τοῖς δικαίοις αἰωνίᾳ ζωῇ,
τέλος ἐπιθεῖναι. ἐξ ἴσης γὰρ ἐπ' ἀμφοτέρων,
τὸ αἰώνιον κεῖται. καὶ εἰ πέρας ἔχει
κόλασίς τε καὶ ἀπόλαυσις, διὰ τί ἡ ἐναν-
θρώπησις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. διὰ τί δὲ καὶ
ἡ σταύρωσις. καὶ ὁ θάνατος. καὶ ἡ ταφή.
καὶ ἡ ἀνάστασις τοῦ κυρίου. ποῖον δὲ ὄφελος
τοῖς τὸν καλὸν ἀγῶνα ἀγωνισαμένοις καὶ



ὑπὲρ Χριστοῦ μαρτυρήσασιν. εἰ μέλλοιεν δαίμονές τε
καὶ ἀσεβεῖς, τὴν αὐτὴν τοῖς ἁγίοις τάξιν διὰ τῆς
ἀποκαταστάσεως, λαμβάνειν. ἀλλὰ ταῦτα μὲν,
ἐπὶ τὰς ἐκείνων τρεπέσθω κεφαλάς, τῶν ταῦτα
μυθολογούντων. οἱ γὰρ τοῦ Χριστοῦ λόγοι διαμένου-
σιν ἀσάλευτοι ἐν ταῖς τῶν πιστῶν ψυχαῖς. καὶ ἐν
αὐτῇ τῇ τῶν πραγμάτων ἀληθείᾳ. οἱ δὲ τὴν
ὠριγένους ἐκδικοῦντες κακοδοξίαν. φάσκοντες
τοὺς περὶ τούτων ἀρραγεῖς ἐλέγχους. καὶ συγ-
κρύπτειν τὴν ἑαυτῶν πλάνην βουλόμενοι.
τινὰς ῥήσεις ἐκ τῶν ἁγίων πατέρων κακῶς ἐκ-
λαμβάνοντες. καὶ πρὸς τὸν ἴδιον νοῦν παρερ-
μηνεύοντες, τῇ οἰκείᾳ προσαρμόζουσι νόσῳ.
ὃ γὰρ ποιοῦσι καὶ ἐπὶ τῶν θείων γραφῶν.
ἡμεῖς δὲ ἐξ αὐτῶν τῶν ἁγίων πατέρων ἀποδείξομεν
ματαίους εἶναι καὶ τοὺς τοιούτους αὐτῶν λόγους.
λέγει τοίνυν ὁ ἐν ἁγίοις θεολόγος Γρηγόριος
› ἐν τῷ ἀπολογητικῷ λόγῳ, τάδε. ἡμῖν δὲ
› οἷς τὸ κινδυνευόμενόν ἐστι σωτηρία ψυχῆς
› τῆς μακαρίας τε καὶ ἀθανάτου. καὶ ἀθανάτως
› κολασθησομένης, ἢ ἐπαινεθησομένης, διὰ
› κακίαν ἢ ἀρετήν, πόσον χρὴ δοκεῖν εἶναι τὸν
› ἀγῶνα. καὶ ὅσης δεῖν τῆς σπουδῆς:—

+ τοῦ θεολόγου:

Καὶ μετ' ὀλίγα: τίς ψευδὴς ἀπολογία· ποία πιθανό-
της ἔντεχνος· τίς ἐπίνοια κατὰ τῆς ἀληθείας
παραλογιεῖται τὸ δικαστήριον· καὶ κλέψει τὴν
ὀρθὴν κρίσιν, τοῖς πᾶσι πάντα ἐνζυγοστατοῦσαν·
καὶ πρᾶξιν· καὶ λόγον· καὶ διανόημα· καὶ
ἀντιστηκοῦσαν τοῖς πονηροῖς τὰ βελτίονα, ἵνα
ὁπότερον ἐπινικήσῃ, καὶ μετὰ τοῦ πλεονάζοντος ἡ ψῆφος
γένηται, μεθ' ἣν οὐκ ἔφεσις, οὐ κριτὴς ὑψηλό-
τερος, οὐκ ἀπολογία δι' ἔργων δευτέρων, οὐκ
ἔλαιον παρὰ τῶν φρονίμων παρθένων, ἢ
τῶν πωλούντων ταῖς ἐκλειπούσαις λαμπάσιν·
οὐ μεταμέλεια πλουσίου, φλογιζομένου,
καὶ τοῖς οἰκείοις ἐπιζητοῦντος διόρθωσιν·
οὐ προθεσμία μεταποιήσεως· ἀλλὰ καὶ
μόνιμον καὶ τελευταῖον καὶ φοβερὸν τὸ
κριτήριον· καὶ δίκαιον πλέον, ἢ ὅσον ἐπί-
φοβον· μᾶλλον δὲ διὰ τοῦτο καὶ φοβερώτατον,
ὅτι δίκαιον· ὅτε θρόνοι τίθενται· καὶ παλαιὸς
ἡμερῶν προκαθέζεται· καὶ βίβλοι ἀνοίγον-
ται· καὶ ποταμὸς πυρὸς ἕλκεται· καὶ τὸ φῶς
ἔμπροσθεν· καὶ τὸ σκότος ἡτοιμασμένον·
καὶ πορεύονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς
ἀνάστασιν ζωῆς τῆς ἐν Χριστῷ νῦν κρυπτομένης
καὶ ὕστερον αὐτῷ συμφανερουμένης· οἱ δὲ τὰ
φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως· εἰς
ἣν ἤδη παρὰ τοῦ κρίναντος αὐτοὺς λόγου οἱ μὴ
πιστεύοντες, κατεκρίθησαν· καὶ τούτους μὲν,
τὸ ἄφραστον φῶς διαδέξεται· καὶ ἡ τῆς ἁγίας
καὶ βασιλικῆς τριάδος χάρις· ἐλλαμπούσης
τρανότερόν τε καὶ καθαρώτερον· καὶ ὅλης
ὅλῳ νοῒ μιγνυμένης· ἣν δὴ καὶ μόνην
βασιλείαν οὐρανῶν ἐγὼ τίθημι· τοῖς δὲ μετὰ
τῶν ἄλλων, βάσανος· μᾶλλον δὲ πρὸ τῶν
ἄλλων, τὸ ἀπερρῖφθαι Θεοῦ· καὶ ἡ ἐν τῷ συνει-
δότι αἰσχύνη, πέρας οὐκ ἔχουσα:-

Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας
ἐκ τοῦ κανονικοῦ αὐτοῦ βιβλίου:- ἐρ:-

Ὅπου μὲν λέγει· δαρήσεται πολλάς· ὅπου δὲ
ὀλίγας, πῶς λέγουσί τινες μὴ εἶναι τέλος
τῆς κολάσεως, τοῖς κολαζομένοις:- ἀπ
Τὰ ἀμφίβολα καὶ ἐπικεκαλυμμένως εἰρῆ-
σθαι δοκοῦντα ἔν τισι τόποις τῆς θεοπνεύστου
γραφῆς, ὑπὸ τῶν ἀλλαχοῦ ἐν ἄλλοις ὁμολογου-
μένων, σαφηνίζεται· τοῦ οὖν κυρίου ἀποφηνα-
μένου ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν
αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

ποτὲ δὲ ἐκπέμποντος ἡμᾶς εἰς τὸ πῦρ τὸ αἰώνιον
τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις
αὐτοῦ· καὶ ἄλλοτε, ὀνομάζοντος γέενναν πυρός·
καὶ ἐπιφέροντος ὅπου ὁ σκώληξ αὐτῶν οὐ
τελευτᾷ· καὶ τὸ πῦρ οὐ σβέννυται· καὶ ἔτι
πάλαι διὰ τοῦ προφήτου περὶ τινῶν προειρη-
κότος· ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει·
καὶ τὸ πῦρ οὐ σβεσθήσεται· τούτων καὶ τῶν
τοιούτων πολλάκις ὑπὸ τῆς θεοπνεύστου
γραφῆς λεγομένων, ἓν καὶ τοῦτο τῆς μεθο-
δείας τοῦ διαβόλου, τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων,
ὥσπερ ἐπιλαθομένους τῶν τοσούτων καὶ
τοιούτων τοῦ κυρίου ἀποφάσεων, τέλος κατα-
τολμᾶν κολάσεων τῆς ἁμαρτίας εἰς τὸ
μέλλον ἑαυτοῖς ὑπογράφειν· εἰ γὰρ τῆς αἰω-
νίου κολάσεως ἔσται ποτὲ τέλος, ἕξει πάντως
καὶ ἡ αἰώνιος ζωὴ τέλος· εἰ δὲ ἐπὶ τῆς ζωῆς
οὐχ οὕτω νοῆσαι ~~νοῆσαι~~ τὸ ῥητὸν καταδεχό-
μεθα, ποῖον ἔχει λόγον τῇ κολάσει τῇ αἰωνίῳ
τέλος διδόναι· ἡ γὰρ τοῦ αἰωνίου προσθήκη,
ἐφ' ἑκατέρων ἐπίσης κεῖται· ἀπελάσονται
γάρ φησιν οὗτοι, εἰς κόλασιν αἰώνιον· οἱ δὲ
δίκαιοι, εἰς ζωὴν αἰώνιον:-





τοῦ αὐτοῦ ἐκ τοῦ προτρεπτικοῦ εἰς τὸ βάπτισμα
λόγου· διὰ πρόσκαιρον ἁμαρτίας ἡδονήν,
ἀθανάτως βασανίζομαι· διὰ ἡδονὴν σαρκός,
τῷ πυρὶ τῷ αἰωνίῳ παραδίδομαι:-

τοῦ ἁγίου ἰωάννου ἀρχιεπισκόπου κωνσταντι-
νουπόλεως, τοῦ χρυσοστόμου· ἐκ τῆς πρὸς
θεόδωρον τὸν μοναχόν, πρώτης ἐπιστολῆς:

ἐννόει διόλου καὶ τὸν ποταμὸν τοῦ πυρός·
ποταμὸς γὰρ πυρὸς εἷλκε πρὸ προσώπου
αὐτοῦ· οὐκ ἔστιν ἐκείνῳ παραδοθέντα τῷ
πυρί, προσδοκῆσαι κολάσεως τέλος· ἀλλ'
αἱ μὲν ἄτοποι τοῦ βίου ἡδοναί, τῶν σκιῶν
καὶ ὀνειράτων διαφέρουσιν οὐδέν· πρὶν ἢ
γὰρ τελεσθῆναι τὰ τῆς ἁμαρτίας, σβέννυται
τὰ τῆς ἡδονῆς· αἱ δὲ ὑπὲρ τούτων κολάσεις,
πέρας οὐκ ἔχουσι:-

τοῦ αὐτοῦ· ἐκ τοῦ
ὑπομνήματος τῆς πρὸς κορινθίους πρώτης
ἐπιστολῆς:

οὐ μικρὸν ἡμῖν τὸ προκείμενον
ζήτημα ἐντεῦθεν, ἀλλὰ καὶ περὶ τῶν σφόδρα
ἀναγκαίων· ἅπαντες ζητοῦσιν αὐτοί, εἰ
τέλος ἔχει τὸ τῆς γεέννης πῦρ· ὅτι μὲν γὰρ
οὐκ ἔχει, ὁ Χριστὸς ἀπεφήνατο λέγων· τὸ πῦρ
αὐτῶν οὐ σβεσθήσεται· καὶ ὁ σκώληξ αὐτῶν

οὐ τελευτήσει. καὶ ὁ παῦλος δὲ δεικνὺς ἀθάνατον τὴν κόλασιν, φησίν· οἱ ἁμαρτάνοντες, δίκην τίσουσιν, ὄλεθρον αἰώνιον. τῆς θείας τοίνυν γραφῆς· καὶ τῶν ἁγίων πατέρων σαφῶς ἡμᾶς ἐκδιδασκόντων· μὴ εἶναι τέλος κολάσεως τῶν ἀσεβῶν τῶν ὑπὸ καμνῶν θεραπευομένων δαιμόνων, ποίαν ἀποκατάστασιν οἱ τὰ ὠριγένους φρονοῦντες, φαντάζονται· ἐν ᾧ πέρας αἱ τιμωρίαι, οὐκ ἔχουσιν· ἡ ἁγία γὰρ τοῦ θεοῦ ἐκκλησία· ὥσπερ τοῖς δικαίοις ἀτελεύτητον κηρύττει τὴν αἰώνιον ζωήν, οὕτω καὶ τοῖς ἀσεβέσιν ἀτελεύτητον κόλασιν παραδίδωσι· καὶ ταῦτα μέν, ἐν τούτοις. ἡμεῖς δέ· ὀλίγα μὲν ἐκ πολλῶν· τῆς τε θείας γραφῆς· τοῖς τε ἁγίοις πατράσιν εἰρημένων, παραγαγεῖν συνείδομεν· πρὸς τὸ ἐλέγξαι τὴν τῶν ὠριγενιαστῶν δυσσέβειαν· βουλόμενοι δὲ παντὸς σκανδάλου τὴν ἁγιωτάτην ἐκκλησίαν ἀπαλλάξαι· πρὸς τὸ μηδένα ῥύπον ἐν αὐτῇ καταλειφθῆναι· καὶ ἀκολουθοῦντες ταῖς θείαις γραφαῖς· τοῖς τε ἁγίοις πατράσι· τοῖς τὸν αὐτὸν ὠριγένην· καὶ τὰ τοιαῦτα μυσαρὰ καὶ ἀσεβῆ δόγματα ἐκβαλοῦσι τε καὶ δικαίως ἀναθέματι ὑποβαλοῦσι, τὴν παροῦσαν ἡμῶν ἐπιστολήν, πρὸς τὴν σὴν



ποιούμεθα μακαριότητα· δι' ἧς προτρέπομεν αὐτὴν συναγαγεῖν ἅπαντας τοὺς ἐνδημοῦντας κατὰ ταύτην τὴν βασιλίδα πόλιν, ὁσιωτάτοις ἐπισκόποις· καὶ τοῖς θεοφιλεστάτοις τῶν ἐνταῦθα εὐαγῶν μοναστηρίων, ἡγουμένοις· καὶ παρασκευάσαι πάντας, ἐγγράφως τὸν προειρημένον δυσσεβῆ τε καὶ θεομάχον ὠριγένην· τὸν καὶ ἀδαμάντιον· πρεσβύτερον γενόμενον τῆς κατὰ ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας· καὶ τὰ αὐτοῦ μυσαρὰ καὶ ἀσεβῆ δόγματα· καὶ ὑποτεταγμένα πᾶσι κεφάλαια, πᾶσι τρόποις ἀναθεματίσαι· ἐκπέμψαι δὲ καὶ τὰ ἴσα τῶν παρὰ τῆς σῆς μακαριότητος· ταύτης ἕνεκα τῆς αἰτίας, πραττομένων, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας ὁσιωτάτους ἐπισκόπους· καὶ εὐαγῶν μοναστηρίων ἡγουμένοις· ἐφ' ᾧ τε καὶ αὐτοὺς διὰ οἰκείας ὑπογραφῆς, ἀναθεματίσαι ὠριγένην καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα, μετὰ πάντων τῶν δηλωθησομένων αἱρετικῶν. καὶ τοῦ λοιποῦ δέ, μὴ ἄλλως ἐπισκόποις χειροτονεῖσθαι· ἢ μοναστηρίων ἡγουμένοις, εἰ μή τις γε πρότερον· μετὰ τῶν ἄλλων ἁπάντων αἱρετικῶν· τῶν ἐξ ἔθους ἐν τοῖς γενομένοις λιβέλλοις ἀνα

ἀναθεματιζομένων· τουτέστι· Σαβελλίου· Ἀρείου·
Ἀπολιναρίου· Νεστορίου· Εὐτυχοῦς· Διοσκόρου·
Τιμοθέου τοῦ Αἰλούρου· καὶ Πέτρου τοῦ Μογγοῦ·
καὶ Ἀνθίμου τοῦ Τραπεζουντίου· Θεοδοσίου τοῦ
Ἀλεξανδρέως· Πέτρου καὶ Σευήρου, τῶν πρώην
Ἀντιοχείας· καὶ Πέτρου, τοῦ ποτὲ Ἀντιοχείας·
καὶ τὸν εἰρημένον Ὠριγένην· τὸν τὴν Ἑλληνικὴν
καὶ Ἀρειανικὴν μανίαν νοσήσαντα· μετὰ τῶν
αὐτοῦ μυσαρῶν καὶ ἀσεβῶν δογμάτων, ἀνα-
θεματίσωσι· δεῖ γὰρ ἅπασι προαγορεῦσαι,
τοῦ μηδένα τολμᾶν παντελῶς ἀντιποιεῖσθαι
τοῦ τοιούτου αἱρετικοῦ· ἢ τῶν αὐτοῦ ἐκθέσεων·
ἀλλὰ ταύτας ἕκαστον ἐκ πάσης ψυχῆς· ἐκ πάσης
διανοίας, μισεῖν τε καὶ ἀποστρέφεσθαι· καὶ ἀνα-
θεματίζειν· οἷα τῆς Χριστιανικῆς παραδόσεως,
ἀλλοτρίας καθεστώσας· καὶ ταῖς τῶν ἁπλου-
στέρων ψυχαῖς, μεγάλην ἐργαζομένας λύμην·
ταῦτα δὲ αὐτὰ γεγραφήκαμεν· οὐ μόνον πρὸς
τὴν σὴν ἁγιωσύνην, ἀλλὰ καὶ πρὸς τὸν
ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς
πρεσβυτέρας Ῥώμης καὶ πατριάρχην, Βιγί-
λιον· καὶ τοὺς λοιποὺς ἅπαντας ἁγιωτάτους
ἐπισκόπους καὶ πατριάρχας· τουτέστιν, Ἀλεξαν-



δρείας· Θεουπόλεως, καὶ Ἱεροσολύμων· ὥστε
καὶ αὐτοὺς πρόνοιαν θέσθαι τῷ ἔργῳ· καὶ πέρατι
ταῦτα παραδοθῆναι· βουλόμενοι δὲ πάντας τοὺς
Χριστιανοὺς γνῶναι· ὡς τὰ Ὠριγένει συγγεγραμ-
μένα παντελῶς ἀλλότρια τῆς ἀληθοῦς τῶν
Χριστιανῶν τυγχάνει πίστεως, συνείδομεν ἐκ
τῶν πολλῶν αὐτοῦ καὶ ἀμέτρων βλασφημιῶν,
ὀλίγας ἐπ' αὐτῆς λέξεως παραθεῖναι· ἔχουσι
δὲ οὕτως:- ἐκ τοῦ πρώτου λόγου τοῦ περὶ ἀρχῶν
βιβλίου:- Ὅτι μὲν ὁ θεὸς καὶ πατὴρ συνέχων τὰ πάντα
÷ φθάνει εἰς ἕκαστον τῶν ὄντων· μεταδιδοὺς ἑκά-
÷ στῳ ἀπὸ τοῦ ἰδίου τὸ εἶναι· ὤν ἐστιν ἐλάττον-
÷ ως δὲ, παρὰ τὸν πατέρα ὁ υἱός· φθάνων ἐπὶ μόνα
÷ τὰ λογικά· δεύτερος γάρ ἐστι τοῦ πατρός· ἔτι δὲ
÷ ἧττον ὡς τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ μόνους τοὺς ἁγίους
÷ διϊκνούμενον· ὥστε κατὰ τοῦτο μείζων ἡ
÷ δύναμις τοῦ πατρὸς, παρὰ τὸν υἱόν· καὶ τὸ πνεῦμα
÷ τὸ ἅγιον· πλείων δὲ ἡ τοῦ υἱοῦ, παρὰ τὸ πνεῦμα
÷ τὸ ἅγιον· καὶ πάλιν διαφέρουσα μᾶλλον
÷ τοῦ ἁγίου πνεύματος ἡ δύναμις, παρὰ τὰ ἄλλα
÷ ἅγια: ὅτι πεπερασμένη ἐστὶν ἡ τοῦ θεοῦ καὶ πατρὸς
δύναμις: ἐκ τοῦ δευτέρου λόγου τοῦ αὐτοῦ βιβλίου:
÷ Πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ θεοῦ,

λεκτέον· καὶ οὐ προφάσει ἀφημίας, τὴν περιγραφὴν
αὐτῆς περιαιρετέον:- καὶ μετ' ὀλίγα. πεποίηκε
τοίνυν τοσαῦτα, ὅσων ἠδύνατο περιδράξασθαι·
καὶ ἔχειν ὑπὸ χεῖρα· καὶ συγκροτεῖν ὑπὸ τὴν
ἑαυτοῦ πρόνοιαν· ὥσπερ καὶ τοσαύτην ὕλην
κατεσκεύασεν, ὅσην ἠδύνατο διακοσμῆσαι:-
τοῦ αὐτοῦ· ἐκ τοῦ τετάρτου λόγου, τοῦ αὐτοῦ βιβλίου:
Μηδεὶς δὲ προσκοπτέτω τῷ λόγῳ, εἰ μέτρα ἐπιτί-
θεμεν καὶ τῇ τοῦ θεοῦ δυνάμει· ἀπεράντῳ γὰρ περιλαβεῖν
τῇ φύσει, ἀδύνατον τυγχάνει· ἅπαξ δὲ πεπε-
ρασμένων ὄντων ὧν περιδράττεται αὐτὸς ὁ θεός,
ἀνάγκη ὅρον εἶναι, μέχρι πόσων πεπερασμένων
διαρκεῖ:- ὅτι κτίσμα καὶ γεννητὸς ὁ υἱός· ἐκ τοῦ
αὐτοῦ τετάρτου λόγου:- Οὗτος δὴ ὁ υἱὸς ἐκ
θελήματος τοῦ πατρὸς γεννηθείς· ὅς ἐστιν εἰκὼν τοῦ
θεοῦ τοῦ ἀοράτου· καὶ ἀπαύγασμα τῆς δόξης
αὐτοῦ· χαρακτήρ τε τῆς ὑποστάσεως αὐτοῦ· πρωτό-
τοκος πάσης κτίσεως· κτίσμα· σοφία· αὐτὴ
γὰρ ἡ σοφία φησίν· ὁ θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν
αὐτοῦ εἰς ἔργα αὐτοῦ:- ὅτι καὶ περιέχεται μετὰ
τῶν ἄλλων κτισμάτων ὁ υἱὸς ὑπὸ τοῦ πατρός· καὶ
κατὰ πάντα μείζων ἐστὶν ὁ πατὴρ τοῦ υἱοῦ· καὶ
ἀόρατος αὐτῷ τυγχάνει· ἐκ τοῦ αὐτοῦ περὶ



ἀρχῶν τετάρτου λόγου. Ὁ δὲ πατήρ, ἐμπεριέχει τὰ
πάντα· τῶν δὲ πάντων ἐστὶν ὁ υἱός, δῆλον ὅτι καὶ τὸν
υἱόν· ἄλλος δέ τις ζητήσει· εἰ ἀληθὲς τὸ ὁμοίως
τὸν θεὸν ὑφ' ἑαυτοῦ γινώσκεσθαι· τῷ γινώσκεσθαι
αὐτὸν ὑπὸ τοῦ μονογενοῦς· καὶ ἀποφανεῖται· ὅτι
τὸ εἰρημένον ὁ πατὴρ ὁ πέμψας με, μείζων μού
ἐστιν, ἐν πᾶσιν ἀληθές· ὥστε καὶ ἐν τῷ νοεῖν ὁ πατήρ,
μειζόνως καὶ τρανοτέρως καὶ τελειοτέρως
νοεῖται ὑφ' ἑαυτοῦ, ἢ ὑπὸ τοῦ υἱοῦ:-
ἐκ τοῦ πρώτου λόγου τοῦ αὐτοῦ βιβλίου:
Γενόμενοι τοίνυν ἡμεῖς κατ' εἰκόνα, τὸν υἱὸν
πρωτότυπον ὡς ἀλήθειαν, ἔχομεν τῶν ἐν
ἡμῖν καλῶν, τύπον· αὐτὸς δὲ ὁ πατήρ· ὅπερ ἡμεῖς
ἐσμὲν πρὸς αὐτόν, τοιοῦτός ἐστι πρὸς τὸν πατέρα
ἀλήθειαν τυγχάνοντα:- τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου:
Οὕτω τοίνυν ἡγοῦμαι καὶ ἐπὶ τοῦ σωτῆρος καλῶς ἂν
λεχθήσεσθαι· ὅτι εἰκὼν ἀγαθότητος θεοῦ ἐστιν· ἀλλ'
οὐκ αὐτοαγαθόν· καὶ τάχα καὶ υἱὸς ἀγαθός·
ἀλλ' οὐχ ὡς ἁπλῶς ἀγαθός· καὶ ὥσπερ εἰκών
ἐστι τοῦ θεοῦ τοῦ ἀοράτου· καὶ κατὰ τοῦτο θεός·
ἀλλ' οὐ περὶ οὗ λέγει αὐτὸς ὁ Χριστός· ἵνα γινώσκω-
σί σε τὸν μόνον ἀληθινὸν θεόν, οὕτως εἰκὼν τῆς
ἀγαθότητος· ἀλλ' οὐχ ὡς ὁ πατὴρ ἀπαραλλάκτως,

ἀγαθός:- ὅτι μετὰ τοῦ υἱοῦ καὶ τὸ ἅγιον πνεῦμα, κτί-
σμα εἰπών, συναριθμεῖ [illegible] τοῖς ἄλλοις κτίσμα-
σι· διὸ καὶ λειτουργικὰ αὐτὰ ζῶα καλεῖ· ἐκ τοῦ [illegible]
λόγου τοῦ περὶ ἀρχῶν βιβλίου:- Ὅτι μὲν οὖν
πᾶν ὅ τι ποτὲ παρὰ τὸν πατέρα καὶ θεὸν τῶν ὅλων
γενητόν ἐστιν, ἐκ τῆς ἀκολουθίας πειθόμεθα:-
καὶ μετά τινα: Ἔλεγε δὲ ὁ Ἑβραῖος τὰ ἐν τῷ
Ἠσαΐᾳ δύο σεραφὶμ ἑξαπτέρυγα κεκραγότα
ἕτερον πρὸς τὸ ἕτερον καὶ λέγοντα· ἅγιος· ἅγιος·
ἅγιος κύριος σαβαώθ, τὸν μονογενῆ εἶναι τοῦ θεοῦ·
καὶ τὸ πνεῦμα τὸ ἅγιον· ἡμεῖς δὲ οἰόμεθα ὅτι καὶ
ἐν τῇ ᾠδῇ Ἀββακούμ· ἐν μέσῳ δύο ζώων γνω-
σθήσῃ, περὶ Χριστοῦ καὶ ἁγίου πνεύματος:- ἐκ τοῦ δευτέρου
λόγου τοῦ περὶ ἀρχῶν βιβλίου· [illegible]
[illegible] Διὰ τοῦτο καὶ ἄνθρωπος γέγονε Χριστός,
ἐξ ἀνδραγαθήματος τούτου τυχών· ὡς μαρτυρεῖ
ὁ προφήτης, λέγων· ἠγάπησας δικαιοσύνην καὶ
ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός
σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους
σου· ἔπρεπε δὲ τοῦ μηδέποτε κεχωρισμένου
τοῦ μονογενοῦς συγχρηματίσαι τῷ μονογενεῖ
καὶ συνδοξασθῆναι αὐτῷ: [illegible]
[illegible] ἐκ τοῦ πρώτου λόγου το-



περὶ ἀρχῶν βιβλίου: Πῶς δὲ οὐκ ἄτοπον· τὸ
μὴ ἔχοντά τι τῶν πρεπόντων αὐτοῦ τὸν θεὸν εἰς τὸ
ἔχειν ἐληλυθέναι· εἰ δὲ οὐκ ἔστιν ὅτε παντο-
κράτωρ οὐκ ἦν, ἀεὶ εἶναι δεῖ ταῦτα δι' ἃ παντο-
κράτωρ ἐστίν· καὶ ἀεὶ ἦν ὑπ' αὐτοῦ κρατούμενα·
ἄρχοντι αὐτῷ χρώμενα:- ἐκ τοῦ αὐτοῦ λόγου:
Πάντα τὰ γένη καὶ τὰ εἴδη, ἀεὶ ἦν· ἄλλος δέ τις
ἐρεῖ, καὶ τὰ καθ' ἓν ἀριθμῷ· πλὴν ἑκατέρως
δηλοῦται· ὅτι οὐκ ἤρξατο ὁ θεὸς δημιουργεῖν,
ἀργήσας ποτέ:- περὶ τῆς προϋπάρξεως τῶν
ψυχῶν· ἐκ τοῦ πρώτου λόγου τοῦ περὶ ἀρχῶν
βιβλίου: Ἐξ ἰδίας αἰτίας τῶν μὴ προσεχόν-
των ἑαυτοῖς ἀγρύπνως γίνονται· τάχιον ἢ
βράδιον μετὰ πτώσεως· καὶ ἐπὶ πλεῖον, ἢ
ἐπ' ἔλαττον· ὡς ἀπὸ ταύτης τῆς αἰτίας κρίσει
θείᾳ συμπαραμετρούσῃ τοῖς ἑκάστου βελτίοσιν
ἢ χείροσι κινήμασι, καὶ τὸ κατ' ἀξίαν· ὁ μέν
τις ἕξει ἐν τῇ ἐσομένῃ διακοσμήσει τάξιν ἀγγε-
λικήν· ἢ δύναμιν ἀρχικήν, ἢ ἐξουσίαν τινῶν
ἐπί τινων· ἢ θρόνον τὸν ἐπὶ βασιλευομένων·
ἢ κυριότητα τὴν κατὰ δούλων· οἱ δέ, οὐ πάνυ
τι ἐκπεσόντες, τὴν ἐπὶ τοῖς εἰρημένοις οἰκο-
νομίαν καὶ βοήθειαν ἕξουσι· καὶ οὕτω κατὰ μὲν

τὸ πλεῖστον, ἀπὸ τῶν ὑπὸ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς θρόνους καὶ τὰς κυριότητας· τάχα δὲ ἔσθ' ὅτε καὶ ἀπ' αὐτῶν, συστήσεται τὸ τῶν ἀνθρώπων γένος, ἐν τῷ καθ' ἕνα κόσμων:-

ἐκ τοῦ αὐτοῦ λόγου· ὅτι εἰ μεταβάλλοιεν ἐπὶ τὸ κρεῖττον οἱ δαίμονες συμπληρώσουσί ποτε ἀνθρωπότητα:

ἰμαι δύνασθαι ἀπὸ τῶν ὑποτεταγμένων τοῖς χείροσιν ἀρχαῖς καὶ ἐξουσίαις καὶ κοσμοκράτορσι, καθ' ἕκαστον κόσμον ἢ τινὰς κόσμους ἐνίους, τάχιον εὐεργετουμένους καὶ βουλησομένους ἐξ αὐτῶν μεταβαλεῖν, συμπληρώσειν ποτὲ ἀνθρωπότητα:-

περὶ τῆς τῶν [illegible] σῶμα καταβάσης:-

οὕτω δὴ ποικιλωτάτου κόσμου τυγχάνοντος καὶ τοσαῦτα διάφορα λογικὰ περιέχοντος, τί ἄλλο χρὴ λέγειν αἴτιον γεγονέναι τοῦ ὑποστῆναι αὐτόν, ἢ τὸ ποικίλον τῆς ἀποπτώσεως τῶν οὐχ ὁμοίως τῆς ἑνάδος ἀπορρεόντων· καὶ τὸν ἔνυδρον ἔσθ' ὅτε αἱρεῖται βίον ἡ ψυχή:-

ἐκ τοῦ δευτέρου λόγου τοῦ περὶ ἀρχῶν βιβλίου:

υχὴ ἀπορρέουσα τοῦ καλοῦ καὶ τῇ κακίᾳ προσκλινομένη καὶ ἐπὶ πλεῖον ταύτῃ γινομένη, εἰ μὴ ἐπιστρέφοι, ὑπὸ τῆς ἀνοίας ἀποκτηνοῦται, ὑπὸ τῆς



πονηρίας, ἀποθηριοῦται:

καὶ μετ' ὀλίγα:

αἱ αἱρεῖται πρὸς τὸ ἀλογωθῆναι καὶ τὸν ἔνυδρον ἵν' οὕτως εἴπω βίον· καὶ τάχα κατὰ ἀξίαν τῆς ἐπὶ πλεῖον ἐκπτώσεως τῆς κακίας ἐνδύεται σῶμα τοιοῦδε ἢ τοιοῦδε ζώου ἀλόγου:-

ἐκ τοῦ αὐτοῦ λόγου· ὅτι ἔσται τέλεια ἡ τῶν σωμάτων ἀπόθεσις:-

ἰ δὲ τὰ ὑποταγέντα τῷ Χριστῷ ὑποταγήσεται ἐπὶ πλεῖ καὶ τῷ θεῷ, πάντες ἀποθήσονται τὰ σώματα· καὶ οἶμαι ὅτι τότε εἰς τὸ μὴ ὂν ἔσται ἀνάλυσις, τῆς τῶν σωματικῶν φύσεως ὑποστησομένης δεύτερον· ἐὰν πάλιν λογικὰ ὑποκαταβῇ:-

ἐκ τοῦ τρίτου λόγου τοῦ αὐτοῦ βιβλίου, περὶ τοῦ αὐτοῦ:-

εγομένου τοῦ θεοῦ πάντα γενέσθαι ἐν πᾶσιν· ὥσπερ οὐ δυνάμεθα κακίαν καταλιπεῖν, ὅτε θεὸς πάντα γίνεται ἐν πᾶσιν· οὐδὲ ἄλογα ζῶα· ἵνα μὴ ἐν κακίᾳ ὁ θεὸς γίνηται· καὶ ἐν ἀλόγοις ζώοις· ἀλλ' οὐδὲ ἄψυχα· ἵνα μὴ καὶ ἐν αὐτοῖς ὁ θεὸς ὅτε πάντα γίνεται, οὕτως οὐδὲ σώματα· ἅπερ τῇ ἰδίᾳ φύσει ἄψυχά εἰσιν:-

ἐκ τοῦ δευτέρου λόγου, τοῦ περὶ ἀρχῶν βιβλίου:-

αρὰ τὴν ἀπόπτωσιν καὶ τὴν ψύξιν τὴν ἀπὸ τοῦ ζῆν τῷ πνεύματι, γέγονεν ἡ νῦν γενομένη ψυχή·

οὖσα καὶ δεκτικὴ τῆς ἐπανόδου τῆς ἐφ' ὧπερ ἦν ἐν ἀρχῇ· ὅπερ νομίζω λέγεσθαι ὑπὸ τοῦ προφήτου· ἐν τῷ, ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου. ὥστε ὅλον τοῦτο σημαίνει νοῦς· πῶς οὖν γέγονε ψυχή· καὶ ψυχὴ κατορθωθεῖσα, γίνεται νοῦς:-

ἐκ τοῦ αὐτοῦ. περὶ τοῦ αὐτοῦ: Ὥσπερ σῶσαι ἦλθε τὸ ἀπολωλός, ὁ σωτήρ· ὅτε μέντοι σώζεται τὸ ἀπολωλός· οὐκέτι ἐστὶν ἀπολωλός· οὕτως ὃ σῶσαι ἦλθε ψυχήν, ὡς σῶσαι τὸ ἀπολωλός, οὐκέτι μένει ψυχὴ ἡ σωθεῖσα ψυχή· οὔτε τὸ ἀπολωλός, ἀπολωλός· ἐπιδὲ βασανιστέον· εἰ ὥσπερ τὸ ἀπολωλὸς ἦν ὅτε οὐκ ἀπώλετο, καὶ ἔσται ποτέ, ὅτε οὐκ ἔσται ἀπολωλὸς αὐτό· καὶ ἡ ψυχὴ ἦν, ὅτε οὐκ ἦν ψυχή· καὶ ἔσται ὅτε οὐκ ἔσται ψυχή:-

ἐκ τοῦ τετάρτου λόγου:-

Ἀνάγκη μὴ προηγουμένην τυγχάνειν τὴν τῶν σωμάτων φύσιν· ἀλλ' ἐκ διαλειμμάτων ὑφίστασθαι· διά τινα συμπτώματα γινόμενα περὶ τὰ λογικά, δεόμενα σωμάτων· καὶ πάλιν τῆς ἐπανορθώσεως τελείως γινομένης, εἰς τὸ μὴ ἀναλύεσθαι ταῦτα· ὥστε τοῦτο ἀεὶ γίνεσθαι:-

ἐκ τοῦ πρώτου λόγου τοῦ αὐτοῦ βιβλίου· ὅτι ἔμψυχος ὁ ἥλιος· καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες:



Ὅτι δὲ πρεσβυτέρα ἡ ψυχή, τοῦ ἡλίου τῆς ἐνδέσεως αὐτοῦ τῆς εἰς τὸ σῶμα· μετὰ τὸ συλλογίσασθαι ἐκ συγκρίσεως ἀνθρώπου τῆς πρὸς αὐτόν· καὶ ἐντεῦθεν ἀπὸ τῶν γραφῶν, οἶμαι ἀποδεῖξαι δύνασθαι:

ἐκ τοῦ αὐτοῦ λόγου: Κάλλιον ἀναλῦσαι καὶ σὺν χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον· νομίζω γὰρ ὅτι λέγοι ἂν ὁ ἥλιος ὅτι κάλλιον ἀναλῦσαι καὶ σὺν χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον· καὶ ὁ μὲν παῦλος· ἀλλὰ τὸ ἐπιμένειν τῇ σαρκί, ἀναγκαιότερον, δι' ὑμᾶς· ὁ δὲ ἥλιος, τὸ ἐπιμένειν τῷ οὐρανίῳ τούτῳ σώματι, ἀναγκαιότερον· διὰ τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ θεοῦ· τὰ δ' αὐτά, καὶ περὶ σελήνης· καὶ τῶν λοιπῶν ἀστέρων, λεκτέον:

ἐκ τοῦ τετάρτου λόγου τοῦ αὐτοῦ βιβλίου: Ὅτι καὶ ὑπὲρ δαιμόνων δεῖ τὸν χριστὸν σταυρωθῆναι· καὶ πολλάκις τοῦτο ἐν τοῖς ἐσομένοις αἰῶσιν· ἀλλὰ κἂν μέχρι τοῦ πάθους τίς ζητήσει, τολμηρὸν δόξει ποιεῖν περὶ τῶν οὐρανίων τόπων αὐτὸ ζητῶν· ἀλλ' εἰ ἔστι πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις, ὅρα εἰ ὥσπερ ἐνθάδε οὐκ αἰδούμεθα σταυρούμενον ὁμολογεῖν ἐπὶ καθαιρέσει ὧν καθεῖλε διὰ τοῦ πεπονθέναι, οὕτως

÷ κἀκεῖ τὸ παραπλήσιον διδόντες γίνεσθαι καὶ τὰ
÷ ὄζης· ἕως τῆς συντελείας τοῦ παντὸς αἰῶνος οὐ
÷ φοβηθησόμεθα:- ἐκ τοῦ αὐτοῦ λόγου:-
÷ Τίνος οὖν ἔχων ὁρίζηται· πρώτην καὶ δευτέραν καὶ
÷ τρίτην ἡμέραν· ἑσπέραν τε καὶ πρωΐαν, χωρὶς
÷ ἡλίου γεγονέναι καὶ σελήνης, καὶ ἀστέρων:-

Τούτων τοίνυν οὕτως ἐχόντων· καὶ πᾶσι δήλων γενομένων τῶν παρὰ ὠριγένους εἰρημένων βλασφημιῶν, προσήκει τὸν ἐπ' αὐτῷ ἀναθεματισμόν, οὕτω γίνεσθαι:-

α Εἴ τις λέγει ἢ ἔχει προϋπάρχειν τὰς τῶν ἀνθρώπων ψυχάς· οἷα πρώην νόας οὔσας καὶ ἁγίας δυνάμεις· κόρον δὲ λαβούσας τῆς θείας θεωρίας· καὶ πρὸς τὸ χεῖρον τραπείσας· καὶ διὰ τοῦτο ἀποψυγείσας μὲν τῆς τοῦ θεοῦ ἀγάπης· ἐντεῦθεν δὲ ψυχὰς ὀνομασθείσας· καὶ τιμωρίας χάριν εἰς σώματα καταπεμφθείσας, ἀνάθεμα ἔστω:-

β Εἴ τις λέγει ἢ ἔχει· τὴν τοῦ κυρίου ψυχὴν προϋπάρχειν· καὶ ἡνωμένην γεγενῆσθαι τοῦ θεοῦ λόγου· πρὸ τῆς ἐκ παρθένου σαρκώσεώς τε καὶ γεννήσεως, ἀνάθεμα ἔστω:-

Εἴ τις λέγει ἢ ἔχει· πρῶτον πεπλάσθαι τὸ σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ μήτρᾳ τῆς ἁγίας



παρθένου καὶ θεοτόκου· καὶ μετὰ ταῦτα ἑνωθῆναι αὐτῷ τὸν θεὸν λόγον καὶ τὴν ψυχὴν ὡς προϋπάρξασαν, ἀνάθεμα ἔστω:-

Εἴ τις λέγει ἢ ἔχει· πᾶσι τοῖς οὐρανίοις τάγμασιν ἐξομοιωθῆναι τὸν τοῦ θεοῦ λόγον· γενόμενον τοῖς χερουβὶμ, χερουβίμ· καὶ τοῖς σεραφὶμ, σεραφίμ· καὶ πάσαις ἁπλῶς ταῖς ἄνω δυνάμεσιν ἐξομοιωθέντα, ἀνάθεμα ἔστω:-

Εἴ τις λέγει ἢ ἔχει· ἐν τῇ ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων ἐγείρεσθαι σώματα· καὶ οὐχ ὁμολογεῖ ὀρθίους ἡμᾶς ἐγείρεσθαι, ἀνάθεμα ἔστω:-

Εἴ τις λέγει οὐρανὸν καὶ ἥλιον καὶ σελήνην· καὶ ἀστέρας· καὶ τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν· ἐμψύχους καὶ ὑλικὰς εἶναί τινας δυνάμεις, ἀνάθεμα ἔστω:-

Εἴ τις λέγει ἢ ἔχει· ὅτι ὁ δεσπότης Χριστὸς ἐν τῷ μέλλοντι αἰῶνι σταυρωθήσεται ὑπὲρ δαιμόνων· καθὰ καὶ ὑπὲρ ἀνθρώπων, ἀνάθεμα ἔστω:-

Εἴ τις λέγει ἢ ἔχει πεπερασμένην εἶναι τὴν τοῦ θεοῦ δύναμιν· καὶ τοσαῦτα αὐτὸν δημιουργῆσαι· ὅσων περιδράξασθαι καὶ νοῆσαι ἠδύνατο· ἢ τὰ κτίσματα συναΐδια εἶναι τῷ θεῷ, ἀνάθεμα ἔστω:-

Εἴ τις λέγει ἢ ἔχει πρόσκαιρον εἶναι τὴν τῶν δαιμόνων καὶ ἀσεβῶν ἀνθρώπων κόλασιν· καὶ τέλος κατά τινα χρόνον αὐτὴν ἕξειν· ἢ γοῦν ἀποκατάστασιν γενέσθαι δαιμόνων ἢ ἀσεβῶν ἀνθρώπων, ἀνάθεμα ἔστω:-

Ἀνάθεμα Ὠριγένει τῷ καὶ Ἀδαμαντίῳ· τῷ ταῦτα ἐκθεμένῳ μετὰ τῶν μυσαρῶν αὐτοῦ καὶ ἐπικαταράτων ἐναγῶν δογμάτων· καὶ παντὶ προσώπῳ φρονοῦντι ταῦτα· ἢ ἐκδικοῦντι· ἢ κατά τινα τρόπον παντελῶς ἐν οἱῳδήποτε χρόνῳ τούτων ἀντιποιεῖσθαι, τολμῶντι:-

Ὑπόμνημα συνοδικὸν· ἐκτεθὲν ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως νέας Ῥώμης, κυροῦ Ἀλεξίου, περὶ διαφόρων κεφαλαίων:-

Τῶν θείων καὶ ἱερῶν κανόνων· ἑκάστῳ τῶν θεοφιλεστάτων ἐπισκόπων· τὴν ἐξουσίαν τῶν ἐκκλησιαστικῶν ἐπιτρεπόντων πραγμάτων· οὕτω μέντοι· ὥστε καὶ τοῖς δεομένοις σὺν εὐλαβείᾳ ἐπιχορηγεῖν· καὶ αὐτοὺς τῶν δεόντων μεταλαμβάνειν, τινὲς τῶν ἐπισκόπων· ἀδιαφόρως ὡς ἄν τις εἴποι καὶ ἀδεῶς τοῖς πράγμασι προσφερόμενοι· καὶ





τῆς ἑαυτῶν χρήσεως μόνης ταῦτα ποιούμενοι, οὐ μόνον αὐτὰς τὰς ἐπισκοπὰς προφάσει δῆθεν τῆς τῶν καιρῶν δυσκολίας εἰς ἔσχατον κατήνεγκαν ὄλεθρον, ἀλλὰ καὶ τὰς μητροπόλεις ὑφ' ἃς τελοῦσιν, ἀφορήτοις τοῖς ζημιώμασι καὶ ταῖς καινοτομίαις ὑπέβαλον· ἐκ τοῦ τὰ ἐκείνοις ἀνήκοντα βάρη, ταύτας ἀεὶ πράττεσθαι· καὶ συνωθεῖσθαι κατὰ μικρὸν, εἰς τὴν ὁμοίαν καταστροφήν· διόπερ ἡ μετριότης ἡμῶν· ἅμα τῇ ἐνδημούσῃ σεβασμίᾳ συνόδῳ· τὰ τοῦ πράγματος διασκεψαμένη· καὶ χαλεπὸν ὄντως κρίνασα καὶ ἀτεχνῶς ἄδικον· τὸ τηλικαύτας ζημίας ὑφίστασθαι τὰς μητροπόλεις, ὑπὲρ τῶν ἐπισκοπῶν· ἐξ ὧν οὐδὲν ταύταις κέρδος προσγίνεται, δεῖν ἔγνω τρόπον ἐξευρεῖν οὐ ξένον τῶν ἱερῶν διατάξεων· ἀλλὰ καὶ λίαν οἰκεῖον καὶ σύμφωνον· ὑφ' οὗ τὸ ἀζήμιον ταύταις καὶ ἀβλαβὲς κατὰ τὸ ἐνδεχόμενον περιποιηθήσεται· ἐντεῦθεν καὶ διωρίσατο ἀπὸ τῆς τῶν ἱερῶν κανόνων αὐθεντίας, οἰκονόμους καθίστασθαι, παρὰ τῶν θεοφιλεστάτων μητροπολιτῶν· ἐφ' ὅσαις τῶν ἐπισκοπῶν ἀφελέσθαι τῶν λαχόντων αὐτὰς, αἱ μητροπόλεις ἐζημίωνται, ἄχρις οὗ τὸ

ὑπὲρ ἑκάστης αὐτῶν ζημίωμα, ταῖς μητροπόλεσι προσ-
ποριασθῇ· καὶ διάγνωσις γένηται, ὁπόθεν αἱ ἀπορί-
αι καὶ στενώσεις καταφέρονται. ἐπειδὴ δὲ καὶ ὑπὲρ
ἑτέρων ἐπισκοπῶν· διὰ μοχθηρίαν καὶ κακοή-
θειαν τῶν προέδρων αὐτῶν τὰ ὅμοια πάσχεσθαι
ὑποπτεύειν φασὶν οἱ μητροπολῖται· καί τινας
αὐτῶν σπούδασμα ποιουμένους τὴν τῶν θείων
κανόνων παρόρασιν· εἶτα τὴν ἐξ αὐτῶν καταδί-
κην ὑφορωμένους, τούς τε καρποὺς καὶ τὰς
ἄλλας προσόδους τῶν ἐκκλησιῶν, ὑφαιρεῖσθαι
καὶ μετακομίζειν ἔνθα καὶ βουλητόν ἐστιν αὐτοῖς,
σκοπὸν ἔχοντας· ἐπιδημούντων τῶν ἀπαιτητῶν,
ἀποδημεῖν τῶν λαχουσῶν· καὶ ἀλλαχοῦ που
μεθίστασθαι· κἀκεῖθεν πρὸς ταῖς μητροπόλεσιν
ἀμύνης τρόπῳ τῶν αὐτοῖς προσηκόντων
ὀφλημάτων, τὴν εἰς πρᾶξιν παραπέμπειν,
ἀναγκαῖον κἀνταῦθα πρὸ τοῦ εἰς τέλος ἀχθῆναι
τὸ σπουδαζόμενον, ἀσφαλείας χάριν· καὶ οἷον
προθεραπείας καὶ φυλακῆς, τὸν αὐτὸν τηρη-
θῆναι τύπον· καὶ φροντίσαι ὁμοίως παρὰ
τῶν μητροπολιτῶν δοθῆναι τοὺς ὀφείλοντας
ἅπασαν τὴν πρόνοιαν ποιεῖσθαι τῶν ἐκκλη-
σιῶν ἅμα τοῖς ἐπισκόποις· καὶ λόγους τῆς



κατ' ἐνιαυτὸν ἀσπράττεσθαι διοικήσεως· καὶ
τὸ περιττεῦον τῶν προσόδων· ἅ γε καὶ περιττεύοι,
τὸ μὲν ἐκ τῶν ζημιῶν αἰτίων γενομένων τῇ
μητροπόλει, ταύτῃ δηλονότι ἀποδίδοσθαι· τὸ δ'
ἐκ τῶν λοιπῶν, συντηρεῖν τῇ ἐκκλησίᾳ ἀκαι-
νοτόμητον. ὅτι δὲ κανονικῆς ἔχονται ἀκριβεί-
ας τὰ ὁρισθέντα, ἐξ αὐτῶν τῶν θείων κανόνων
δείκνυται· καὶ γὰρ ὁ πέμπτος καὶ εἰκοστὸς τῆς
ἐν Ἀντιοχείᾳ συνόδου κανὼν, τοῖς ἐπισκόποις
τὴν ἐξουσίαν τῶν ἐκκλησιαστικῶν ἐπιτρέπων
πραγμάτων, κωλύει μεταβάλλειν αὐτὰ
εἰς ἰδίας χρείας· καὶ οἰκείοις αὐτῶν συγγενέσι
παρέχειν· εἰς τὸ διὰ τούτων λεληθότως βλά-
πτεσθαι τοὺς λόγους τῶν ἐκκλησιῶν· διὸ καὶ
ὑποθύνους ταῖς κατ' ἐπαρχίαν συνόδοις τιθεὶς,
τὸ πρέπον αὐτοὺς δοκιμάζειν ἐπιτρέπει. τοιγαροῦν
κἀνταῦθα ἐπεὶ κατὰ τὸ λεληθὸς πρὸς ταῖς μητρο-
πόλεις ἔρχεται τὰ τῆς βλάβης, τὸ πρέπον ἡ
καθ' ἡμᾶς ἁγία σύνοδος δοκιμάσασα, συνα-
γκαίως τὴν τῶν οἰκονόμων προχείρισιν διε-
τάξατο· κατὰ τὸν ἑνδέκατον δηλονότι τῆς
ἑβδόμης συνόδου κανόνα· ἀεὶ δεῖ γὰρ κἀ-
κεῖνος διδάσκει καὶ τῷ ἁγιωτάτῳ περὶ σὲ χρ

καὶ τοῖς ἱερωτάτοις μητροπολίταις, οἰκονόμους
καθιστᾶν ἐν ταῖς ἐκκλησίαις· ὧν οἱ μητροπολῖται
καὶ οἱ ἐπίσκοποι τοῦτο ποιεῖν οὐκ ἀνέχονται· εἰς
καὶ κακῶς τὰ τῶν ἐκκλησιῶν διέπουσιν· ὅτι δὲ
καὶ ὁ τοιοῦτος κανὼν τῷ τοῦ προτέρου συνᾴδει
σκοπῷ, οὐδένα οἶμαι διαμφιβάλλειν τῶν μὴ
παρέργως αὐτοῖς τὸν νοῦν ἐφιστώντων· ἐπεὶ οὖν
ἐντεῦθεν σαφῶς ἀποδέδεικται· ὡς τοῖς θείοις
κανόσιν ἑπόμενοι τὰ ἀνωτέρω διετυπώσαμεν,
δεῖ ταῦτα ἐνεργεῖσθαι, ἀναμφιλέκτως· ἐπί τε
τῶν ἤδη προξένων ζημίας γεγονότων ταῖς μητρο-
πόλεσιν ἐπισκόπων, καὶ ἐπὶ τῶν ἔτι προσδοκω-
μένων· καὶ κακῶς τὰ τῶν ἐκκλησιῶν κατα-
χρωμένων, καὶ ἐκποιουμένων· καὶ σκορπι-
ζόντων ἀνελευθέρως, ἃ οὐκ ἐπισυνήγαγον
αὐταῖς· καὶ μάλιστα τῶν ἀλλότρια κτήματα
ἐκλαμβανομένων· ἢ καὶ κοσμικὰς ἀναξίως
μεταχειριζομένων φροντίδας· τῶν δὲ τῆς
λαχούσης αὐτοὺς, καταφρονούντων· ἀλλὰ
τῶν τοιούτων εἰ μὴ μεταβάλλοιντο, καὶ καθαί-
ρεσιν τελείαν οἱ τοῦ λόγου μύσται καὶ μυσταγωγοὶ
τῶν πατέρων, σὺν αὐτοῖς ἐκείνοις, καταψηφίζον-
ται· μηδενὸς ἐμποδίου παρὰ τῶν ἐπισκόπων



ἐπαγομένου τοῖς πράγμασιν· ἄχρις οὗ τὰ ἐπιζημιώ-
ματα ταῖς μητροπόλεσιν ἱκανωθῇ, ἐξ ὧν καὶ ἐπηνέ-
χθη· καὶ διάγνωσις γένηται τοῦ λοιποῦ· εἴτε πρὸς
τὰ ἐπικείμενα ταύταις ἐξαρκοῦσι βάρη, εἴτε καὶ
μή· εἰ δέ γε πρὸ τοῦ ταῦτα γενέσθαι· τολμήσῃ τις
τῶν ἐπισκόπων πρόφασιν ἐμποδισμοῦ τοῖς
οἰκονόμοις ἐπενεγκεῖν· ἢ παρενοχλῆσαι τοῖς
πράγμασι· πλὴν τοῦ ἀναδιδάσκειν εἴ τι τῶν πρὸς
ὠφέλειαν τῶν ἐκκλησιῶν ἐπίστανται συντελεῖν,
αὐτὸς ἑαυτῷ τῆς μείζονος καταδίκης, γενήσεται
πρόξενος· ὡς τοῖς συνοδικῶς καὶ κανονικῶς
ὁρισθεῖσιν, ἐναντιούμενος· ἀλλὰ μηδὲ τῆς
κατὰ τὴν ἐπαρχίαν συνόδου ἀπολιμπάνεσθαι
τοὺς ἐπισκόπους χωρὶς ἀναγκαίας τινὸς καὶ
ἀπαραιτήτου αἰτίας, συνοδικῇ ψήφῳ καὶ
κρίσει διοριζόμενα· ὡς παρ' ἐπίλυσιν πλεῖστα
πολλῶν καὶ οἰκοδομῇ· τάχα δὲ καὶ διορθώσει
ἐναντιῶν τινῶν συμπιπτόντων ἑκασταχοῦ,
δι' ἐκ παντὸς τρόπου τὴν συνέλευσιν γίνεσθαι·
καὶ ὁ δι' ἀλόγως ταύτης ἀφυστερῶν· ἢ καὶ
καλούμενος, ἀπειθῶν· εἰ μὴ εὐπρόφασιν
λόγον ἀποδώσει τῆς ἑαυτοῦ ἀπολείψεως
καὶ τοῦ ἐμποδισμοῦ, ἔσται εἰδὼς ψῆφον νομο-

ἀθετηθησομένην κατ' αὐτοῦ, ὡς μεθ' ἑτέρων πολλῶν.
καὶ ὁ ἐν Καρθαγένῃ οζʹ ὁρίζει κανών. μήτε δὲ ἀλλο-
τρίαις ἐνορίαις τούτοις παρὸν ἐκτικῶς ἐπεμβαίνειν.
καὶ χειροτονεῖν ὑπερόρια. καὶ νομοθετεῖν οὕτω
τὴν ἀταξίαν. τοὺς ὀφείλοντας εὐταξίας ἑτέροις
ὑπόδειγμα γίνεσθαι, καὶ παρέχειν τύπον ἀρετῆς.
μήτε κληρικοὺς ἑτέρας ἐπαρχίας προσίεσθαι
καθ' οἱονδήτινα τρόπον παρεκτὸς γνώμης καὶ ἐγ-
γράφου συστατικοῦ τοῦ ἰδίου αὐτῶν ἐπισκόπου.
ὡς οἱ ἱεροὶ καὶ θεῖοι προσαπαιτοῦσι κανόνες. ὃ
καὶ μᾶλλον ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει
καλῶς φυλαχθήσεται. ἀπέχειν ἅπαντα χρῆναι
κληρικῶν ὑπευθύνων τε ἅμα καὶ ἀνευθύνων.
κεχειροτονημένων καὶ ἀχειροτονήτων εἰς αὐτὴν
συντρεχόντων, καὶ ἀκωλύτως ἱερουργούντων.
μήτε μὴν διγάμους. ὃ πολλάκις ἀκηκόαμεν
γίνεσθαι νῦν. ἢ ἐν αἰτίαις τισὶν ἀπηγορευμέναις
γεγενημένους. ἢ ἔτι ἀφήλικας. ἢ χωρὶς μαρτυ-
ρίας ἀκριβεστάτης. ἢ προμνηστευσαμένους ἑτέρας.
καὶ ἑτέραις συναφθέντας, εἰς ἱερωσύνην παρα-
δέχεσθαι ὅλως. ἐπεὶ οἱ ταῦτα μὴ παρατη-
ροῦντες ἐπίσκοποι, ἀθετοῦντες τοὺς κανόνας,
ἀθετηθήσονται παρ' αὐτῶν. καὶ ταῖς ἤπαλαι



μέναις ὑπὸ κανόνων εὐθύναις, ἀφύκτως ὑπο-
βληθήσονται. κληρικοὺς δὲ κληρικοῖς ἀμ-
φισβητοῦντας. ἢ καὶ μοναχοὺς μοναχοῖς, παρὰ
τῷ οἰκείῳ κρίνεσθαι ἐπισκόπῳ, ἀκολούθως
τοῖς θείοις κανόσιν ἀποφαινόμεθα. κληρικοὺς
δὲ ἐπισκόποις. ἢ καὶ ἐπισκόπους ἐπισκόποις,
παρὰ τῷ τῆς ἐπαρχίας μητροπολίτῃ συνοδικῶς.
εἰ δέ τι σκάνδαλον ὑποτρέχον. ὑποψίαν θατέρων
ἐμποιεῖ τῶν μερῶν, παρὰ τῷ κατὰ τὴν ἡμέραν
ἀνωτάτῳ πατριάρχῃ. καὶ τῇ ἱερᾷ καὶ μεγάλῃ
συνόδῳ, τηρεῖσθαι καὶ τέμνεσθαι τὸ ἀμφισβή-
τημα. πλήν, μὴ ἄνευ γνώμης καὶ συστατικῆς
τοῦ μητροπολίτου γραφῆς, ἐπιβαίνειν τῇ
βασιλευούσῃ ἐπίσκοπον. ἢ ἀλλαχοῦ που
μακρὰν στέλλεσθαι ἀποδημίαν, εἴ τι δ' ἂν καὶ
εἴη τὸ κωλῦον ἀναγκαῖον. ἐπεὶ ἔνοχον ἑαυτὸν
ἀπεργάσεται τοῖς κανόσιν. ἐπίσκοπον δὲ
προπετῶς ἐπιτιμίου ὀλιγωροῦντα μητροπο-
λίτου, καθαιρεῖσθαι ἀναπολογήτως προσ-
τάσσομεν. κοσμικοῖς δὲ δικασταῖς, ἱερατικὸν
πρόσωπον, ἢ καὶ μοναχικὸν προσιέναι, καὶ
ζητεῖν ὑπ' ἐκείνων δικάζεσθαι δίκην ἥν τινα
τύχοι, ὅλως οὐκ ἐφίεμεν. ἀλλὰ τῶν μὲν

ἐπισκόπων, τῆς ἐπισκοπῆς· τῶν δὲ κληρικῶν,
τοῦ κλήρου· καὶ τῶν μοναχῶν, τοῦ μοναστηρίου
δὲ καὶ ἂν αὐτόθεν καταψηφιζόμεθα, ἐκπεσεῖν·
καὶ κατὰ τῶν παραδεχομένων τοὺς τοιούτους δικαστῶν
ὡς καὶ βιαίως ἑλκόντων, μετὰ τῆς δικαίας ὀργῆς
ἐκ θεοῦ, ἔτι καὶ τὴν τῆς βασιλικῆς μεγαλειότητος,
ἀγανάκτησιν ἐπικαλεσόμεθα· καὶ τὰς ἐκ τῶν
νόμων εὐθύνας. ὁ δὲ ἀφ' ἡμῶν δεσμὸς, καὶ
ἄλυτος αὐτοῖς μέχρις ἐξόδου συμπαραταθή-
σεται· εἴπερ δηλονότι, μὴ μεταβουλεύσαιντο·
καὶ τῆς ἀνοσίου ταύτης ἀπόσχοιντο προαιρέσεως·
ὅτι καὶ οἱ εὐσεβεῖς νόμοι· καὶ ὁ κραταιὸς καὶ
ἅγιος ἡμῶν βασιλεὺς ὁ πορφυρογέννητος· μετὰ
τοῦ ἐν μακαρίᾳ τῇ λήξει αὐταδέλφου αὐτοῦ·
ἐν τοῖς ἐγγράφοις αὐτῶν τυπικοῖς, διαστέλλουσι
τοὺς δικαστὰς, τοιαῦτα περὶ τὰ ἐκκλησιαστικὰ
νεανιεύεσθαι πρόσωπα· ὑφαρπάζεσθαι γὰρ τὰ
ἱερατικὰ καὶ θεῖα προνόμια παρὰ τῶν θεμα-
τικῶν ἢ πολιτικῶν δικαστῶν, ὅλως οὐκ ἀνα-
σχώμεθα· ἀλλὰ καὶ πρὸ ἡμῶν ὁ ἐπὶ τούτων
καταφρονούμενος καὶ μυκτηριζόμενος θεὸς,
ἔνδικον αὐτοῖς ἐποίησε τὴν ἀγανάκτησιν·
καὶ τὴν ῥομφαίαν δικαίαν στιλβῶσα τῆς ἐκ-



δικήσεως· αἰσχύνη γὰρ καὶ ὕβρις, τοὺς τῆς θειο-
τέρας καὶ κρείττονος μοίρας, ἐπὶ κοσμικῶν
διαπληκτίζεσθαι· καὶ ταῖς λοιδόροις διερεθίζειν
γλώσσας, κατὰ παντὸς τοῦ τῆς ἐκκλησίας πληρώ-
ματος· ὃ καὶ μάλιστα οἱ τῶν βασιλικῶν λεγο-
μένων μονῶν καὶ κληρῶν κληρικοὶ καὶ μονά-
ζοντες, ἀναλαβῶς ποιεῖν, καὶ ἀνοσίως θρασύ-
νονται· ὑπὸ κοσμικῶν αἱρούμενοι ἐπὶ κατα-
γνώσει ἑαυτῶν, κρίνεσθαί τε καὶ κατακρίνεσθαι·
οὐ βελτιοῦσιν αὐτοὶ καὶ ῥυθμίζειν ἐπὶ τὰ [illegible]·
ἢ γὰρ χειρεύουσι θεοῦ εἰς γνῶσιν τὰ διάφορα προ-
τιθέναι· καὶ τὴν ἁρμόζουσαν ἐκεῖθεν θεραπεί-
ας δεῖ ἐπιστημόνων κομίζεσθαι, ἰατρῶν· καὶ
πρὸς τὴν τοῦ καλοῦ μελέτην ἐπιθαρρύνεσθαι,
καὶ τὴν ἀρετήν· ἀλλὰ τοὺς τῶν τοιούτων
μοναστηρίων μοναχοὺς τοιαῦτα τολμῶντας,
σω ὁδικῶς ἀποφαινόμεθα· μήτε τοὺς τῆς
ἐπαρχίας ἐκείνης ἐπισκόποις· μήτε τοὺς παρ'
ἐνορίαν, ἢ χειροθεσίας καταξιοῦν, ἢ ἄλλο-
πίας ἑτέρας καὶ κοινωνίας μεταδιδόναι· οὐ γὰρ
παρὰ ὁδὸν ἑαυτοῖς ἐπὶ ταῦτα πραγματευόμενοι·
ἀλλὰ τὸ σεμνὸν ἐκ παντὸς τρόπου καὶ τίμιον
τῆς μοναδικῆς πολιτείας διώκοντες, τὰ

παρόντα διοριζόμεθα· ὥστε εἰ μὴ τὴν διαφορὰν ἔχοιεν
καὶ τὴν ἄλλην τιμὴν τοῖς τῆς ἐπαρχίας ἀποδώσουσιν
ἐπισκόποις, οὐκ ἀντιλήψονται παρ' αὐτῶν ἢ παρ'
ἑτέρων, ἱερωσύνης ἀξίωμα οὐδέν. κληρικοὺς
δὲ ἀπειθοῦντας τοῖς οἰκείοις μητροπολίταις· ἐπι-
τάγματα αὐτοῖς ἐκκλησιαστικὸν ἀμνησικάκως ὥστε τὸ
δυνατὸν ἐπιτάττουσιν, ἐκβάλλεσθαι τοῦ κλήρου
προστάττομεν· οὐ γὰρ ἂν ὑποταξίαν καὶ ἀνηκοΐαν
ἡ κυριακὴ νομοθετεῖ ἐντολή, ἀλλὰ πειθαρχίαν καὶ
ὑπακοήν· ὥστε ὁ μὴ ταύτῃ στοιχῶν, καὶ τῆς κλή-
σεως καὶ τῆς ἐκκλησίας, ἀλλότριος. τοὺς δὲ δια-
κονίας ἐκκλησιαστικὰς ἐμπεπιστευμένους· καὶ
λόγους ὧν ἐνεπιστεύθησαν δοῦναι μὴ ἀνεχομένους,
κανονικῶς εὐθύνεσθαι· καὶ ἐκ κλοπῆς ὁμοίως καὶ
ἁλόντας ὑποβάλλεσθαι μετὰ κληρονόμων
καὶ λοιπῶν τοῦ γένους διαδόχων κατὰ τοὺς ἱεροὺς
κανόνας, καὶ τοὺς πολιτικοὺς νόμους, ὁρίζομεν.
ἐπεὶ δὲ καὶ περὶ μοναστηρίων ἐκδιδομένων
διὰ δωρεᾶς· οἱ ἱερώτατοι ἀδελφοὶ ἀνήγαγον
καὶ συλλειτουργοί· ὡς ἐπὶ βλάβῃ ὡς πρὸς ταῦτα
διατεθέντες οἱ τὰς δωρεὰς εἰληφότες· εἰς ἔσχατον
αὐτὰ συνήλασαν ἀφανισμόν· τὰς τούτων
προσόδους οἴκοι μετακομίζοντες· ἐν γυμνὰ



τῶν οἰκείων ἐῶντες ἀγαθῶν· ἐνίοτε δὲ καὶ εἰς
κοσμικὰ τελείως μεταμείβουσι καταγώγια·
τοὺς τούτων μοναχοὺς πάσῃ ἐνδείᾳ ἢ στενοχωρίᾳ
μεταναστεῦσαι καὶ ἄκοντας ἐκεῖθεν καταναγκά-
σαντες, ἐξέσται αὐτοῖς τοὺς τοιούτους εὐθύνειν
κατὰ πᾶσαν ἄδειαν, εἰς ὅπερ ἂν αἱρεθεῖεν τὰ
φροντιστήρια καινοτομήσαντές τε καὶ κατα-
βλάψαντες· εἶτα καὶ τοῖς δικαίοις τῆς μητροπό-
λεως δέον σώζειν ἐπ' ἐξουσίας· τοὺς κακῶς
αὐτῶν φροντίσαντας, μεθ' ὕβρεως ἐξ αὐτῶν
ἀπελάσωσιν· εἰ δὲ τὸ τυχὸν ἔχοιεν πρὸς ταῦτα
εὔλογον προτείνειν οἱ τούτων προνοηταί,
μὴ κοσμικοῖς προσίτωσαν δικαστηρίοις·
ἐπεὶ ἐκκλάσουσι πάντως δικαίους αὐτούς·
ἀλλὰ τῇ καθ' ἡμᾶς ἱερᾷ προσφοιτάτωσαν
συνόδῳ· καὶ τῆς ἐνδεχομένης οὐκ ἀπαντή-
σουσι δικαιώσεως· ἀναιτίως δὲ καὶ ἀνεγ-
κλήτως καὶ διὰ μόνην ἐπήρειαν, οὐδένα
πιστοῦμεν τῶν ἱερωτάτων μητροπολιτῶν καὶ
λοιπῶν ἀρχιερέων, ἀφορίσαι κύριον ἐξωθῆναι
μονῆς· εἰ μή τις ἀναξίως ἑαυτοῦ βούλοιτο
πολιτεύεσθαι καὶ τὴν ἀδικίαν ἀσπάζεσθαι·
εἰ δέ τινα τῶν φροντιστηρίων εἶχον τύπον

ἐκ παλαιοῦ συνεισφορὰν τινὰ συνεισφέρειν ἐν ταῖς
μητροπόλεσιν· εἴτε ἐπὶ μόνῳ προσώπων ἀπαιτήσει·
εἴτε ἐπὶ τροφαῖς κριτῶν· καὶ τῶν τοῦ δημοσίου
ἀπαιτητῶν· εἴτε καὶ ἀλλαχοῦ· καὶ ἔτυχε ταῦτα παρὰ
τὸ εἰκὸς ὕστερον διὰ δωρεᾶς ἀνατεθῆναί τισι,
τὴν συνεισφορὰν διοριζόμεθα παρέχειν πρὸς
τὰς μητροπόλεις, ἀκαινοτόμητον· ὅσα δὲ κοινωνεῖ
κατά τι ταῖς μητροπόλεσιν· ἢ πλησιασμὸν ἐν
ταύταις ἔχει καὶ ἀνακοίνωσιν, ἃς δωρεὰν ἐκ-
δίδοσθαι προσώποις, οὐκ εὐδοκοῦμεν· ἀλλ' εἰ
καὶ ἐδόθη, ἀκύρους εἶναι καὶ ἀνισχύρους τὰς
δωρεάς, βουλόμεθα· καὶ τὰ φροντιστήρια αὐτό-
θεν ἀντιστρέφεσθαι, πρὸς τὰς μητροπόλεις ἢ καὶ
ἐπισκοπάς· τὰ γὰρ μηκόθεν καὶ ἰδιοπεριόριστα,
δωρεῖσθαι καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις πᾶσι καλῶς
ἔδοξε καὶ ἡμῖν· τὰ δὲ οἷον ἐνδιαιτήματα τῶν
μητροπολιτῶν καὶ ἐπισκόπων· καὶ ὑπερῷα
καὶ συγκροτήματα τῶν ἁγίων ἐκκλησιῶν,
οὐδαμῶς· καὶ οὐδὲ ἡ ἡμῶν τοῦτο παραδέχεται
μετριότης, τὸ σύνολον· ἐκδοτικῶς δὲ καὶ οἷον
ἐπὶ χρόνοις εἴκοσι καὶ ἐννέα· μοναστήρια ἢ καὶ
παντοτικῶς μητροπόλεις ἐκδίδοσθαι καὶ ἐπι-
σκοπάς, ὡς ξένον τῆς εὐαγγελικῆς διατάξεως·

καὶ τῶν ἀποστολικῶν τε καὶ πατρικῶν παραδόσεων,
πάντῃ ἀπαγορεύομεν· καὶ τούς τε τολμῶντας
ἅμα καὶ τοὺς γενομένους παρορῶντας, ἀναξίους
τῆς ἱερατικῆς κρίνομεν τελειότητος· καὶ τῶν
ἱερῶν κανόνων ἐναντιόφρονας· καὶ τοῖς
πράγμασιν ἐκδίκησιν πρεπωδεστάτην κανο-
νικῶς προμηθεύσασθαι οὐκ ἀποκνήσομεν·
οὐ γὰρ καπηλεύεσθαι τὴν ἱερὰν χάριν καὶ κοινω-
νεῖν τοῖς κοινοῦσιν ἀκανονίστως τὰ ἅγια·
καὶ τὰς πατρικὰς δωρεάς· ὡς κοινὰς ἐμπορεύεσθαι
ἀνεχόμεθα ἐμπορίας· περὶ δὲ τῆς τῶν ἐπισκό-
πων καθέδρας, διοριζόμεθα· κατὰ τὴν τάξιν
αὐτοὺς τῶν οἰκείων καθέζεσθαι μητροπολιτῶν·
καὶ ἐν συνθρόνοις· καὶ ἐν συνόδοις, καὶ ἐν
ἑστιάσει· καὶ μὴ τὰς προεδρίας καὶ τὸ φιλό-
πρωτον ὑφαρπάζειν, τοὺς ὑποβεβηκυίας μητρο-
πόλεως, ἐπισκόπους· ἀλλ' ὡς πρὸς κανόνας
καὶ ὅρους, τοὺς ἰδίους ὁρᾶν μητροπολίτας· καὶ
τυποῦν ἑαυτοὺς ἔν τε καθέδραις, καὶ πανταχοῦ·
ἐπειδὴ καὶ τινὲς τῶν κατὰ τόπον δυνατῶν
ἐν τοῖς τῶν οἴκων αὐτῶν εὐκτηρίοις σημαίνειν
τε καὶ συνάγειν φιλονεικοῦσι· καὶ ἱερολο-
γίας· καὶ βαπτίσματα· καὶ ἕτερα ἐπιτελεῖν·

πατριαρχικοῖς δῆθεν σταυροπηγίοις ἢ καὶ ἐπισκοπικοῖς
θαρροῦντες τὰς καθολικὰς παραιτούμενοι· καὶ
τῶν ἐπὶ ταύταις καταφρονοῦντες συνάξεων, ἄξιον
καὶ περὶ τούτων διορίσασθαι· ὥστε μηκέτι τοιοῦ
τόν τι συγχωρεῖν τοὺς ἐπισκόπους γίνεσθαι· ἀλλὰ
τοὺς μὲν ἱερεῖς τοὺς πλὴν προλειτουργίας, κἀ
κείνην τυχὸν ἐν ἑορτῇ καὶ κατ' ἐπιτροπὴν τοῦ
ἐπισκόπου· ἑτέραν ἀκολουθίαν ἱερὰν ἐν εὐκτη
ρίοις ἐπιτελέσαι τολμήσαντας, καθαιρέσει·
τοὺς δὲ μὴ καταδεχομένους τοῦτο τῶν δυνατῶν,
ἀναθέματι ὑποβαλεῖν· φησὶ γὰρ ὁ κανών·
› εἴ τις διδάσκει τὸν οἶκον τοῦ θεοῦ εὐκαταφρό
› νητον εἶναι· καὶ τὰς ἐν αὐτῷ συνάξεις· καὶ παρὰ
› τὴν καθολικὴν ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοι·
› μὴ συνόντος παντὸς τοῦ πρεσβυτερίου, ἀνά
› θεμα ἔστω· Ταῦτα οὕτω συγκεφαλαιωθέντα τε
καὶ ὁρισθέντα· ἐπὶ συνέδρων ἱερωτάτων
μητροπολιτῶν· κυριακοῦ, ἐφέσου· νικήτα,
ἡρακλείας· δημητρίου, κυζίκου· κωνσταν
τίνου, νικαίας· θεοδώρου, χαλκηδόνος·
κωνσταντίνου, σίδης· θεοδότου, σεβαστείας·
ἰωάννου, μελιτηνῆς· κωνσταντίνου, τυάνων·
ἰωάννου, κλαυδιουπόλεως· θεοφάνους,

νεοκαισαρείας· ἰωάννου, καρίας· ἰωάννου,
ἰκονίου· γεωργίου, κορίνθου· μιχαήλ, ἀθηνῶν·
θεογνώστου, μωκησοῦ· κωνσταντίνου, πατρῶν·
κωνσταντίνου, τραπεζοῦντος· ἰωάννου,
φιλίππων· ἀγαπητοῦ, ἀδριανουπόλεως·
θεοδοσίου, καμάχου· κωνσταντίνου, χωνῶν·
στεφάνου, κρήτης· νικήτα, ὑδροῦντος· σισιννίου,
κελτζηνῆς· καὶ ἰωάννου, τουρκίας· καὶ
ἀρχιεπισκόπων· νικήτα, βιζύης· διονυσίου,
προικοννήσου· νικηφόρου, κίου· στρατηγίου,
ἄπρου· κωνσταντίνου, δέρκου· λέοντος,
βρύσεως· ἀνδρέου, χερσῶνος· νικολάου,
λήμνου· ἰωάννου, βοσπόρου· ἀρσενίου,
σουγδαίας· καὶ μεγίστου, ζηκχίας· ἐν ὑπομνή λζ
ματι ἐξετέθη καὶ τῇ συνήθει ἐπιστώθη
σφραγῖδι· καὶ ἑκάστῳ τῶν θεοφιλεστάτων
ἐπεδόθη μητροπολιτῶν· μηνὶ ἰαννουαρίῳ
ἰνδ. ια· ἔτους ͵ςφλς + ++

BIBLIOTHECÆ REGIÆ

6536
5508
1028

BIBLIOTHÈQUE NATIONALE
SERVICE PHOTOGRAPHIQUE

FIN

Grec. 418
- entier -

R. 42.268
(3300.) 12 OCT. 1979

: 10.5

C.L